τῶν μετὰ κλεινὰν
τὰν σὰν γένναν·
μονὰς ἄρρητος,
σπέρμα τὸ πάντων
σπέρμα σε πάντων
ἐσπέρμηνεν·
σὺ γὰρ ἐν πᾶσι·
διὰ σοῦ δὲ φύσις
ὑπάτα, μεσάτα,
νεάτα τε θεοῦ
ἀπέλαυσε πατρὸς
ἀγαθῶν δώρων
γονίμου ζωᾶς.
Σοὶ μὲν ἀγήρως
ἄπονον τροχιὰν
σφαῖρα κυλίνδει·
ὑπὸ σὰν τάξιν
κύτεος μεγάλου
βριαραῖς δίναις
ἑβδομὰς ἄστρων
ἀντιχορεύει·
τὰ δὲ πολλὰ μίαν
πτύχα καλλύνει
φέγγεα κόσμου
διὰ σὰν βουλάν,
γόνε κύδιστε·
σὺ γὰρ ἀμφιθέων
κύτος οὐράνιον,
δρόμον αἰώνων
ἄλυτον συνέχεις·
ὑπὸ σοῖς δέ, μάκαρ,
ἁγίοις θεσμοῖς
ἐν ἀπειροβαθοῦς
αἴθρας λαγόσι
πολιῶν ἄστρων
ἀγέλα νέμεται.
Σὺ μὲν οὐρανίοις,
σὺ δ' ἐνηερίοις,
σὺ δ' ἐπιχθονίοις,
σὺ δ' ὑποχθονίοις
ἔργα μερίζεις,
ζωάν τε νέμεις.
σὺ νόου πρύτανις
ταμίας τε θεοῖς
θνατῶν θ' ὁπόσοι
νοερᾶς μοίρας
ἔσπασαν ὄμβρους·
σὺ ψυχοδότας
οἷς ἐκ ψυχᾶς
τέταται ζωὰ

vv. 112—116 ab interpolatore ad explicandos vv. 105—9 additi esse videntur — 113 ἀν κλεινάν nos: κλεινάν codd. — 114 πν̄c AMN — 118 ἅ γε μένεις nos: ἃ δὴ μένει codd. — 118 sq. conf. III 212 sq. — 124 ἐν γενέτᾳ nos: ἐς γενέταν codd.

καὶ φύcιc ἀκμῆc·
ἀλαὸν ψυχᾶc
βλάcτημα τεᾶc
κρέμαται cειρᾶc·
χὠπόcα τᾶc cᾶc
cτέρεται πνοιᾶc,
ἀπὸ cῶν κόλπων
δρέπεται cυνοχὰν
πορθμευομέναν
διὰ cᾶc ἀλκᾶc
ἐξ ἀρρήτων
πατρικῶν κόλπων
κρυφίαc μονάδοc,
ὅθεν ὁ ζωᾶc
ὀχετὸc προρέων
φέρεται μέχρι γᾶc
διὰ cᾶc ἀλκᾶc,
δι' ἀτεκμάρτων
νοερῶν κόcμων·
ἔνθεν δέχεται
καταβαίνοιcαν
ἀγαθῶν κράναν
νοεροῦ μορφά,
κόcμοc ὁρατόc.
Ἅλιον οὗτοc
δεύτερον ἔcχεν
ὑcτεροφεγγοῦc
φωτὸc γενέταν,
ὀμματολαμπῆ
τᾶc γινομέναc
καὶ φθειρομέναc
ταμίαν ὕλαc,
υἱοῦ νοεροῦ
τύπον αἰcθητόν,
ἀγαθῶν παροχὰν
ἐγκοcμογενῶν
διὰ cὰν βουλάν,
γόνε κύδιcτε.
Πάτερ ἄγνωcτε,
πάτερ ἄρρητε,
ἄγνωcτε νόῳ,
ἄρρητε λόγῳ,
νόοc ἐccὶ νόου,
ψυχᾶν ψυχά,
φύcιc εἶ φυcίων.
γόνυ cοι κάμπτων,
ἴδε τοῦτο, λάτριc
πίπτω κατὰ γᾶc
ἱκέταc ἀλαόc·
cὺ δέ, φωτοδότα
φωτὸc νοεροῦ,
ἐλέαιρε, μάκαρ,
ἱκέτιν ψυχάν·
cεῦε δὲ νούcουc,
cεῦε μερίμναc
τὰc ψυχοβόρουc,
cεῦε δ' ἀναιδῆ
κύνα τὸν χθόνιον,
δαίμονα γαίαc
ψυχᾶc ἀπ' ἐμᾶc,
εὐχᾶc ἀπ' ἐμᾶc,
ζωᾶc ἀπ' ἐμᾶc,
ἔργων ἀπ' ἐμῶν.
cώματοc ἔξω,
πνεύματοc ἔξω,
πάντων ἔξω
τῶν ἀμετέρων
δαίμων μενέτω·
λιπέτω, φυγέτω
δαίμων ὕλαc,
παθέων ἀλκά,
ἀνάγωγον ὁδὸν
διατειχίζων,
τὰc θεοδιφεῖc
βλάπτων ὁρμάc·
ἕταρον δὲ δίδου
ξυνωνόν, ἄναξ,
ἁγίαc ἅγιον
ἄγγελον ἀλκᾶc,
ἄγγελον εὐχᾶc

193 τᾶc cᾶc nos: πετάcαc AMP πάcαc Boiss. — 197 πορθμευομένων MN — 205 = I
— 211 μορφάν AMN — 218 γενομέναc AMN — 221 υἱοῦ nos: υἱόν codd. — 227 ἄγνωτε
227 et 229 ἄγνωcτε in ἄγνωτε corr. M — 238 φωτοδότα ex φωτοδόταc corr. M —
cεῦε μερίμναc NP: cεῦε δὲ μερ. AM — 248—252 = III 98—102 — 259 an παθέων ἀρχ

τᾶc θεολαμποῦc,
φίλον ἐcθλοδόταν,
φύλακα ψυχᾶc,
φύλακα ζωᾶc,
εὐχᾶν φρουρόν,
ἔργων φρουρόν·
cῶμα δὲ cώζοι
καθαρὸν νούcων,
πνεῦμα δὲ cώζοι
καθαρὸν λώβαc,
ψυχᾷ δ' ἐπάγοι
παθέων λάθαν,
ἵνα καὶ ζωὰν
τὰν γαιοτραφῆ
τοῖc coῖc ὕμνοιc
πιαίνηται
ταρcὸc ψυχᾶc·
ἵνα καὶ ζωὰν
τὰν μετὰ μοίραc,
τὰν μετὰ δεcμοὺc
τοὺc χθονοβριθεῖc,
καθαρὰν ὕλαc,
ὅcον ἐξανύω
ἐπὶ cὰc αὐλάc,
ἐπὶ coὺc κόλπουc,
ὅθεν ἁ ψυχᾶc
προρέει παγά.
Cὺ δὲ χεῖρα δίδου,
cὺ κάλει, cὺ, μάκαρ,
ὕλαc ἄναγε
ἱκέτιν ψυχάν.

V

Ὑμνῶμεν κοῦρον νύμφαc,
νύμφαc οὐ νυμφευθείcαc
ἀνδρῶν μοιραίαιc κοίταιc·
ἄρρητοι πατρὸc βουλαὶ
ἔcπειραν Χριcτοῦ γένναν,
ἁ cεμνὰ νύμφαc ὠδὶc
ἀνθρώπου φῆνεν μορφάν,
ὃc θνατοῖcιν πορθμευτὰc
ἦλθεν φωτὸc παγαίου·
ἁ δ' ἄρρητοc cευ βλάcτα
αἰώνων οἶδεν ῥίζαν.
αὐτὸc φῶc εἶ παγαῖον,
cυλλάμψαc' ἀκτὶc πατρί,
ῥήξαc δ' ὀρφναίαν ὕλαν
ψυχαῖc ἐλλάμπειc ἁγναῖc·
αὐτὸc μὲν κόcμου κτίcταc,
κλεινῶν cφαιρωτὰc ἄcτρων,
κέντρων γαίαc ῥιζωτάc,
αὐτὸc δ' ἀνθρώπων cωτήρ.
coὶ μὲν Τιτὰν ἱππεύει,
ἀοῦc ἄcβεcτοc παγά,
coὶ δ' ἁ ταυρῶπιc μήνα
τὰν νυκτῶν ὄρφναν λύει
coὶ καὶ τίκτονται καρποί,
coὶ καὶ βόcκονται ποῖμναι.
ἐκ cᾶc ἀρρήτου παγᾶc
ζείδωρον πέμπων αἴγλαν,
πιαίνειc κόcμων ταρcούc·
ἐκ cῶν βλάcτηcεν κόλπων
καὶ φῶc καὶ νοῦc καὶ ψυχά·
τὰν cὰν οἴκτειρον κούραν
γυίοιc εἱρχθεῖcαν θνατοῖc,
μοίραc θ' ὑλαίοιc μέτροιc·
νούcων ἐκcώζοιc λώβαc
ἀcκηθῆ γυίων ἀλκάν.
Νεῦcον μὲν μύθοιc πειθώ,
νεῦcον δ' ἔργοιcιν κῦδοc
ἀρχαίαιc πρέψαι φάμαιc
τᾶc Κυράναc καὶ Cπάρταc·
λύπαιc δ' ἄcτιπτοc ψυχὰ
πραεῖαν ζωὰν ἕλκοι
θρέπτειραν, διccὰc γλήναc
ἐc cὸν φέγγοc τείνοιcα,
ὡc ἐξ ὕλαc φοιβαθεὶc
ἀcτρέπτουc οἴμουc cπεύcω,
φύξηλιc γαίαc μόχθων,

276 sq. om. AP — 282 θεοτραφῆ A γεοτρεφῆ N γαιοτρεφῆ in γαιοτραφῆ corr. M —)1 fort. ὅταν — 292—295 = III 710—713 — V 5 ἔcπειραν G. Hermann: ἐcπέραν codd. — ἐν θνατοῖcι MN — 10 ἄρρητοc εὐβλάcτα MN — 13 cυλλάψαc MN — 34 λαβὰc MN — 41 ραεῖαν ἕλκοι ζωὰν MN — 43 τείνοιcα φέγγοc M

μιχθῆναι ψυχᾶς παγᾷ.
Τοίαν ἄχραντον ζωὰν
τῷ cῷ κραίνοις φορμικτῇ,
εὖτ' ἄν coι cτέλλων μολπάν,
τὰν cὰν κυδαίνων ῥίζαν,
μήκιcτον πατρὸς κῦδος,
καὶ τὰν cύνθωκον πνοιὰν
μέccαν ῥίζας καὶ βλάcτας,
καὶ πατρὸς μέλπων ἀλκὰν
τοῖc coῖc ὕμνοις ἀμπαύω
κλεινὰν ὠδῖνα ψυχᾶc.
Χαίροις, ὦ παιδὸς παγά,
χαίροις, ὦ πατρὸς μορφά·
χαίροις, ὦ παιδὸς κρηπίς,
χαίροις, ὦ πατρὸς cφρηγίς·
χαίροις, ὦ παιδὸς κάρτος,
χαίροις, ὦ πατρὸς κάλλος·
χαίροις δ' ἄχραντος πνοιά,
κέντρον κούρου καὶ πατρός·
τάν μοι πέμποις cὺν πατρὶ
ἄρδοιcαν ψυχᾶς ταρcούς,
κράντειραν θείων δώρων.

VI

Μετὰ παγᾶc ἁγίας αὐτολοχεύτου
ἀρρήτων ἑνοτήτων ἐπέκεινα
θεὸν ἄμβροτον, θεοῦ κύδιμον υἷα,
μόνον ἐκ μόνου πατρὸς παῖδα θορόντα
cτεφανώcομεν cοφοῖc ἄνθεcιν ὕμνων,
ὅν βουλᾶc πατρικᾶc ἄφραcτος ὠδὶc
ἀγνώcτων ἀνέδειξε παῖδα κόλπων,
ἃ πατρὸς λοχίους ἔφηνε καρποὺς
καὶ φήναcα φάνη μεccοπαγὴς νοῦς·
ἐν παγᾷ δὲ μένουcι καὶ χυθέντες.
cοφία νόου πατρός, κάλλεος αὐγά,
coὶ τεχθέντι πατὴρ ἔνευcε τίκτειν,
cὺ τὸ κρυπτὸν εἶ πατρὸς cπέρμα
προλάμπων·
cὲ γὰρ ἀρχὰν γενέτας ἔδωκε κόcμοις,
κατάγειν ἐκ νοερῶν cώμαcι μορφάς·
cὺ μὲν οὐρανοῦ cοφὰν ἄντυγα νωμᾷς,
τὰν δ' ἄcτρων ἀγέλαν ἀεὶ νομεύεις·
cὺ δὲ τᾶc ἀγγελικᾶc, ἄναξ, χορείας
καὶ τᾶc δαιμονίας φάλαγγος ἄρχεις,
cὺ δὲ καὶ φύcιν φθιτὰν ἀμφιχορεύεις,
ἀμέριcτον περὶ γᾶν πνεῦμα μερίζεις,
καὶ παγᾷ τὸ δοθὲν πάλιν cυνάπτεις,
θνατοὺς ἐκ θανάτου λύων ἀνάγκας.
Ἱλήκοις ἐπὶ cῶν cτέμμαcιν ὕμνων,
βιοτᾶc ὑμνοπόλῳ νέμων γαλάναν·
εὐρίπων προχοὰν cτᾶcον ἀλῆτιν,
τερcαίνων ὀλοοὺς κλύδωνας ὕλας·
ψυχᾶc καὶ μελέων ἔρυκε νούcους·
παθέων οὐλομέναν κοίμιcον ὁρμάν·
πλούτου καὶ πενίας ἄλαλκε κῆρας·
ἔργοις κυδαλίμαν ὄπαccον ὀμφάν·
ἐν λαοῖc ἀγαθὰν ἄνοιγε φάμαν
πειθοῦc πραϋλόγῳ cτέφων ἀώτῳ,
ἵνα μοι νόος δρέπῃ cχολὰν ἀκύμων,
μηδ' ἐν ταῖc χθονίαις cτένω μερίμναις·
ἀλλ' ἐκ cῶν ὀχετῶν ὑψιφορήτων
ὠδῖcιν cοφίας νόον κατάρδω.

VII

Πρῶτος νόμον εὑρόμαν
ἐπὶ coί, μάκαρ, ἄμβροτε,

51 τὰν cὰν κυδαίνων ῥίζαν om. M m. pr. — 65 cf. IV 99 sq. — κόρου MN — VI 3 ἄμβροτον AP: ἀμβρότου N, utrumque M — 4 υἷα ex παῖδα corr. M, κύδιμον παῖδα in ras. A, cuius cod. multifarias hoc in carmine correcturas ad numeros difficiliores expediendos factas iam silebo — 5 cτεφανώcομεν MNP: cτεφανώcω A, unde cτεφανώcω cε G. Hermannus El. metr. p. 490 coniecit — cεμνοῦc A — 6 ὠδὶc ἄφραcτος M — 7 ἄγνωτον A ἀγνώcτων corr. in ἄγνωτον M — παῖδα ἀνέδειξε AM — 8 λοχίους corr. in λοχία M — 9 μεccοπαγής ANP: μεccοπαγεῖc M — 12 ἐπένευcε θεός· cύ A — 13 πατρὸς εἶ κρυπτόμενον A — προλάμπων N: προcλάμπων M, om. A — 16 cοφὰν μὲν οὐρανοῦ M — 18 cὺ ὦναξ χορείας τᾶc ἀγγελικᾶc, sup. lin. addito ὦναξ M — 19 τᾶc om. M — 20 θνητάν A, M ex corr. — 23 ἀνάγκας λύων M — 26 cτᾶcον P: cτῆcον A, M ex corr. cτάc N — 28 ἔρυκε in ἐρύκοις corr. M — 30 κῆρας ἄλαλκε M — 31 ὄπαccον ὀμφὰν nos: ὀμφὰν ὀπάcων MN ὀμφὰν ὀπάcαις A Boiss. — 32 ἄνοιγε corr. in ἄνυε M — 33 πραυλόγου cτέφων M — 34 δρέποι MN — 35 cτένω AP: cτένων MN

γόνε κύδιμε παρθένου,
Ἰηϲοῦ Ϲολυμήϊε,
νεοπαγέϲιν ἁρμογαῖϲ
κρέξαι κιθάραϲ μίτουϲ.
Ἀλλ᾽ εὐμενέοιϲ, ἄναξ,
καὶ δέχνυϲο μουϲικὰν
ἐξ εὐαγέων μελῶν.
ὑμνήϲομεν ἄφθιτον
θεὸν υἷα θεοῦ μέγαν,
αἰωνοτόκου πατρὸϲ
τὸν κοϲμογόνον κόρον,
τὰν παντομιγῆ φύϲιν,
ϲοφίαν ἀπερείϲιον,
τὸν ἐπουρανίοιϲ θεόν,
τὸν ὑποχθονίοιϲ νέκυν.
Ἐχύθηϲ ὅτ᾽ ἐπὶ χθονὶ
βροτέαϲ ἀπὸ νηδύοϲ,
μάγοϲ ἁ πολύφρων τέχνα
ἐξ ἀϲτέροϲ ἀντολᾶϲ
θάμβηϲεν ἀμήχανοϲ,
τί τὸ τικτόμενον βρέφοϲ,
τίϲ ὁ κρυπτόμενοϲ θεόϲ,
θεὸϲ ἢ νέκυϲ ἢ βαϲιλεύϲ·
ἄγε δῶρα κομίζετε
ϲμύρνηϲ ἐναγίϲματα,
χρυϲοῦ τ᾽ ἀναθήματα,
λιβάνου τε θύη καλά.
θεὸϲ εἶ, λίβανον δέχου·
χρυϲὸν βαϲιλεῖ φέρω·
ϲμύρνη τάφοϲ ἁρμόϲει.
Καὶ γᾶν ἐκάθηραϲ,
καὶ πόντια κύματα,
καὶ δαιμονίαϲ ὁδούϲ,
ῥαδινὰν χύϲιν ἀέροϲ,
καὶ νερτερίουϲ μυχοὺϲ,
φθιμένοιϲι βοηθόοϲ
θεὸϲ εἰϲ ἀΐδην ϲταλείϲ.
Ἀλλ᾽ εὐμενέοιϲ, ἄναξ,
καὶ δέχνυϲο μουϲικὰν
ἐξ εὐαγέων μελῶν.

VIII

Ὑπὸ δώριον ἁρμογὰν
ἐλεφαντοδέτων μίτων
ϲτάϲω λιγυρὰν ὄπα
ἐπὶ ϲοί, μάκαρ, ἄμβροτε,
γόνε κύδιμε παρθένου·
ϲὺ δέ μου βιοτὰν ϲάου
παναπήμονα, κοίρανε,
λύπαιϲ ἄβατον διδοὺϲ
καὶ νύκτα καὶ ἁμέραν.
λάμποιϲ πραπίϲιν ϲέλαϲ
νοερᾶϲ ἀπὸ παγᾶϲ·
ϲθένοϲ ἀρτεμέων μελῶν
καὶ κῦδοϲ ἐπ᾽ ἔργμαϲι
νεότατι νέμοιϲ ἐμᾷ·
λιπαρὸν δὲ φέροιϲ ἔτοϲ
ἐϲ γήραοϲ ἁδονάν,
ἐρίτιμον ἀέξων
πινυτὰν ϲὺν ὑγείᾳ.
γνωτὸν δὲ φυλάϲϲοιϲ,
τόν μοι νέον, ἄφθιτε,
ἤδη χθονίαν πύλαν
παραμειβόμενον ποδὶ
ἄψορρον ἀνήγαγεϲ,
ἐμὰ κήδεα καὶ γόουϲ,
ἐμὰ δάκρυα καὶ φρενῶν
ϲβέϲαϲ αἰθομέναν φλόγα·
ἐβίωϲαϲ καὶ νέκυν
διὰ ϲόν, πάτερ, ἱκέταν.
γνωτάν τε ϲυνωρίδα
τεκέων τε φυλάϲϲοιϲ,
ὅλον ἡϲυχίδαν δόμον
ὑπὸ ϲᾷ χερὶ κρύπτοιϲ·
καί μοι ζυγίων, ἄναξ,
ξυνήονα δεμνίων

VII 5 νεοπαγαῖϲιν A — 15 ἀπειρέϲιον AMN — 16 et 17 om. P — 25 nescio an lateat βαλήν — 26 κομίζεται A in ras. P — 32 fort.: μύρον τάφῳ — 36 et 37 om. P — 40— = 7—9 — VIII 2 μίτων λύραϲ N — 8 λύπαϲ A — 12 ἀρτιμελέων A, M var. lect. — 13 P, M var. lect. — 16 ἡδονὴν A οὐδόν coni. Boiss. — 18 ὑγιείᾳ P — 27 fort. ἐβιώϲαο 30 τεκέων φυλάττοιϲ A — 31 ἡϲυχίδα P, qua in lectione nomen proprium latere videtur 32 fort. κρύπτων — 33 ζυγίων in ζυγίαν corr. M

ἀπόνουcον, ἀπήμονα,
ἐρίηρον, ὁμόφρονα,
κρυφίων ἀδαήμονα
ὀάρων ἄλοχον cάου·
ὅcιον δ' ἐφέποι λέχος
πανακήρατον, εὐαγές,
ἀδίκοις ἄβατον πόθοις.
ψυχὰν δὲ λυθεῖcαν
χθονίου βιότου πέδας
ἐξαίνυcο πημάτων
καὶ λευγαλέας ἄτας.
cὺν δ' εὐαγέων χοροῖc
ὕμνους ἀνάγειν δίδου
ἐπὶ κύδεϊ cοῦ πατρὸc
καὶ κάρτεϊ cῷ, μάκαρ.
πάλιν ὑμνοπολεύcω,
πάλι cοι μέλος ᾄcω,
τάχα καὶ κιθάραν πάλιν
πανακήρατον ἁρμόcω.

IX

Πολυήρατε, κύδιμε,
cέ, μάκαρ, γόνε παρθένου
ὑμνῶ Cολυμηΐδος,
ὃc τὰν δολίαν πάγαν,
χθόνιον μεγάλων ὄφιν
πατρὸc ἤλαcας ὀρχάτων·
[ὃc καρπὸν ἀπώμοτον
τροφὸν ἀργαλέου μόρου
πόρεν ἀρχεγόνῳ νοεράν.
στεφανηφόρε, κύδιμε,
cέ, πάτερ, παῖ παρθένου
ὑμνῶ Cολυμηΐδος.]
Κατέβας μέχρι καὶ χθονὸc
ἐπίδημος ἐφαμέροις,
βρότεον φορέων δέμας.
κατέβας δ' ὑπὸ Τάρταρα,
ψυχῶν ὅθι μυρία
θάνατος νέμεν ἔθνεα.
φρίξεν cε γέρων τότε
Ἀΐδας ὁ παλαιγενής,
καὶ λαοβόρος κύων
ἀνεχάccατο βηλοῦ·
λύcας δ' ἀπὸ πημάτων
ψυχῶν ὁcίους χοροὺc
θιάcοιcιν ἀκηράτοις
ὕμνους ἀνάγεις πατρί.
[στεφανηφόρε, κύδιμε,
cέ, πάτερ, παῖ παρθένου
ὑμνῶ Cολυμηΐδος.]
Ἀνιόντα cε, κοίρανε,
τὰ κατ' ἠέρος ἄcπετα
τρέcεν ἔθνεα δαιμόνων,
θάμβηcε δ' ἀκηράτων
χορὸc ἄμβροτος ἀcτέρων·
αἰθὴρ δὲ γελάccας,
cοφὸc ἁρμονίας πατὴρ,
ἐξ ἑπτατόνου λύρας
ἐκεράccατο μουcικὰν
ἐπινίκιον ἐc μέλος.
μείδηcεν Ἑωcφόρος,
ὁ διάκτορος ἁμέρας,
καὶ χρύcεος Ἕcπερος,
κυθερήϊος ἀcτήρ·
ἁ μὲν κερόεν cέλας
πλήcαcα ῥόου πυρὸc
ἀγεῖτο cελάνα,
ποιμὴν νυχίων θεῶν·
τὰν δ' εὐρυφαῆ κόμαν
Τιτὰν ἐπετάccατο
ἄρρητον ὑπ' ἴχνιον·
ἔγνω δὲ γόνον θεοῦ,
τὸν ἀριcτοτέχναν νόον,
ἰδίου πυρὸc ἀρχάν.
Cὺ δὲ ταρcὸν ἐλάccας
κυανάντυγος οὐρανοῦ

45 fort. ἄλας — 52 κιθάραν ἀνάcω A — 53 πανακήρατον Boiss. ex cod. P ut videt[ur], πάλιν ἀκήρατον AMN — ἁρμόcει N ἁρμοcείω M — IX 5 μέγαν P — vv. 7—11 om. M add. ex cod. P Boissonade — 9 νοεράν cod. P: fort. φθοράν — v. 11 corruptum re[li]quimus — 13 κατέβας P: καταβάς MN — v. 15 om. MN ex P add. Boiss. cod. script[um] βρότειον φέρων emendata — post v. 21 versiculum ὁ βαρυcθενὴc δημοβόρος add. P — ψυχᾶν P quo recepto v. 17 quoque doricam formam revocavit Boiss. — 25 ἐν ἀκηράτ[οις] maluit Boiss. — 27—29 om. MN, ex P add. Boiss. — στεφανηφόρος P — 28 πάτερ om

ὑπερήλαο νώτων,
cφαίρῃcι δ' ἐπέπταc
νοεραῖcιν ἀκηράτοιc,
ἀγαθῶν ὅθι παγά,
cιγώμενοc οὐρανόc·
ἔνθ' οὔτε βαθύρροοc
ἀκαμαντοπόδαc χρόνοc
χθονὸc ἔκγονα cύρων,
οὐ κῆρεc ἀναιδέεc
βαθυκύμονοc ὕλαc·
ἀλλ' αὐτὸc ἀγήραοc
αἰὼν ὁ παλαιγενήc,
νέοc ὢν ἅμα καὶ γέρων
τᾶc ἀενάω μονᾶc
ταμίαc πέλεται θεοῖc.

X

Μνώεο Χριcτέ,
υἱὲ θεοῖο
ὑψιμέδοντοc,
οἰκέτεω cεῦ,
κῆρ' ἀλιτροῖο
τάδε γράψαντοc·
καί μοι ὄπαccον
λῦcιν παθέων
κηριτρεφέων,
τά μοι ἐμφυῆ
ψυχᾷ ῥυπαρᾷ·
δὸc δὲ ἰδέcθαι,
cῶτερ Ἰηcοῦ,
ζαθέαν αἴγλαν
cάν, ἔνθα φανεὶc
μέλψω ἀοιδὰν
παίονι ψυχᾶν,
παίονι γυίων,
πατρὶ cὺν μεγάλῳ
πνεύματί θ' ἁγνῷ.

ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΝΑΖΙΑΝΖΗΝΟΥ ΥΜΝΟΙ ΚΑΙ ῼΔΑΙ.

I

ΥΜΝΟϹ ЄΙϹ ΧΡΙϹΤΟΝ.

Cὲ τὸν ἄφθιτον μονάρχην
δὸc ἀνυμνεῖν, δὸc ἀείδειν,
τὸν ἄνακτα, τὸν δεcπότην,
δι' ὃν ὕμνοc, δι' ὃν αἶνοc,
δι' ὃν ἀγγέλων χορεία,
δι' ὃν αἰῶνεc ἄπαυcτοι,
δι' ὃν ἥλιοc προλάμπει,
δι' ὃν ὁ δρόμοc cελήνηc,
δι' ὃν ἄcτρων μέγα κάλλοc,
δι' ὃν ἄνθρωποc ὁ cεμνὸc
ἔλαχεν νοεῖν τὸ θεῖον,
λογικὸν ζῶον ὑπάρχων·
cὺ γὰρ ἔκτιcαc τὰ πάντα,
παρέχων τάξιν ἑκάcτῳ,
cυνέχων τε τῇ προνοίᾳ·
λόγον εἶπαc, πέλεν ἔργον
ὁ λόγοc cοῦ, θεὸc υἱόc·
ὁμοούcιοc γάρ ἐcτιν,

57 ἐπέπταc nos: ἐπετάcθηc codd. — 69 ἐννάω MN — X 4 cεῦ nos coll. V 10: cοῦ Boissonade praeeunte Hermanno Elem. metr. p. 370: cέο AM — 6 γράψαντοc τάδε A — 17 ψυχᾶν παίονι codd., corr. Boiss. collato IV 8.

Gregorii in carminibus recognoscendis usi sumus cod. Monacensi bombycino n. 416 s. XIII (G), quo in codice alterum tertium ultimum carmen non extat; hoc ultimo in carmine praeter editionem Billianam cod. Vindobonensem bombycinum theol. n. 18 s. XIII (V) et cod. Monacensem chartaceum n. 323 s. XVI (H) contulimus. — I ὕμνοc διὰ λυρικοῦ μέτρου G — 3 δυνάcτην coni. Boissonade — 5 χορεῖαι Boiss.

ὁμότιμος τῷ τεκόντι,
ὃς ἐφήρμοσεν τὰ πάντα,
ἵνα πάντων βασιλεύσῃ·
περιλαμβάνον δὲ πάντα
ἅγιον πνεῦμα τὸ θεῖον
προνοούμενον φυλάσσει.
Τριάδα ζῶσαν ἐρῶ σε,
ἕνα καὶ μόνον μονάρχην,
φύσιν ἄτρεπτον, ἄναρχον,
φύσιν οὐσίας ἀφράστου,
σοφίας νοῦν ἀνέφικτον,
κράτος οὐρανῶν ἄπαυστον,
ἄτερ ἀρχῆς, ἀπέραντον,
ἀκατασκόπητον αὐγήν,
ἐφορῶσαν δὲ τὰ πάντα,
βάθος οὐδὲν ἀγνοοῦσαν
ἀπὸ γῆς μέχρις ἀβύσσου.
Πάτερ, ἵλεως γενοῦ μοι,
διὰ παντὸς θεραπεύειν
τὸ σέβασμα τοῦτο δός μοι.
τὰ δ' ἁμαρτήματα ῥύψον,
τὸ συνειδὸς ἐκκαθαίρων
ἀπὸ πάσης κακονοίας,
ἵνα δοξάσω τὸ θεῖον,
ὁσίας χεῖρας ἐπαίρων,
ἵνα Χριστὸν εὐλογήσω,
γόνυ κάμπτων ἱκετεύσω,
τότε προσλαβεῖν με δοῦλον,
ὅταν ἔλθῃ βασιλεύσων.
Πάτερ, ἵλεως γενοῦ μοι,
ἔλεον καὶ χάριν εὕρω,
ὅτι δόξα καὶ χάρις σοι
ἄχρις αἰῶνος ἀμέτρου.

II

ΥΜΝΟΣ ΕΙΣ ΘΕΟΝ.

Ὦ πάντων ἐπέκεινα· τί γὰρ θέμις ἄλλο σε μέλπειν;
πῶς λόγος ὑμνήσει σε; σὺ γὰρ λόγῳ οὐδενὶ ῥητός.
πῶς νόος ἀθρήσει σε; σὺ γὰρ νόῳ οὐδενὶ ληπτός,
μοῦνος ἐὼν ἄφραστος, ἐπεὶ τέκες ὅσσα λαλεῖται,
μοῦνος ἐὼν ἄγνωστος, ἐπεὶ τέκες ὅσσα νοεῖται.
Πάντα σε καὶ νοέοντα καὶ οὐ νοέοντα γεραίρει·
ξυνοὶ γάρ τε πόθοι, ξυναὶ δ' ὠδῖνες ἁπάντων
ἀμφί σε, σοὶ δὲ τὰ πάντα προσεύχεται· εἰς σὲ δὲ πάντα,
σύνθεμα σὸν νοέοντα, λαλεῖ σιγώμενον ὕμνον.
Σοὶ ἔνι πάντα μένει· σὺ δ' ἀθρόα πάντα θεάζεις
καὶ πάντων τέλος ἐσσί, καὶ εἷς καὶ πάντα καὶ οὐδείς,
οὐχ ἓν ἐών, οὐ πάντα· πανώνυμε, πῶς σε καλέσσω,
τὸν μόνον ἀκλήϊστον, ὑπερνεφέας δὲ καλύπτρας
τίς νόος οὐρανίδης εἰσδύσεται; ἵλαος εἴης·
ὦ πάντων ἐπέκεινα, τί γὰρ θέμις ἄλλο σε μέλπειν;

III

ΥΜΝΟΣ ΕΙΣ ΧΡΙΣΤΟΝ

μετὰ τὴν σιωπὴν ἐν τῷ Πάσχα.

Χριστὲ ἄναξ, σὲ πρῶτον, ἐπεὶ λόγον ἠέρι δῶκα,
δηναιὸν κατέχων, φθέγξομ' ἀπὸ στομάτων,

---

24 φυλάσση G — 30 ἄπταιστον ed. Billiana — 39 ῥίψον G — 45 κάμπτον G — 4 ὅτε G — 47 ἔλθῃς G — II 2 ῥητὸς nos: ῥητὸν Bill. — 8 σοὶ nos: σύ Bill. — 10 θεάζει nos: θεάζει Bill.

ἁγνοτάτου ἱερῆος ἁγνὸν θύος, εἰ θέμις εἰπεῖν,
τόνδε λόγον προχέων ἡμετέροιο νόου.
Πατροφαὲς μεγάλοιο νόου λόγε, φέρτερε μύθου,
φωτός τ' ἀκροτάτου φῶς ἄκρον, οἰογόνε,
εἰκὼν ἀθανάτοιο πατρός, καὶ σφρηγὶς ἀνάρχου,
πνεύματι τῷ μεγάλῳ συμφαὲς, εὐρυμέδον,
αἰῶνος πείρημα, μεγακλέες, ὀλβιόδωρε,
ὑψίθρον', οὐράνιε, πανσθενὲς ἆσθμα νόου,
νωμητὰ κόσμοιο, φερέσβιε, δημιοεργὲ
ὄντων, ἐσσομένων· σοὶ γὰρ ἅπαντα πέλει,
ὃς κόσμοιο θέμεθλα, καὶ ὁππόσα ἐστὶ, θέλοντος
δησάμενος φορέεις νεύμασιν ἀπλανέως.
Σοὶ μὲν, ἄναξ, Φαέθων ὑψίδρομος ἄστρα καλύπτει,
κύκλον ὑπερτέλλων ἔμπυρον, ὡς σὺ νόας.
σοὶ ζώει φθινύθει τε ἀμοιβαδὶς ὄμμα τὸ νυκτός,
μήνη πλησιφαὴς αὖθις ἐπερχομένη.
σοὶ δὲ ζωοφόρος τε κύκλος καὶ μέτρα χορείης
ὥραις μέτρα φέρει ἤπια κιρναμέναις.
ἀπλανέες τε πλάνοι τε παλίμπορον ἀΐσσοντες
ἀστέρες ἠγαθέης εἰσὶ λόγος σοφίης.
Σὸν φάος εἰσὶν ἅπαντες, ὅσοι νόες οὐρανίωνες
μέλπουσιν τριάδος δόξαν ἐπουρανίης.
σὸν βροτὸς αὖ κλέος ἐστὶν, ὃν ἄγγελον ἐνθάδ' ἔθηκας
ὑμνοπόλον τῆς σῆς, ὦ φάος, ἀγλαΐης.
Ἄμβροτέ μοι, βρότεέ τε παλιγγενὲς, ὕψος ἄσαρκον,
ὑστάτιον θνητῶν ἤμασι σαρκοφόρε,
σοὶ ζῶ, σοὶ λαλέω, σοὶ δ' ἔμπνοος εἰμὶ θυηλή,
ἣ μούνη κτεάνων λείπετ' ἀφ' ἡμετέρων·
σοὶ καὶ γλῶσσαν ἔδησα, καὶ οὔασι μῦθον ἔλυσα·
λίσσομαι, ἀλλὰ πόροις ἀμφότερ' εὐαγέως.
Φθέγξομαι, ὅσσ' ἐπέοικεν· ἃ δ' οὐ θέμις, οὐδὲ νοήσω.
ῥεύσω μαργάρεον, βόρβορον ὠσάμενος.
χρυσὸν ἀπὸ ψαμάθοιο, ῥόδον κραναῆς ἀπ' ἀκάνθης,
λέξομ' ἀπ' ἀσταχύων σῖτον, ἀφεὶς καλάμην.
Ταῦτά σοι ἡμετέροιο θαλύσια, Χριστὲ, πόνοιο
γλῶσσ' ἀπερευγομένη πρῶτον ἀνῆψεν ἔπος.
Σήμερον ἐκ νεκύων Χριστὸς μέγας, οἷσιν ἐμίχθη,
ἔγρετο καὶ θανάτου κέντρον ἀπεσκέδασε,
καὶ ζοφεροὺς πυλεῶνας ἀμειδήτου Ἀΐδαο
ῥήξατο καὶ ψυχαῖς δῶκεν ἐλευθερίην.

III 8 εὐρυμέδου Bill. — 27 βρότεέ τε nos: βρότε εἶτε Bill. — 41 ζοφεροὺς Bill: υφόρους Dan. typothetarum, ut videtur, errore.

σήμερον ἐκ τύμβοιο θορὼν μερόπεσσι φαάνθη,
οἷς γένεθ᾽, οἷσι θάνεν, οἷς ἔγρετ᾽ ἐκ νεκύων,
ὥς κε παλιγγενέες τε καὶ ἐκ θανάτοιο φυγόντες
σοὶ συναειρώμεσθ᾽ ἔνθεν ἀνερχομένῳ.
σήμερον αἰγλήεις σε μέγας χορὸς ἀμφιγέγηθεν
ἀγγελικός, μέλπων ὕμνον ἐπιστέφιον.
σήμερον ἦχον ἔπνευσα μεμυκότα χείλεα σιγῇ
λύσας, ἀλλά μ᾽ ἔχεις ὑμνοπόλον κιθάρην.
Νῷ νόον ἔνδον ἔρεξα, λόγῳ λόγον· αὐτὰρ ἔπειτα
ῥέξω καὶ μεγάλῳ πνεύματι, ἣν ἐθέλῃ.

IV

ΕΙΣ ΤΗΝ ΕΑΥΤΟΥ ΨΥΧΗΝ.

Τί σοι θέλεις γενέσθαι;
ψυχὴν ἐμὴν ἐρωτῶ.
τί σοι μέγ᾽ ἢ τί μικρὸν
τῶν τιμίων βροτοῖσι;
Ζήτει μόνον τι λαμπρόν,
καὶ δώσομεν προθύμως.
Θέλεις τὰ Γύγεώ σοι
τοῦ Λυδίου γενέσθαι;
καὶ δακτύλῳ τυραννεῖν,
τὴν σφενδόνην ἑλίσσων,
κρύπτουσαν, εἰ κρύπτοιτο,
φαίνουσαν, εἰ φαίνοιτο;
Θέλεις τὰ Μίδεώ σοι
τοῦ πλουσίως θανόντος;
ᾧ χρυσὸς ἦν τὰ πάντα,
χρυσοῦν φέροντα λιμόν,
εὐχῆς δίκην ἀμέτρου.
Θέλεις λίθους διαυγεῖς,
πλάτη τε γῆς λιπώσης,
καὶ ποιμνίων ἀριθμοὺς
βοῶν τε καὶ καμήλων;
Οὐ ταῦτα δώσομέν σοι·
λαβεῖν γὰρ οὐδὲ κρεῖσσον·
ἀλλ᾽ οὐδ᾽ ἔμοιγ᾽ ἄνυστόν.
ἔρριψα γὰρ μερίμνας,
ἀφ᾽ οὗ θεῷ προσῆλθον.
Θέλεις θρόνους τε κἀρχάς,
καιροῦ φρύαγμα πῖπτον;
ἵν᾽ αὔριον καθεσθῇς
κάτω βλέπων ταπεινόν,
ἄλλου τραχηλιῶντος,
ὃς ἦν παραστάτης σοι
τυχὸν δὲ καὶ κακῶν τις.
Θέλεις γάμῳ δεθῆναι,
βλακεύμασιν ἀνάγνοις,
καιροῖς τε συστραφῆναι;
θέλεις νόσον γλυκεῖαν,
εὐτεκνίας μέριμναν;
εὐτεκνίαν δ᾽ ἂν εἴπω
δυστεκνίαν, τί φήσεις;
Θέλεις λόγοις βοᾶσθαι,
καὶ συλλέγειν θέατρα;
ποθεῖς νόμους ταράσσειν
οὐκ ἐνδίκοις παλαισμοῖς;
φέρειν τε καὶ φέρεσθαι
πρὸ βημάτων ἀθέσμων;
Αἰχμὴν θέλεις τινάσσειν,
πνέων ἀρήϊόν τι;
καὶ στέμματ᾽ ἐξ ἀγώνων
θηροκτόνον τε κάρτος;
Ποθεῖς κρότους πολίχνης
καὶ χάλκεος τυποῦσθαι;
Σκιὰν θέλεις ὀνείρων,
μεταρρέουσαν αὔραν,

52 ῥέξω nos: ῥήξω Bill. — IV εἰς τὴν ἑαυτοῦ ψυχήν. στίχοι ἡμίαμβοι G — 7 Γύγει et 13 Μίδεως G — 11. 12 κρύβοιτο et φάνοιτο tentavit Boissonade — 16 χρυσοῦν πορίζει λιμόν G fortasse vere, conf. vv. 11. 12. 138. 145. 167. 169 — 23 λῷον ed. Bill. — 32 σου — 36 δέ ed. Bill. — 43 πιπράσκειν ed. Bill. — 51 κρότους ἐν ἄστει ed. Bill.

ῥοῖζον βέλους ἀνίχνου,
ψόφον χειρὸς κροτούσης.
τί γὰρ μέγ' εὖ φρονοῦσι
τῶν σήμερον μὲν ὄντων,
ἐς αὔριον δ' ἀπόντων,
ὧν καὶ κακοῖς μέτεστιν,
ὧν οὐ συνέρχεταί τι
ἐντεῦθεν ἐξιοῦσι;
Τί οὖν, ἐπεὶ τάδ' οὐχί,
τί σοι θέλεις γενέσθαι;
θέλεις θεὸς γενέσθαι,
θεὸς θεοῦ μεγίστου
παραστάτης φαεννός,
σὺν ἀγγέλοις χορεύων;
Ἴθι, πρόβαινε ταρσοῖς
ὀξυπτέρου μενοινῆς
κυκλουμένη πρὸς ὕψος.
ἐγὼ πτερὸν καθαίρω,
ἐγὼ λόγοις ἐπαίρω,
ὡς εὔπτερόν τιν' ὄρνιν
ἐς αἰθέρα προπέμψω.
Cὺ δ' εἰπέ μοι, κάκιστον
ὦ σαρκίον δυσῶδες,
ἐπεὶ συνεζύγην σοι,
ἡ δεσπότις μαγείρῳ,
τί σοι θέλεις γενέσθαι
πρὸς τὸ πνοῇ κρατεῖσθαι;
οὐ γὰρ πλέον χρεωστῶ,
κἂν πόλλ' ἔχειν βιάζῃ.
Θέλεις τράπεζαν εὔπνουν
μύρων τε καὶ μαγείρων
σοφίσμασιν περισσοῖς;
καὶ βαρβίτων χερῶν τε
κροτήματ' οὐκ ἄνοιστρα,
ἁβρῶν κλάσεις τε παίδων
κινουμένων ἀνάνδρως,
καὶ παρθένων ἑλιγμοὺς
γυμνουμένων ἀθέσμως;
ἃ τοῖς πότοις τυποῦσιν
ὅσοι φιλοῦσιν ὕβριν,
τὸν μαινόλην ἑτοίμως
ὑποφλέγοντες οἶνον.
Ταῦτ' εἰ θέλεις παρ' ἡμῶν,
ἔχοις μέν, ἀγχόνην δέ.
τοιαῦτα τοῖς ἀπλήστοις
ἐγὼ φίλοις πορίζω·
οἶκός σε πέτρινός τις
αὐτώροφος καλύπτοι,
ἢ μικρὸν ἔργον ὥρας,
εἰ δεῖ τι καὶ πονῆσαι·
τὸ δ' ἔσθος ἢ καμήλων
τρίχες νόμῳ δικαίων,
ἢ καὶ δέρος, παλαιᾶς
γυμνώσεως κάλυμμα.
στιβὰς μὲν ἡ τυχοῦσα,
πόαι, κλάδοι τετάσθων
ἅπλωμα πορφυροῦν τι
καὶ συμπόταις ἀταρβές·
τράπεζα δ' αὐτόθεν σοι
γλυκὺ πνέους' ἀνείσθω,
ἃ γῆ φίλη δίδωσιν
ἄτεχνα δῶρα πᾶσιν.
Ἐπεὶ δ' ἐθήκαμέν σε,
καὶ θρέψομεν προθύμως.
θέλεις φαγεῖν, ἔχ' ἄρτον,
ἔχ' ἄλφιτ', εἰ παρείη·
ἅλες δέ σοι τὸ πέμμα,
θύμόν θ' ὃν οὐ μετροῦμεν
ἀπραγμάτευτον ὄψον·
ἔνδεια δ' ἄλλο μεῖζον.
θέλεις πιεῖν; βρύει σοι
ὕδωρ, κρατὴρ ἀείρρους,
ποτὸν μέθης ἄποιον,
ἀκλήματον γάνυσμα.
Ζητεῖς δὲ καὶ τρυφᾶν τι,
μηδ' ὀξίνης φθονείσθω.
Ἀλλ' οὐ τάδ' ἀρκέσει σοι,
τετρημένῳ ποθεῖς δὲ
πίθῳ κακῶς ἐπαντλεῖν
τὰς ἡδονὰς ἀπλήστως.

65 θεὸς γενέσθαι θεός om. G — 69 ταρσούς ed. Bill. — 71 κυκλουμένης G — 81 πνοήν ed. Bill. — 85 fort. μύροις — 86 περιττοῖς G — 87 χειρῶν G — 89 παίδων κλάσεις ἁβρῶν τε G — 92 ἀγύμνως G — 95 τήν G — 102 αὐτόφορος καλύπτῃ G — 110 κλάδοι τε θάμνων ed. Bill. — 122 θῦμος θ' Boissonade: καὶ θύμον G

ἄλλον πόθει ποριστήν·
ἐμοὶ γὰρ οὐ σχολή σε
θάλπειν σύνοικον ἐχθρόν,
ἵν᾽ ὡς ὄφις κρυμωθείς,
θέρμῃ δ᾽ ἔπειτα λυθεὶς
ἐγκόλπιός με τρώσῃς.
Θέλεις δόμους ἀμέτρους,
χρυσωρόφους γραφῆς τε
καὶ ψηφίδος σοφισμοὺς
κινουμένων σχεδόν τι,
πλακός τε λάμψιν ἁβρᾶς
ἀντίχροον, πολύχρουν;
θέλεις περιρρέουσαν
ἐσθῆτα τῶν ἀθίκτων,
ἐν δακτύλοις τε πλοῦτον,
γελώμενόν τε κάλλος
τοῖς σωφρονεῖν μαθοῦσιν,
ἐμοὶ δὲ καὶ μάλιστα,
ᾧ κάλλος ἐστὶν εἴσω;
Τοῖς μὲν κάτω δὴ ταῦτα,
ὑμῖν βροτοῖσι φάσκω,
οἳ ζῆτε τὸ πρὸς ὥραν,
μηδὲν πλέον βλέποντες.
τοῖς δ᾽ εὐγενῶς βιοῦσιν,
ἐπαξίως τε μοίρας
τῆς ἐκ θεοῦ δοθείσης
τῷ πηλίνῳ πάχει μου,
σκόπει πένητος ὄγκον,
οἵαν τροφὴν χορηγῶ.
Δίελθέ μοι φλογώδη
ῥομφαίαν, ὦ θεόφρον·
θείων γενοῦ γεωργὸς
φυτῶν, λόγων θαλλόντων,
ὧν μ᾽ ἐστέρησεν ἐχθρὸς,
δι᾽ ἡδονῆς συλήσας.
ξύλῳ πάλιν πρόσελθε
ζωῆς ἀεὶ μενούσης·
ἡ δ᾽ ἐστίν, ὡς ἀνεῦρον,
γνῶσις θεοῦ μεγίστου,
φάους ἑνὸς τριλαμποῦς,
πρὸς ὃν τὰ πάντα τείνει.
Οὕτω μὲν αὐτὸς αὑτῷ
πᾶς τις σοφῶν λαλήσει,
ὃς δ᾽ οὐ θέλει λαλῆσαι,
μάτην βίον παρῆλθεν·
εἴπερ μάτην παρῆλθε,
μὴ σὺν κακῷ μεγίστῳ.

V

ΕΥΧΗ ΕΩΘΙΝΗ.

Ὄρθριος δίδωμι τῷ θεῷ μου δεξιάς,
μηδὲν σκοτῶδες ἢ δράσειν ἢ αἰνέσειν,
ἀλλ᾽ ὡς μάλιστά σοι θύσειν τὴν ἡμέραν,
μένων ἄσειστος καὶ παθῶν αὐτοκράτωρ·
αἰσχύνομαι τὸ γῆρας, ἂν κάκιστος ὦ,
καὶ τὴν τράπεζαν, ἧς παραστάτης ἐγώ.
Ὁρμὴ μὲν αὕτη, Χριστέ μου, σὺ δ᾽ εὐόδου.

VI

Ἐψευσάμην σε τὴν ἀλήθειαν, λόγε,
σοὶ τὴν παροῦσαν ἡμέραν καθαγνίσας.
Οὐ πάντα φωτεινόν με νὺξ ἐδέξατο·

139 fort.: λυθεὶς δ᾽ ἔπειτα — 145 πλακός τε λάμψιν ἁβρᾶς ed. Bill.: λάμψιν πλακός τ᾽ ἀνθηρόν G — 153 κάλλος ἓν τὸ εἴσω Boiss. — 155 βροτοῖσι φάσκω ed. Bill.: φάσκω βροτοῖσι G λέγω βροτοῖσι Boiss. — 160 δοθείσης Boiss.: κρατείσης G, unde κρανθείσης coni. Halm — 167 θαλούντων Boissonade — 177 σοφός vulgo — V 1 ὄρθρος G; nos ὄρθριος scribere ausi sumus, possis tamen etiam ὄρθρου tentare — 3 θύσαι G — 4 ἄστατος ed. Bill.

ἦ μὴν προϲηυξάμην τε καὶ τοῦτ᾽ ᾠόμην,
ἀλλ᾽ ἔϲτιν οὗ μοι καὶ προϲέπταιϲαν πόδεϲ·
ζόφοϲ γὰρ ἦλθε βάϲκανοϲ ϲωτηρίαϲ.
Λάμποιϲ τὸ φῶϲ μοι, Χριϲτὲ, καὶ πάλιν φανείϲ.

VII

ΥΜΝΟϹ ЄϹΠЄΡΙΝΟϹ.

Ϲὲ καὶ νῦν εὐλογοῦμεν,
Χριϲτέ μου, λόγε θεοῦ,
φῶϲ ἐκ φωτὸϲ ἀνάρχου,
καὶ πνεύματοϲ ταμία,
τριττοῦ φωτὸϲ εἰϲ μίαν
δόξαν ἀθροιζομένου·
ὃϲ ἔλυϲαϲ τὸ ϲκότοϲ,
ὃϲ ὑπέϲτηϲαϲ τὸ φῶϲ,
ἵν᾽ ἐν φωτὶ τὰ πάντα
καὶ τὴν ἄϲτατον ὕλην
ϲτήϲῃϲ, μορφῶν εἰϲ κόϲμον
καὶ τὴν νῦν εὐκοϲμίαν·
ὃϲ νοῦν ἐφώτιϲαϲ ἀνθρώπου
λόγῳ τε καὶ ϲοφίᾳ .
λαμπρότητοϲ τῆϲ ἄνω
καὶ κάτω θεὶϲ εἰκόνα,
ἵνα φωτὶ βλέπῃ φῶϲ
καὶ γένηται φῶϲ ὅλον.
ϲὺ οὐρανὸν φωϲτῆρϲιν
κατηύγαϲαϲ ποικίλοιϲ·
ϲὺ νύκτα καὶ ἡμέραν
ἀλλήλαιϲ εἴκειν πράωϲ
ἔταξαϲ, νόμον τιμῶν
ἀδελφικῆϲ φιλίαϲ·
τῇ μὲν ἔπαυϲαϲ κόπουϲ
τῆϲ πολυμόχθου ϲαρκόϲ,
τῇ δ᾽ ἤγειραϲ εἰϲ ἔργον
καὶ πράξειϲ τάϲ ϲοι φίλαϲ.

VIII

ΠΡΟϹ ΠΑΡΘЄΝΟΝ ΠΑΡΑΙΝЄΤΙΚΟϹ.

Παρθένε, νύμφη Χριϲτοῦ,
δόξαζέ ϲου τὸν νυμφίον·
ἀεὶ κάθαιρε ϲαυτὴν
ἐν λόγῳ καὶ ϲοφίᾳ,
ἵνα λαμπρὰ τῷ λαμπρῷ
ϲυζήϲῃϲ τὸν αἰῶνα·
κρείϲϲων γὰρ αὕτη πολλῷ
τῆϲ φθαρτῆϲ ϲυζυγίαϲ.
Ἐν ϲώματι τὰϲ νοερὰϲ
δυνάμειϲ ἐμιμήϲω,
ἀγγελικὴν μετῆλθεϲ
ἐπὶ γῆϲ πολιτείαν.
Δεϲμὸϲ ἐνταῦθα καὶ λύϲιϲ
καὶ ϲώματ᾽ ἐκ ϲωμάτων·
ἄνω δ᾽ ἑκάϲτη μονὰϲ
οὔποτε λυομένη,
οἳ πρῶτοι φέρουϲ᾽ ἀκτῖνα
τῆϲ καθαρᾶϲ οὐϲίαϲ,
πνεῦμα καὶ πῦρ, λειτουργοὶ
τῶν θεοῦ προϲταγμάτων.
ὕλη δὲ μῖξιν ἐξεῦρεν
ἀεὶ ῥέουϲα φύϲιϲ,
ᾗ μέτρον ὥριϲε θεὸϲ,
γάμον νομοθετήϲαϲ·

VII. ὕμνοϲ ἑϲπερινόϲ ἰμιάμβοι G — 4 πνεύματοϲ ταμία G: πνεῦμα ἐξ ἀνάρχου Dan. — τρίτου Dan. — 9 ἐν φωτὶ κτίϲῃϲ vulgo, nos κτίϲῃϲ eiecimus, quamquam v. 13 quoque uae syllabae abundant — 17 βλέπει τὸ φῶϲ G — 19 οὐρανὸν φωϲτῆρϲιν nos: φωϲτῆρϲιν ὐρανόν G — 22 ἥκειν G — πράωϲ nos: ἠπίωϲ G — 24 ἀδελφικῆϲ nos: ἀδελφότητοϲ καί G — 5 ϲῇ nos: καὶ τῇ G — VIII. Ἐν τούτῳ τῷ λόγῳ τὸν Ϲυρακούϲιον μιμεῖται· οὗτοϲ γὰρ μόνοϲ οιητῶν ῥυθμοῖϲ τε καὶ κώλοιϲ ἐχρήϲατο ποιητικῆϲ ἀναλογίαϲ καταφρονήϲαϲ, schol. ed. Bill. — πολύ Bill. — 5 caesuram non significatam invenimus et huius versus et vv. 9. 10. 15. 7. 24. 26. 29. 31. 35. 41. 44. 53. 57. 58. 65. 66. 70. 72. 75. 76. 78. 85. 86. 87. 90. 93—97. 100 — 6 μετῆλθεϲ ἐπὶ γῆϲ VH: ἐπὶ γῆϲ μετ. Bill. — 9 φέρουϲι VH — καθαρᾶϲ τριάδοϲ VH — 10 πνεύματα V Bill.

cὺ δ᾽ ἔργον ὕλης φυγοῦcα
τοῖc ἄνω cυνηρμόcθης,
ὡc νοῦc ἁρμόζεται νοῖ
τὴν θείαν ἁρμονίαν·
καὶ cαρκὶ πολεμοῦcα
βοηθεῖc τῇ εἰκόνι·
πνοὴ γὰρ ἔφυc θεοῦ
τῷ χείρονι cυνδεθεῖcα,
ἵν᾽ ἐκ πάλης καὶ νίκης
τὸ cτέφοc ἀπολάβῃc,
ἄνω θεῖcα καὶ τὸν χοῦν
καλῶc ὑποταγέντα.
Αἰνείcθω cοι καὶ γάμοc,
πρὸ γάμου δ᾽ ἀφθορία·
γάμοc cυγγνώμη πάθουc,
ἁγνεία δὲ λαμπρότηc·
γάμοc πατὴρ ἁγίων,
ἁγνεία δὲ θυcία.
Ταύτην καὶ τότε καιροῖc
ἐτίμων τοῖc εὐθέτοιc,
Ἀδὰμ ἐν παραδείcῳ,
Μωcῆc ἐν ὄρει Cίνα,
λειτουργῶν Ζαχαρίαc
ὁ πατὴρ τοῦ προδρόμου.
Γάμοc καὶ παρθενίαc
ῥίζα τῆc θεοῦ νύμφηc,
ἀλλ᾽ ἔcτιν ὅμωc cαρκὸc
καὶ βράcματοc δουλεία.
Ὅτ᾽ ἦν νόμοc καὶ cκιαὶ
καὶ πρόcκαιροι λατρεῖαι,
τότ᾽ εἶχε πρῶτα καὶ γάμοc,
ὡc ἔτι νηπιώδηc.
Ὅτε δ᾽ ὑπεξῆλθε τὸ γράμμα,
τὸ πνεῦμ᾽ ἀντειcήχθη,
καὶ Χριcτὸc ἔπαθε cαρκὶ
προελθὼν ἐκ παρθένου,
τότ᾽ ἐξέλαμψεν ἁγνεία
cυντέμνουcα τὸν κόcμον,
ὃν ἐκεῖ δεῖ μεταβῆναι
Χριcτῷ cυνανελθόντα.
Καλῶc ὁδεύειc, παρθένε,
εἰc ὄροc ἀποcώζου·
μὴ πρὸc Cόδομα βλέψῃc,
μὴ cτήλη παγῇc ἁλόc·
μήτε λίαν cε cαρκὸc
ἐκφοβείτω ἡ φύcιc,
μήτε θαρρήcῃc ἄγαν,
ὥcτε ποτ᾽ ἐκλυθῆναι.
Cπινθὴρ ἀνάπτει καλάμην,
cβεννύει δ᾽ ὕδωρ φλόγα.
Ἔχειc φάρμακα πολλὰ
τῆc cεμνῆc παρθενείαc·
θεοῦ cε φόβοc πηγνύτω,
νηcτεία cε κενούτω,
ἀγρυπνία, προcευχαὶ,
δάκρυα, χαμευνία,
ἔρωc ὅλοc πρὸc θεὸν
γνηcίωc τεταμένοc,
πάντα κοιμίζων πόθον
ἀλλότριον τῶν ἄνω.
Ὁ πίπτων ἐγειρέcθω,
ὁ ναυαγῶν ἐλεείcθω·
cὺ δ᾽ εὐπλόει τὸ ἱcτίον
πετάcαcα τῆc ἐλπίδοc·
οὐ τῶν κάτω τὸ πίπτειν,
τῶν δ᾽ ἄνω φερομένων.
Ὀλίγοι πτερορρυοῦcιν,
οἱ πλεῖcτοι δ᾽ εὐδρομοῦcιν·

15 τῇ om. H — 16 cυντεθεῖcα V — 17 ὥcτε ἐκ H — ἀπολάβῃc nos: ἀπολαύηc V Bill. ἀπολαβεῖν H — 18 καὶ om. VH — ὑποταγέντα τῷ πνεύματι VH — 19 καὶ πρὸ γάμου ἀφθ. VH — 20 δέ VH: καί Bill. — 21 ἁγνείαc δὲ λατρεία Bill. — 23 Μωcῆc ἐν ὄρει Cινᾶ Bill.: Μωcῆc νόμῳ προcάγων VH — Cινᾶ Bill. Cίνα quod reposui, numeris commendatur — 24 λειτουργῶν om. H — ὁ Ζαχ. Bill. — 25 παρθενία V — ῥίζα τῷ θεῷ φίληc Bill. — 26 ἔcτι νόμοc Bill. — 28 πρῶτα ὁ γάμοc H — 29 τὸ πνεῦμ᾽ ἀντειcήχθη Bill. ἀντειcήχθη δὲ τὸ πνεῦμα VH — 31 ἔλαμψεν Bill. — 32 ὃν om. H — cυνανελθόντι Bill. — 33 ἀποcώζου VH: ἄνω cώζου Bill. — 34 βλέψῃc VH: ἀποβλέψῃc Bill. — ἁλὸc παγῇc H — 35 et 36 μηδέ Bill. — 35 ἡ φύcιc ἐμφοβείτω Bill. — ἡ om. VH — 36 ἐκπλαθῆναι Bill. — 37 cβέννυcι Bill. — 39 πόθοc H — 40 καὶ προcευχή V — 43 πίπτων VH: πεcὼν Bill. — 44 τό nescio an eiciendum sit; quamquam versus bis octonum syllabarum infra quoque leguntur vv. 54. 73 — τῆc εἰc Χριcτὸν ἐλπίδοc V — 46 πλεῖcτοι VH: πλείουc Bill.

ἔπεϲεν Ἑωϲφόροϲ,
ἀλλ᾽ οὐρανὸϲ ἀγγέλων.
Ἰούδαϲ ἦν προδότηϲ,
οἱ δ᾽ ἕνδεκα λαμπτῆρεϲ.
Μόνον ὅλωϲ ϲεαυτὴν
ἁγνὴν τήρει, παρθένε,
μή πωϲ ϲπιλώϲῃϲ Χριϲτοῦ
τὸν ἄϲπιλον χιτῶνα.
Ὄμμα ϲοι ϲωφρονείτω,
γλῶϲϲα παρθενευέτω·
μὴ νοῦϲ πορνεύῃ, μὴ γέλωϲ,
μὴ ποὺϲ ἄτακτα βαίνων.
Τὴν πιναρὰν ϲτολήν ϲου,
καὶ τὴν αὐχμηρὰν κόμην
μᾶλλον αἰδοῦμαι μαργάρων
καὶ τῆϲ Ϲηρῶν εὐκοϲμίαϲ.
Καλὸν ἄνθοϲ ἡ αἰδὼϲ
καὶ μέγαϲ κόϲμοϲ ὠχρότηϲ·
καὶ πλέγμα καλὸν ἀρεταὶ
πᾶϲαί ϲε ϲτεφανοῦϲαι.
Ἄλλη χρώμαϲιν εἰκόνα
τὴν θεοῦ νοθευέτω,
πίναξ ἔμψυχοϲ αἰϲχρῶν
κατήγοροϲ τῶν ἔνδον·
ϲὺ δ᾽ ἧϲ ἔχειϲ εὐμορφίαϲ
νεκρούϲθω ϲοι τὸ πλεῖϲτον·
κάλλαϲ δὲ λάμπρυνε ψυχῆϲ
ἐκ θεοῦ κοϲμουμένηϲ.
Ὄψιν δ᾽ ἀρρένων φεῦγε,
εἰ θέμιϲ, καὶ ϲωφρόνων,
μή που πλήξῃϲ, ἢ πληγῇϲ
ἐκ μώμου τοῦ Βελίου·
ὄμματ᾽ ὄμμαϲι μὴ δίδου,
μὴ πλέκε λόγῳ λόγον·
μὴ παρειὰ παρειαῖϲ
διδότω παρρηϲίαν·
μηδέν ϲοι καὶ τῇ γεύϲει
ξύλου τοῦ κατακρίτου,
μή ϲε ξύλου τῆϲ ζωῆϲ
ὁ ὄφιϲ ἔξω βάλῃ.
Καὶ τοῦτο πείθου, παρθένε,
μὴ ϲυνοίκει προϲτάτῃ,
Χριϲτὸν ἔχουϲα νυμφίον·
ζηλοῖ ϲου τὴν ἁγνείαν.
Τί μοι ϲάρκα φυγοῦϲα
πρὸϲ ϲάρκαϲ ἐπιϲτρέφειϲ;
Οὐ πάντεϲ ἄνδρεϲ τὴν ϲὴν
ἁπλότητα χωροῦϲιν·
ὡϲ ῥόδον ἐν ἀκάνθαιϲ,
οὕτωϲ ἐν πολλοῖϲ ϲτρέφῃ·
καὶ πονηρῶν ἐπάνω
παγίδων διαβαίνειϲ.
Ὁ μὲν ἐγείρει παϲτάδαϲ,
ἡ δ᾽ ἐκκομίζει νυμφίον,
ἄλλοϲ γίνεται πατήρ,
ἄλλοϲ ἄπαιϲ ἀθρόωϲ·
ὅϲον κακὸν ὠδῖνεϲ
ἀτέλεϲτοι πολλάκιϲ;
ὅϲον ζῆλοϲ ϲυζύγου,
κλαπῆναι ποῦ φιλίαν;
ἐκθρέψαι δὲ καὶ παιδεῦϲαι
ἔπειτ᾽ ἀτιμαϲθῆναι,
καὶ πικρὰϲ ἀντιλαβεῖν
τῶν πόνων ἀντιδόϲειϲ;
ϲοὶ δὲ μέριμνα μία
πρὸϲ θεὸν ἀεὶ βλέπειν.
Ἡ χρεία δ᾽ ἔϲτω ὀλίγη μάζα
καὶ μικρὰ ϲκέπη,
ἀφ᾽ ἧϲ πεῖραν καὶ Χριϲτῷ
προϲήγαγεν ὁ πειράζων,
λίθουϲ αἰτῶν εἰϲ ἄρτουϲ
πεινῶντα μετατρέψαι·

49 ὅλην Bill. — 50 μή που ῥυπώϲῃϲ Bill. — 51 ϲου Bill. — 52 πορνεύῃ Bill.: πόρνοϲ VH — γέλωϲ ἀκόλαϲτοϲ H — 53 ϲτολήν ϲου Bill.: ϲου ϲτολήν VH — 54 μαργαριτῶν V — 56 πάϲαιϲ ἀρεταῖϲ ϲτεφανοῦϲθαι Bill. — 57 ἄλλη Bill.: ἄλλοϲ μέν VH — 58 αἰϲχρῶν nos: αἰϲχρόϲ V ϲιγῶν Bill., om. H — 60 κάλλει δὲ λάμπε Bill. — κοϲμουμένη Bill. — 62 Βελία Bill. — 63 ὄμμα δ᾽ ὀμ. VH — δούλου Bill. — μηδ᾽ ἕλκε λόγον λόγῳ Bill. — 66 τοῦ ξύλου VH — 67 ϲὺ παρθένε Bill. — ϲυνοικῆϲαι VH — προϲτάτην H — 69 ϲάρκαϲ φυγ. Bill. — 70 ἄνδρεϲ om. VH — λαμπρότητα H — 72 ἐπάνω πονηρῶν Bill. — 73 μὲν γάρ H — 73 ὁ δὲ κομίζει Bill. — 74 δ᾽ ἄπαιϲ Bill. — 76 ὅϲον nos: ὅϲοϲ VH ὅϲον δὲ Bill. — ϲύζυγον . . . φιλία V — 78 ἀντιλαβεῖν V: ἐπιλαβεῖν H ἀπολαύειν Bill. — 82 πεινῶντι μεταϲτρέψαι VH

ὧν μή ποθ' ἕνεκα
μηδὲν τῶν αἰςχρῶν ὑπομείνῃς.
Οὐ χείρων εἶ πετεινῶν
cχεδίως τρεφομένων·
οὐκ ἐκλείψει coι καμψάκης
ἐλαίου πιςτευούςῃ·
κόραξ cε θρέψει,
καθάπερ Ἠλίαν ἐν ἐρήμῳ.
Οἶδας Θέκλαν ἐκ πυρὸς
καὶ θηρίων φυγοῦςαν·
Παῦλον πεινῶντα τὸν μέγαν
καὶ ῥιγοῦντα προθύμως,
ἵνα cὺ μάθῃς, παρθένε,
πρὸς θεὸν μόνον βλέπειν,
ὃς ἐν ἐρήμῳ τρέφειν
οἶδε καὶ μυριάδας.
Μαραίνεται τὸ κάλλος,
ἡ δόξα παρατρέχει·
ὁ πλοῦτος ἄπιςτον ῥεῦμα,
τὸ δύναςθαι δ' ὀλίγον·
cὺ δὲ τοῦ πλάνου κόςμου
τὰς τρυφὰς ἐκφυγοῦςα
εἰςῆλθες εἰς τὰ ἅγια
τῶν ἁγίων γελῶςα,
καὶ cὺν ἀγγέλοις χορεύςεις
τὴν ἄπαυςτον χορείαν,
κρείςςονα τόπον λαχοῦςα
υἱῶν καὶ θυγατέρων·
ἀλλ', ὦ παρθένοι, Χριςτὸν
μένοιτε γρηγοροῦςαι,
καὶ φαιδραῖς τὸν νυμφίον
δέχοιςθε ταῖς λαμπάςιν,
ἵνα ςυνειςελθοῦςαι
τὸ κάλλος τοῦ νυμφῶνος
ἴδητε καὶ μιγῆτε
τοῖς ἄνω μυςτηρίοις.

ΝΑΑCCΗΝΩΝ ΨΑΛΜΟC.

Νόμος ἦν γενικὸς τοῦ παντὸς ὁ πρώτιςτος νόος·
τὸ δὲ δεύτερον ἦν τοῦ πρωτοτόκου τὸ χυθὲν χάος.
τριτάτη δ' ἔλαχεν ἐργαζόμενον ψυχὴ νόμον·
διὰ τοῦτ' ἐλαφρὸν μορφὰν περικειμένη
κοπιᾷ θανάτῳ μελέτημα κρατουμένη·
ποτὲ μὲν βαςιλείαν ἔχουςα βλέπει τὸ φῶς,
ποτὲ δ' εἰς ἔλεον ἐρριμμένη κλάει·
ποτὲ δὲ [κλαίει] χαίρει, ποτὲ δὲ [κλαίει] κρίνεται·
ποτὲ δὲ [κρίνεται ποτὲ δὲ] θνήςκει, ποτὲ δὲ γίνεται.
ἀνέξοδον ἡ μελέα κακῶν
λαβύρινθον ἐςῆλθε πλανωμένη·
εἶπεν δ' Ἰηςοῦς· ἐςόρα, πάτερ,
ἄθλημα κακῶν τόδ' ἐπὶ χθόνα
ἀπὸ cῆς πνοιῆς ἀποπλάζεται·
ζητεῖ δὲ φυγεῖν τὸ πικρὸν χάος.

---

83 τι τῶν VH — ὑπομένῃς Bill. — 84 om. V — 86 κόραξ ἐκθρέψει Bill. — 87 ὁρᾷς Bill. — 88 τὸν μέγαν πεινῶντα Bill. — προπροθύμια H — 89 θεόν om. H — 90 ὃς VH: θεός Bill. — ὀλίγων codd. — 93 πλάνου Bill : ταπεινοῦ VH — 94 εἴςελθε V — 95 χορεύοις V — τήν om. H — 96 κρείςςον γάρ H — 97 μένητε H Bill. — 98 δέξαςθε Bill. — 99 νυμφίου Bill.

Origines Philosophumenorum l. V c. 1 de Naassenis haec refert: ψαλμὸς αὐτοῖς ἐςχεδίαςται οὗτος, δι' οὗ πάντα αὐτοῖς τὰ τῆς πλάνης μυςτήρια δοκοῦςιν ὑμνῳδεῖν οὕτως. Νόμος κ. τ. λ. — 1 πρώτιςτος Miller: πρῶτος codex — 3 ψυχὴ δ' ἔλαβεν ἐργαζομένην cod., quae verba transposui et praeeunte Patricio emendavi — 4 ἐλαφρόν nos: ἔλαφον cod. ἐλάφου Miller ὑδαρόν Patricius — 6 μέν add. Miller — 7 εἰς ἐλεεὶν' ἐκριπτομένη Patricius — 10 ἀνέξοδον nos: ἀνέξοδος cod. καὶ ἀνέξοδος Patricius — 11 εἰςῆλθε cod. — 12 ἐςόρα Miller: ἐςόρ cod. — 13 ἄθλημα Patricius: ζήτημα cod. — τόδ' om. cod. add. Miller ἔτ' add. Patricius

κοὐκ οἶδεν ὅπως διελεύςεται·
τούτου με χάριν πέμψον, πάτερ·
cφραγῖδας ἔχων καταβήcομαι,
αἰῶνας ὅλους διοδεύcω,

μυcτήρια πάντα δ' ἀνοίξω,
μορφὰς δὲ θεῶν ἐπιδείξω·
τὰ κρυπτά τε τῆς ἁγίας ὁδοῦ,
γνῶcιν καλέcας, παραδώcω.

ΜΕΘΟΔΙΟΥ ΠΑΡΘΕΝΙΟΝ.

Ἄνωθεν, παρθένοι, βοῆς ἐγερcίνεκρος ἦχος
ἦλθεν νυμφίῳ παccυδὶ ὑπαντάνειν λευκαῖcί τε
καὶ λαμπάcιν πρὸς ἀντολάς· ἔγρεcθε, πρὶν φθάcῃ μολεῖν
εἴcω θυρῶν ἄναξ.

ἁγνεύω coι καὶ λαμπάδας φαεcφόρους κρατοῦcα,
νυμφίε, ὑπαντάνω coι.

Βροτῶν πολυcτένακτον ὄλβον ἐκφυγοῦcα καὶ
βίου τρυφῆς ἔρωτα μωρόν, caῖc ὑπ' ἀγκάλαις
ζωηφόροις ποθῶ cκέπεcθαι καὶ βλέπειν τὸ cὸν
κάλλος διηνεκῶς, μάκαρ.

ἁγνεύω coι καὶ λαμπάδας φαεcφόρους κρατοῦcα,
νυμφίε, ὑπαντάνω coι.

Γάμων λιποῦcα θνητὰ λέκτρα καὶ δόμον, ἄναξ,
διὰ cὲ πολύχρυcον ἦλθον ἀcπίλοις ἐν εἵμαcι,
ὅπως φθάcω κἀγὼ θαλάμων τῶν πανολβίων
εἴcω cὺν coὶ μολεῖν·

ἁγνεύω coι καὶ λαμπάδας φαεcφόρους κρατοῦcα,
νυμφίε, ὑπαντάνω coι.

Δόλους δράκοντος ἐκφυγοῦcα μυρίους, μάκαρ,
θελκτηρίους· ἔτλην δὲ καὶ δεινὴν πυρὸς φλόγα

---

16 καὶ οὐκ οἶδε πῶς cod., corr. Miller — 20 δ' ἀνοίξω Miller: διανοίξω cod. — 22 τὰ κρυπτά τε Miller: καὶ τὰ κεκρυμμένα cod.

Methodius Symposii l. XI c. 1 p. 49 ed. Alb. Jahn praemittit haec: Ταῦτα οὖν εἰποῦcαν ἔφη κελεῦcαι πάcας ἀναcτῆναι τὴν Ἀρετὴν ἡ Θεοπάτρα καὶ πάcας ὑπὸ τὴν ἄγνον εὐχαριcτήριον ὕμνον πρεπόντως ἀναπέμψαι τῷ κυρίῳ, ἐξάρχειν δὲ τὴν Θέκλαν καὶ προϋφηγεῖcθαι. ὡς οὖν ἀνέcτηcαν, τὴν Θέκλαν μέcην μὲν τῶν παρθένων, ἔφη, ἐκ δεξιῶν δὲ τῆς Ἀρετῆς cτᾶcαν κοcμίως ψάλλειν, τὰς δὲ λοιπὰς ἐν κύκλῳ καθάπερ ἐν χοροῦ cχήματι cυcτάcας ὑπακούειν αὐτῇ. Ψαλμός. ἄνωθεν παρθένοι κ. τ. λ. — 2 τε nos addidimus — vv. quinto et sexto vulgo praefigitur titulus Ὑπακοή — 8 μωρὸν addidimus, ut medius versus primo et tertio par fieret — 15 θαλάμων τῶν πανολβίων nos: πανολβίων θαλάμων vulgo; forsan etiam in clausula post μολεῖν vocabulum ἄναξ exciderit — 20 δεινὴν addidimus

καὶ θηρίων ἀνημέρων ὁρμὰς βροτοφθόρους,
cὲ προςμένους' ἀπ' οὐρανῶν.

ἁγνεύω coι καὶ λαμπάδας φαεcφόρους κρατοῦcα,
νυμφίε, ὑπαντάνω coι.

Ἐλαθόμην πάτρας, ποθοῦcα cὴν χάριν, λόγε,
ἐλαθόμην καὶ παρθένων ὁμηλίκων χορούς,
μητρός τε καὶ γένους φρύαγμα· πάντα γὰρ cύ μοι
αὐτὸς cὺ, Χριcτὲ, τυγχάνεις.

ἁγνεύω coι καὶ λαμπάδας φαεcφόρους κρατοῦcα,
νυμφίε, ὑπαντάνω coι

Ζωῆς χοραγὸς, Χριcτὲ, χαῖρε, φῶς ἀνέcπερον,
ταύτην δέδεξο τὴν βοήν· χορός cε παρθένων
προςεννέπει, τέλειον ἄνθος, ἀγάπη, χαρὰ,
φρόνηcιc, cοφία, λόγε.

ἁγνεύω coι καὶ λαμπάδας φαεcφόρους κρατοῦcα,
νυμφίε, ὑπαντάνω coι.

Ἠνοιγμέναις θύραις, ἄναcca, φαιδρόκοcμ' ἡμᾶς δέδεξο,
ἀχραντόcωμε, καλλίνικε, νύμφα καλλίπνου·
ὁμόcτολοι παρήμεθα Χριcτῷ, πανόλβιε,
μέλπουcαι cὸν γάμον, θάλος.

ἁγνεύω coι καὶ λαμπάδας φαεcφόρους κρατοῦcα,
νυμφίε, ὑπαντάνω coι.

Θρηνοῦcι νῦν βαρύcτονοι κόραι πυλῶν πικρῶς
νυμφῶνος ἔξω καὶ βοῶcι γοερῶς, ὅτι
τὸ λαμπάδων ἀποcβέcαcαι φῶς οὐκ ἔφθαcαν
χαρᾶς ταμεῖον εἰcιδεῖν.

ἁγνεύω coι καὶ λαμπάδας φαεcφόρους κρατοῦcα,
νυμφίε, ὑπαντάνω coι.

Ἱερᾶς ὁδοῦ γὰρ ἐκτραπεῖcαι πρὸς βίου πόρους
κτήcαcθ' ἔλαιον ἠμέληcαν ἄθλιαι πλέον·
νεκρὰς δὲ φλογεροῦ πυρὸς φέρουcαι λαμπάδας
cτένουcιν ἔνδον ἐκ φρενῶν.

ἁγνεύω coι καὶ λαμπάδας φαεcφόρους κρατοῦcα,
νυμφίε, ὑπαντάνω coι.

---

26 Psalm. XLIV 10 — 37 ἡμᾶς δέδεξο nos: δέδεξ' ἡμᾶς vulgo — 39 πανόλβιε nos: πανόλβιαι vulgo — 40 fort.: cῶν γάμων θάλος aut cὸν γόνον, θάλος — 43 Matth. XXV 1
51 φλογεροῦ πυρὸς φέρουcαι nos: πυρὸς φέρουcαι φλογεροῦ vulgo

Κρατῆρες ἀδυπληθέες πρόκεινται νέκταρος·
πίνωμεν· οὐράνιον γάρ ἐστι πόμα, παρθένοι,
ὁ νυμφίος ὅπερ τέθεικε τοῖς μετ' ἀξίας
εἰς τὸν γάμον κεκλημένοις.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Λαμπρῶς τὸν θάνατόν σου Ἄβελ προτυπῶν, μάκαρ,
ἔλεξεν αἱματοσταγὴς βλέπων εἰς οὐρανούς·
ἀνηλεῶς με συγγόνου τετρωμένον χερὶ
δέξαι, λιτάζομαι, λόγε.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Μέγιστον ἆθλον ἁγνείας σου παῖς Ἰωσὴφ ἀνείλετο·
γυνὴ γὰρ αὐτὸν εἰς ἄθεσμα λέκτρα εἵλκυσεν
φλεγομένη πόθοις, ὁ δ' οὐδὲν ἐντραπεὶς
ἔφευγε γυμνὸς ἐκβοῶν·

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσας,
νυμφίε, ὑπαντάνω σοι.

Νεοσφαγῆ ὁ Ἰεφθάε κόραν ἦγεν [θυσίαν] θεῷ
ἄπειρον ἀνδρὸς ἀμφὶ βωμὸν ἀμνάδος δίκην·
ἡ δ' εὐγενῶς σου τὸν τύπον τῆς σαρκός, ὦ μάκαρ,
τελοῦσ' ἔκραζε καρτερῶς·

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Ξένων στρατηλάταν ὄχλων εὔτολμος εὐστόχοις
Ἰουδὴθ δόλοις καρατόμησε· κάλλεος τύποις
θέλξασα τοῦτον, οὐ χράναντα σώματος μέλη,
νικαφόροις ἔφη βοαῖς·

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Ὁρῶντες εἶδος εὐπρεπὲς ὑφῆς δύο κριταὶ
Σουσάννας ἐμμανεῖς ἔρωτι λέξαν· ὦ γύναι,

61 Genes. IV 10 — τὸν θάνατόν σου nos: σου τὸν θάνατον vulgo — προτυπῶν nos: προεκτυπῶν vulgo — μάκαρ in initio sequentis versus vulgo collocatum in finem proximi retraximus — 67 Genes. XXXIX 12 — 69 fort.: αἰσχροῖς φλεγομένη πόθοις — 73 Iud. XI 38 — θυσίαν uncinis inclusimus — 79 Iudith VIII 1 — 80 καρατόμησε nos: καρατομήσασα vulgo — 82 fort. νικαφόροις δ' ἔφη deleto post καρατόμησε maioris interpunctionis signo — 85 Daniel XIII 19

κρυπτῶν γάμων λέχη ποθοῦντες ἥκομεν, φίλα·
ἡ δ' ἐντρόμοις ἔφη βοαῖς·

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Πολλῷ με κατθανεῖν ἄμεινόν ἐστιν ἢ λέχη
προδοῦσαν, ὦ γυναιμανεῖς, ὑμῖν αἰωνίαν
δίκην ὑπ' ἐμπύροις θεοῦ τιμωρίαις παθεῖν·
σῶσόν με, Χριστέ, τῶνδε νῦν.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Ῥοαῖς καθαρσίοις λούων πλήθη βροτῶν ὁ σὸς
πρόδρομος ἀνόμως κακοῦ πρὸς ἀνδρὸς εἰς σφαγὴν
ἤχθη δι' ἁγνείαν, λύθρῳ δὲ φοινίῳ κόνιν
δεύων ἔκραζέ σοι, μάκαρ·

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Σοῦ καὶ ζωητόκος χάρις [ἄθικτος] ἄτεγκτος, ἀσπίλους
τὰς σὰς γονὰς ἐν ἀσπόρῳ φέρουσα νηδύϊ
μορφὴν ὑπέσχεν ὡς προδοῦσα λέκτρα παρθένος·
ἔλεξε δ' ἔγκυος, μάκαρ·

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Τὴν σήν, μάκαρ, γαμήλιον ποθοῦντες ἁμέραν
ἰδεῖν, ὅσους ἄνωθεν αὐτός, ἀγγέλων ἄναξ,
κέκληκας, ἥκουσιν μέγιστα δῶρά σοι, λόγε,
φέροντες ἀσπίλοις στολαῖς.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Ὕμνοις, μάκαιρα θεόνυμφε, θαλαμηπόλοι
αἰὲν γεραίρομέν σε νῦν, ἄθικτε παρθένε,
ἐκκλησία χιονόσωμε, κυανοβόστρυχε,
σῶφρον, ἄμωμ', ἐρασμία.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

97 Marc. VI 27 — 103 Matth. I 18 — ἄθικτος uncinis inclusimus — 110 Matth. II — 116 αἰὲν σε vulgo, nos pronomen eiecimus — 117 aut κυανοβόστρυχε coalescentibus duabus vocalibus primis recitandum, aut ἰοβόστρυχε emendandum est

Φθορὰ πέφευγε καὶ νόσων πόνοι δακρυσταγεῖς,
θάνατος ἡρέθη, ὄλωλε πᾶς' ἀφροσύνη,
λύπη τέθνηκε τηξίφρων, ἔλαμψε δ' ἡ θεοῦ [Χριστοῦ]
χάρις βροτοῖς ἄφνω πάλιν.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Χῆρος βροτῶν ὁ παράδεισός ἐστιν οὐκέτι·
πάλιν γὰρ αὐτὸν ἐκ θείας, ὥσπερ τὸ πρὶν, ταγῆς
οἰκεῖ τέχναις ὁ ποικίλαις δράκοντος ἐκπεσὼν,
ἄφθαρτος, ἄφοβος, μάκαρ.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Ψάλλων τὸ καινὸν ᾆσμα νῦν χορός σε παρθένων
καθιστάνει πρὸς οὐρανοὺς, ἄνασσα, σαφῶς ὅλος
ἐστεμμένος λευκοῖς κρίνων κάλυξι καὶ φλόγας
χερσὶν σελασφόρους φέρων.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

Ὦ τὰς ἀχράντους οὐρανοῦ, μάκαρ, ναίων ἕδρας,
ἄναρχε, πάντα συγκρατῶν αἰωνίῳ κράτει,
δέξαι σὺν παιδὶ σῷ, πάρεσμεν, ἔνδον εἰς ζωῆς
πύλας, πάτερ, καὶ ἡμέας.

ἁγνεύω σοι καὶ λαμπάδας φαεσφόρους κρατοῦσα,
νυμφίε, ὑπαντάνω σοι.

ΚΛΗΜΕΝΤΟΣ ΑΛΕΞΑΝΔΡΙΝΟΥ ΥΜΝΟΣ.

[Στόμιον πώλων ἀδαῶν,
πτερὸν ὀρνίθων ἀπλανῶν,
οἴαξ νηπίων ἀτρεκὴς,
ποιμὴν ἀρνῶν βασιλικῶν·
τοὺς σοὺς ἀφελεῖς | παῖδας ἄγειρον
αἰνεῖν ἁγίως, | ὑμνεῖν ἀδόλως

123 λύπη ex fine proximi versus in huius initium retraximus — Χριστοῦ uncinis inlusimus — 127 ὁ ante παράδεισος addidimus — 134 fort.: ἄνασσα, φωσφόρος

Clemens Alex. Paedagogi l. III c. XII sub finem haec: Ἐπεὶ δὲ εἰς τὴν ἐκκλησίαν ἡμᾶς καταστήσας ὁ παιδαγωγὸς αὐτὸς ἑαυτῷ παρακατέθετο τῷ διδασκαλικῷ καὶ πανεπισκόπῳ λόγῳ, καλῶς ἂν ἔχοι ἡμᾶς ἐνταῦθα γενομένους μισθὸν εὐχαριστίας δικαίας κατάλληλον

ἀκάκοις στόμασιν
παίδων ἡγήτορα Χριστόν.]

Βασιλεῦ ἁγίων, | λόγε πανδαμάτωρ
πατρὸς ὑψίστου, | σοφίας πρύτανι,
στήριγμα πόνων | αἰωνοχαρὲς,
βροτέας γενεᾶς | σῶτερ Ἰησοῦ,
ποιμὴν, ἀροτὴρ, | οἴαξ, στόμιον,
πτερὸν οὐράνιον | παναγοῦς ποίμνης,
ἁλιεῦ μερόπων | τῶν σωζομένων,
πελάγους κακίας | ἰχθῦς ἁγνοὺς
κύματος ἐχθροῦ
γλυκερᾷ ζωῇ δελεάζων.
Ἡγοῦ, προβάτων | λογικῶν ποιμὴν,
ἅγιε, ἡγοῦ,
βασιλεῦ παίδων ἀνεπάφων.

Ἴχνια Χριστοῦ, | ὁδὸς οὐρανία,
λόγος ἀέναος, | αἰὼν ἄπλετος,
φῶς ἀΐδιον, | ἐλέους πηγὴ,
ῥεκτὴρ ἀρετῆς,
σεμνὴ βιοτὴ | θεὸν ὑμνούντων,
Χριστὲ Ἰησοῦ, | γάλα οὐράνιον
μαστῶν γλυκερῶν | νύμφης Χαρίτων,
σοφίας τῆς σῆς, ἐκθλιβόντων,
τοὺς σοὺς ἀφελεῖς | παῖδας ἄγειρον,
αἰνεῖν ἁγίως, | ὑμνεῖν ἀδόλως
ἀκάκοις στόμασιν
παίδων ἡγητόρα Χριστόν.

Οἱ νηπίαχοι | ἀταλοῖς στόμασιν
ἀτιταλλόμενοι | θηλῆς λογικῆς,
πνεύματι δροσερῷ | ἐμπιπλάμενοι
αἴνους ἀφελεῖς, | ὕμνους ἀτρεκεῖς
βασιλεῖ Χριστῷ | μισθοὺς ὁσίους
ζωῆς διδαχῆς | μέλπωμεν ὁμοῦ·
μέλπωμεν ἁπλῶς | παῖδα κρατερὸν
χορὸς εἰρήνης, | οἱ χριστόγονοι,
λαὸς σώφρων,
ψάλλωμεν ὁμοῦ | θεὸν εἰρήνης.

ΥΜΝΟΙ ΑΔΕϹΠΟΤΟΙ.

ΥΜΝΟϹ ΕΩΘΙΝΟϹ.

Δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη,
ἐν ἀνθρώποις εὐδοκία·
Αἰνοῦμέν σε, εὐλογοῦμέν σε, εὐχαριστοῦμέν σοι,
προσκυνοῦμέν σε, δοξολογοῦμέν σε
διὰ τὴν μεγάλην σου δόξαν.

ἀστείου παιδαγωγίας αἶνον ἀναπέμψαι κυρίῳ. Ὕμνος τοῦ σωτῆρος Χριστοῦ τοῦ ἁγίου Κλήμεντος — 3 οἴαξ νηῶν Canter, at conf. prolegg. — 4 βασιλεῦ Thierfelder, βασιλείων G. Dindorf — vv. 1—4 extremam quamque vocem rescindit Cobet in Λογίῳ Ἑρμῇ I 494; nos in Prolegg. docuimus primos quatuor versus ab recentiore poeta additos, proximos quatuor post v. 29 collocandos esse — 10 γλυκερῇ codd. — 12 ἁγίων coni. Thierfelder — 13 ἀνεφάπτων coni. G. Dindorf — 14 Ἴχνια Χριστοῦ ab interpolatore nescio quo addita esse iudicat Thierfelder — 21 ἐκθλιβόντων nos: ἐκθλιβόμενον codd. — 35 ψάλλωμεν Canter: ψάλωμεν codd. — θεὸν αὐτόν veri similiter coni. G. Dindorf.

Matutinum hunc hymnum vetustissimum ex cod. Alexandrino versionis graecae Testamenti veteris expressimus; consuluimus praeterea cod. Mon. gr. n. 320 membr. s. XII (F), quo vetus Ὡρολόγιον continetur, et cod. Mon. lat. N. 19440 s. XII olim Tegernseensem (T), qui folio secundo hunc hymnum usque ad v. 14 notis musicis instructum exhibet; denique significavimus magnas discrepantias codicum Constitutionum apostolorum, quarum libro septimo hic hymnus subiectus est. — vv. 1. 2 = Luc. II 14 — 2 eudokias F — 3. 4 εὐχαριστοῦμεν σε προσκυνοῦμεν σε (om. δοξ. σε) F prosk. se dox. se euch. soi T αἰνοῦμέν σε,

Κύριε βαcιλεῦ, ἐπουράνιε, θεὲ πατὴρ παντοκράτωρ,
κύριε υἱὲ μονογενὲc, Ἰηcοῦ Χριcτὲ,
καὶ ἅγιον πνεῦμα·
Κύριε ὁ θεὸc, ὁ ἀμνὸc τοῦ θεοῦ, ὁ υἱὸc τοῦ πατρὸc,
ὁ αἴρων τὰc ἁμαρτίαc τοῦ κόcμου, ἐλέηcον ἡμᾶc·
ὁ αἴρων τὰc ἁμαρτίαc τοῦ κόcμου, πρόcδεξαι τὴν δέηcιν ἡμῶν·
ὁ καθήμενοc ἐν δεξιᾷ τοῦ πατρὸc, ἐλέηcον ἡμᾶc·
Ὅτι cὺ εἶ μόνοc ἅγιοc, cὺ εἶ μόνοc κύριοc,
Ἰηcοῦc Χριcτὸc, εἰc δόξαν θεοῦ πατρόc. Ἀμήν.

Καθ' ἑκάcτην ἡμέραν εὐλογήcω cε
καὶ αἰνέcω τὸ ὄνομά cου εἰc τὸν αἰῶνα
καὶ εἰc τὸν αἰῶνα τοῦ αἰῶνοc.
Καταξίωcον κύριε, καὶ τὴν ἡμέραν ταύτην
ἀναμαρτήτουc φυλαχθῆναι ἡμᾶc.
Εὐλογητὸc εἶ κύριε ὁ θεὸc τῶν πατέρων ἡμῶν
καὶ αἰνετὸν καὶ δεδοξαcμένον τὸ ὄνομά cου
εἰc τοὺc αἰῶναc. ἀμήν.
Εὐλογητὸc εἶ κύριε, δίδαξόν με τὰ δικαιώματά cου.
Εὐλογητὸc εἶ κύριε, δίδαξόν με τὰ δικαιώματά cου.
Εὐλογητὸc εἶ κύριε, δίδαξόν με τὰ δικαιώματά cου.
Κύριε καταφυγὴ ἐγενήθηc ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ·
ἐγὼ εἶπα· κύριε ἐλέηcόν με,
ἴαcαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν cοι.
Κύριε πρὸc cὲ κατέφυγα· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά cου,
ὅτι cὺ εἶ ὁ θεόc μου,
ὅτι παρὰ cοὶ πηγὴ ζωῆc.
Ἐν τῷ φωτί cου ὀψόμεθα φῶc·
παράτεινον τὸ ἔλεόc cου τοῖc γινώcκουcίν cε.

ΥΜΝΟC ΕCΠΕΡΙΝΟC.

Αἰνεῖτε, παῖδεc, κύριον,
αἰνεῖτε τὸ ὄνομα κυρίου·

ὑμνοῦμέν cε, εὐλογοῦμέν cε, δοξολογοῦμέν cε, προcκυνοῦμέν cε, διὰ τοῦ μεγάλου ἀρχιερέωc, cὲ τὸν ὄντα θεόν, ἀγέννητον ἕνα, ἀπρόcιτον μόνον, διὰ τὴν μεγάλην cου δόξαν codd. Const. apost. — 6 πάτερ παντοκράτορ F — 7 sqq. κύριε ὁ θεὸc ὁ πατὴρ τοῦ Χριcτοῦ τοῦ ἀμώμου ἀμνοῦ, ὃc αἴρει τὴν ἁμαρτίαν τοῦ κόcμου, πρόcδεξαι codd. aliquot Const. apost. — 7 μονογενὲc ex μονογενῆ corr. cod. Alex. — 8 om. T — 10. 11 τὴν ἁμαρτίαν FT — 11 πρόcδεξαι FT: ἐλέηcον ἡμᾶc πρόcδεξαι cod. Alex. — 12 καθήμενοc ἐπὶ τῶν Χερουβείμ codd. aliquot Const. apost. — καὶ ἐλέηcον F — 13 cὺ εἶ μόνοc ὕψιcτοc post κύριοc add. FT — 14 Χριcτὸc τοῦ θεοῦ πάcηc γεννητῆc φύcεωc, τοῦ βαcιλέωc ἡμῶν, δι' οὗ cοι δόξα, τιμὴ καὶ cέβαc codd. aliquot Const. apost. — χριcτε ειν αγιω πνευμαθι ιc δωξαν θηου παθρωc αμιν T — 15—33 om. T et Const. apost. — 18 ἐν τῇ ἡμέρα F — 19 ἀναμαρτήτωc cod. Alex. — 24 εὐλογητὸc εἶ δέcποτα cυνέτιcον (corr. in cυνέθιcον) με τὰ δικαιώματά cου F — 25 εὐλογητὸc εἶ ἅγιε φώτιcόν με τοῖc δικαιώμαcί cου F — 29 κατέφυγον F — exspectamus τὸ ποιεῖν

Superiori hymno hic hymnus vespertinus subiectus est in calce libri septimi Constitutionum apostolicarum, unde repetendum eum curavimus

αἰνοῦμέν cε, ὑμνοῦμέν cε, εὐλογοῦμέν cε
διὰ τὴν μεγάλην cου δόξαν.
Κύριε βαcιλεῦ ὁ πατὴρ τοῦ Χριcτοῦ τοῦ ἀμώμου ἀμνοῦ,
ὃc αἴρει τὴν ἁμαρτίαν τοῦ κόcμου,
Coὶ πρέπει αἶνοc, cοὶ πρέπει ὕμνοc, cοὶ δόξα πρέπει
τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι
εἰc τοὺc αἰῶναc τῶν αἰώνων. ἀμήν.

Νῦν ἀπολύειc τὸν δοῦλόν cου, δέcποτα,
κατὰ τὸ ῥῆμά cου ἐν εἰρήνῃ·
ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ cωτήριόν cου,
ὃ ἡτοίμαcαc κατὰ πρόcωπον πάντων τῶν λαῶν,
φῶc εἰc ἀποκάλυψιν ἐθνῶν καὶ δόξαν λαοῦ cου Ἰcραήλ.

ΥΜΝΟC ΕΠΙΛΥΧΝΙΟC.

Φῶc ἱλαρὸν ἁγίαc δόξηc,
ἀθανάτου πατρὸc οὐρανίου,
ἁγίου, μάκαροc,
Ἰηcοῦ Χριcτὲ,
ἐλθόντεc ἐπὶ τὴν ἡλίου δύcιν,
ἰδόντεc φῶc ἑcπερινὸν
ὑμνοῦμεν πατέρα, υἱὸν
καὶ ἅγιον πνεῦμα θεόν.
Ἄξιοc εἶ ἐν πᾶcι καιροῖc
ὑμνεῖcθαι φωναῖc αἰcίαιc,
υἱὲ θεοῦ, ζωὴν ὁ διδούc·
διὸ κόcμοc cε δοξάζει.

ΕΥΧΗ ΕΠ' ΑΡΙCΤΩι.

Εὐλογητὸc εἶ, κύριε ὁ τρέφων με ἐκ νεότητόc μου,
ὁ διδοὺc τροφὴν πάcῃ cαρκί.
Πλήρωcον χαρᾶc καὶ εὐφροcύνηc τὰc καρδίαc ἡμῶν,
ἵνα πάντοτε πᾶcαν αὐτάρκειαν ἔχοντεc
περιccεύωμεν εἰc πᾶν ἔργον ἀγαθὸν
ἐν Χριcτῷ Ἰηcοῦ τῷ κυρίῳ ἡμῶν·
μεθ' οὗ cοι δόξα, τιμὴ καὶ κράτοc
εἰc τοὺc αἰῶναc. ἀμήν.

7 πρέπει δόξα cod. Vind. n. 47 — 8 τῷ θεῷ καὶ πατρὶ διὰ τοῦ υἱοῦ ἐν πνεύματι τῷ παναγίῳ cod. Vind. n. 47 et sic fere Pitrae codd. Vaticc. — vv. 10-14 = Luc. II 29—32

Alterum hunc hymnum vespertinum repetivimus ex cod. Mon. n. 320 s. XII (F) — titulum omittit, quattuor priora cola non divisa exhibet F — 4 χριcτοῦ F — 5 ἐλθόντοc F — 9 ἄξιον cε Horologii ed. Veneta a. 1831 — 10 ὁcίαιc Dan.

Hae preces coenatoriae agmen claudunt hymnorum libro septimo Const. apost. subiectorum — v. 1 ἡμᾶc ἐκ νε. ἡμῶν Pitrae cod. Vat. n. 5 — 3 πάcηc εὐφροcύνηc idem cod. — 7 δι' οὗ cod. Vind. n. 47 et Pitrae codd. Vaticc. — τιμὴ cέβαc εἰc Pitrae cod. Vat. n. 5

PARS ALTERA.

CARMINA CHRISTIANA BYZANTINA.

CΩΦΡΟΝΙΟΥ ΑΝΑΚΡΕΟΝΤΕΙΑ.

ΕΙC ΤΟΝ ΑΓΙΟΝ ΠΑΥΛΟΝ ΤΟΝ ΑΠΟCΤΟΛΟΝ.

Ἀρετῶν μέλιττα, Παῦλε,
ἐπὶ coὺc ἄγειc με cίμβλουc,
ἵνα cὸν μέλι τρυγήcαc
ἱερῆc τροφῆc μετάcχω.
Βαcιλεῦ μελῶν προφῆτα,
κιθάρην δίδου τινάccειν,
ἀρετῶν ὅπωc γενάρχην
μέλεcιν cοφοῖcι μέλψω.
Γένοc Ἀβραὰμ φυτεύει
τὸν μέγαν θεοῖο λάτρην,
Κιλίκων τρέφουcι Ταρcοὶ
ἐπὶ γῆc φανέντα Παῦλον.
Δρόμον ἐκ βρέφουc ὁδεύων
ἁγίων cοφῆc γενέθληc
ἰδίην ἀφῆκε πάτρην,
πατέρων πόλιν γεραιήν.
Ῥίζα φιλευcεβέων | ἔπλεο, Παῦλε,
ἐν χθονὶ τετραπόρῳ | γείναο μόcχουc.
Ἐδιδάcκετο προθύμωc
ἱερὰc γραφὰc τοκήων
Ἱερουcαλὴμ κατ' ἄcτυ
ὑπὸ τῶν cοφὰ φρονούντων.
Ζαθέουc νόμουc τελέccαc
Φαριcαῖοc ἦν ἐc ἄκρον,
ὅθεν εὐcεβῶν ὑπῆρχεν
ἑτέρων πλέον διώκτηc.
Θαλάμουc δὲ τοὺc δικαίων
ἀγρίωc ὅλουc ἐπόρθει,
ἁγίουc δὲ τοὺc ἐν ἄcτει
ἐδίδου φέρων φονεύειν.
Ὦ φρενόc, ὦ μανίηc, | ἧc πέλε Παῦλοc,
ὅττι cοφῶν ἀγέλην | πᾶcαν ἀνῄρει.
Ἱερὴν ἔβαλλε πίcτιν
μανικὸc πέλων διώκτηc,
κατὰ τὰc πόλειc δὲ βαίνων
ἁγίουc κόλαζε πάνταc.
Κακὰ γράμματα γραφέντα
λάβεν ἐκ κακῶν προέδρων,
ἁγίουc, ὅcουc Δαμαcκὸc
τρέφε, δεcμίουc κομίccαι.
Λόγοc ἐκ πόλου προκύψαc,
ὁ λόγῳ πόλον κυλίνδων,
ἅμα φωτὶ παμμεγίcτῳ
τρέπεν ὡc τάχιcτα Παῦλον.
Μέcον ἡμέραc δὲ λάμψαc,
φάοc ὀμμάτων ἀπούραc
κατὰ γῆν τάνυccε Cαῦλον,
κατὰ γῆν κακῶc μανέντα.
Χριcτὸc ὅλων μεδέων | cὺν γενετῆρι
Παῦλον ἀπ' ἀντιβίων | τεύξατο λάτρην.
Νοέειν δὲ τὸν βαλόντα
ὁ βαλὼν θέλων τυπέντα
λέγεν ἠπίωc Ἰηcοῦc
ἐπὶ γῆc πεcόντι Cαύλῳ.
Ξένον εὐcεβοῦcι ῥέζειc,
ἐμὲ, Cαῦλε, νῦν διώκων·
ἀπαμείβεται δὲ Cαῦλοc·
λέγε μοι, τίc αὐτὸc ἔcκεc;
Ὁ θεὸc πάλιν βοήcαc
φάτο πρὸc λαλοῦντα Cαῦλον,
τελέθω, λέγων, Ἰηcοῦc
ἀπὸ Ναζαρὲθ πολίχνηc.
Πάλιν ὁ φέρων τὰ πάντα,
τελέθω, ὃν ἐκδιώκειc·
βαρύ coι πόδαc τιταίνειν
ἀταλοὺc πρὸc ὀρθὰ κέντρα.
Ἀχλύοc ἠερίηc, | ἔμπλεε Παῦλε,
εἰπὲ, πόθεν cτεροπὰc | πᾶcι φαείνειc;
Ῥυπαρὸν ζόφον κομίζων
βλεφάροιc ἐc ἄcτυ βαίνοιc,
ὅθι coι πάλιν λαλήcω,
ἅ cε, Παῦλε, δεῖ τελέccαι.

Sophronii carmina Anacreontea ex Maii Spicilegio romano repetivimus, cuius in quarto omo Matranga haec carmina ex cod. Barberino n. 246 primus edidit — 10 ὁ μέγας θεοῖο ἀτρης Matr. — 16 γεραιήν nos: γενεήν Matr. — 31 φρένες cod. — 53 ἡμέρας Matr. — 55 ἕξεις Matr. — 68 cτεροπαῖc Matr. — 70 βαίνειc Matr.

Cὺ γὰρ ἔθνεcιν φαείνοιc
θεϊκὸν φάοc διδάcκων,
cὺ τὸν Ἰcραὴλ ἐλέγξειc
γενεὴν ἄπιcτον οὖcαν.
Τότε δὴ μαθὼν ὁ Cαῦλοc,
ὅτι Χριcτὸc αὐτὸc ἕλκει,
ἑτάρων χέραc κρατούντων
ἅτε τυφλὸc ἠκολούθει.
Ὑπονυκτίῳ δὲ λήξει
ὄναρ ἐμφανεὶc ὁ Χριcτὸc
Ἀνανίαν ἄνδρα θεῖον
ἐπὶ Cαῦλον εὐθὺ πέμψεν.
Φεγγοτόκον cκοτίην ! ἔδρακε Παῦλοc,
Ὄφρα βροτῶν ζοφερὰν | ἀχλὺν ἀπάξει.
Φοβεροῖc λόγοιcιν εἴξαc
Ἀνανίαc ἐc διώκτην
δράμεν ὄμμαcιν κομίζων
τὸ διπλοῦν διπλοῖcι φέγγοc.
Χαλεπὸν ζόφον δὲ ῥίψαc
κραδίηc κόρον τε Cαῦλοc,
λοετρὸν δὲ θεῖον ἐνδὺc
χάριτοc θεοῦ γεμίcθη.
Ψόγον ἀθλίων Ἑβραίων
ὅλον ἀνδρικῶc πατήcαc
cυνέχευε λυγρὸν ἔθνοc,
τριάδα βροτοὺc διδάcκων.
Φωτὸc ἀειγενέοc, | Παῦλε, γεμιcθεὶc
φωτογόνουc δαΐδαc | πᾶcιν ἐρίζειc.

β′
ΕΙC ΤΗΝ ΑΓΙΑΝ ΠΡΩΤΟΜΑΡΤΥΡΑ ΘΕΚΛΑΝ.

Ἀπ' ἀειλάλων μελιccῶν,
ἀπ' ἀκηράτων τε cίμβλων
δότε μοι μέλι τρυγῆcαι,
ἱερεῖc θεοῦ προφῆται.
Βροτέην λύρην γὰρ ὄντωc
νοερῶν ἐφ' ὕψουc ἄθλων
ἀκλεὲc πέλει δονῆcαι
ἀγανῆc μάλιcτα Θέκληc.
Γόνοc ἀφθίτου θεοῖο
μέλοc ἄφθιτον προπέμψοι,
ἵνα παρθένον γε νύμφην
ἰδίῃ, πάναγνε, μέλψω.
Δρομέωc χοροὺc τελεῖτε,
ἀγαθοὶ νέοι τε κοῦραι,
ὅτε πνεῦμα θεῖον ἦλθεν
μέλοc εὔθροον κομίζον.
Ἱεραὶ παρθενικαί, παcτάδα Θέκληc
cτεφάνοιc ἀθανάτοιc cτέψατε νύμφηc.
Ἐλεῶν θεὸc τὰ πάντα
ἐc ἀκοcμίην πεcόντα
τέκοc ὤπαcεν cαώζειν,
βρότεον δέμαc κομίζον.
Ζαθέωc δὲ πάντα cώcαc
πάλιν ἐc πόλον μετῆλθεν,
ἐπί τε θρόνου καθέcθη
ἐνὶ δεξιοῖc τοκῆοc.
Θεὸν ὡc θεοῦ τε παῖδα
ὁ cοφὸc δίδαcκε Παῦλοc
μέροπαc cέβειν Ἰηcοῦν
βίον ἀγλαόν τε τίειν.
Λαγόνων ἐξ ἀγάμων Χριcτὸc ἐτέχθη,
διὸ τὴν παρθενίην ἤραο, Θέκλη.
Ἱεροὺc λόγουc δὲ Παύλου
θυρίδων ἀπ' εὐτορεύτων
cταθερῇ κλύουcα Θέκλη
ἀγαθὴν ἔδεκτο πίcτιν.
Κραδίῃ πόθον λαβοῦcα
μονάγνου γόνου θεοῖο
κτεάτων ἔλειπεν ὄλβον
μετὰ μητέροc τεκούcηc.
Λογάδα, κράτιcτον ὄλβον·
Θάμυριν cτύγηcε Θέκλη,
ὃc ἀθέcφατόν γε φερνὴν
χερὸc ἐπώρα τεκούcηc.
Μεγάλην νέοc δὲ μῆνιν
κατὰ παρθένου κορύccων

99 γεμίcθηc Matr. — 100 fort.: ἐποίcειc — II 11 τε Matr. — 13 fort.: δρομικῶc — 14 νέοι τε κοῦραι] de hoc particulae τε usu Sophronii vid. v. 86 et III 50 — 22 κομίζειν Matr. — 44 fort. ἐπόρα χερόc

δολίοις λόγοις τὰ πάντα
ἐρέει νόμον κρατοῦντι.
Ῥοθίων μαχλοσύνης λεῖρα φυγοῦσα
σταθερὸς παρθενίης ὅρμος ἐτύχθης.
Νοσερῶν νόμων ὁ ἄρχων
ἱερὴν κρίσιν παρῆλθεν,
Θάμυριν θέλων ἰαίνειν,
κτεάτων δόσιν γεραίρων.
Ξένον ἀθρόως παρέσχεν
δράαν νόμον πολίταις,
διὰ σώφρονα φλεγῆναι
βίοτον Θέκλην κελεύσας.
Ὁ δὲ δὴ θεὸς τὸν ὄμβρον
μέγαν ὠκέως σταλάξας
ἀπαθῆ φύλαξε νύμφην
φλογερὴν πυρὴν ἀμέρσας.
Παρὰ δὲ φλογὸς φυγοῦσα
Συρίης κίχησεν ἄστυ,
τὸ κλυτοῦ γόνου Σελεύκου
κλυτὸν οὔνομα προφαῖνον.
Γενεῆς ἡμεριῶν μέτρα λιποῦσα,
ἀέθλους ἦλθε Θέκλη ἀγγελιωτῶν.
Ῥοδοειδέος δὲ Θέκλης
χάριν ἥρπασε προσώπου
νέος οὔνομα κρατίστου
φορέων γόνου Φιλίππου.
Σχετλίως πόθησε κούρην
στυγερὸν πόθον προχεύσας,
ταχέως δ' ἔκυσε νύμφην
μέσον ἄστεος κιοῦσαν.
Τρομερὸν φόβον δὲ Θέκλη
κραδίης ἄνευ βαλοῦσα
στεφάνους χαμᾶζ' ἔριψε,
χλαμύδα σχίσεν τε κούρου.
Ὑπὸ δ' αἴσχεος κακίστου
φλογεροῦ πόθου τε κοῦρος
ἀχέων ἔπεισεν ἀρχὸν
σταθερὴν κόρην δαμάσσαι.
Ἀγαθὸν παρθενίης ἆθλον ἀρέσθαι
ἅμα κούραις τε νέοις νεῦε ποθοῦσιν.
Φιλοδακρύου θεήτρου
μέσον ἐς κόρην ἀφεῖλκον
ἀγρίοις λέουσι βρῶσιν
φιλοποντίοις τε φώκαις.
Χαλεπῶν μόρον δὲ Θέκλην
θεόθεν πάλιν φυγοῦσαν
χαλεπωτέρων τε ταύρων,
θανέειν ἱμᾶσιν ἧψαν.
Ψαφαρὸν δ' ἱμάντα ῥήξας
ὁ θεὸς σάωσε νύμφην,
πέρας ἔνθεόν τε Θέκλης
κρατεροῖς μόγοις παρέσχεν.
Ἀέθλων ἐκ προτέρων εὐθὺς ἐπ' ἄλλους
ἀέθλους ἀνδροτέρους ἔδραμε Θέκλη.
ἐς ἀεὶ εὐμενέα Χριστὸν ἀκοίτην
τελέοις σοῖς ἱκέταις, πάγκλυτε Θέκλη.

γ′

ΕΙΣ ΤΟΝ ΠΟΘΟΝ ΟΝ ΕΙΧΕΝ ΕΙΣ ΤΗΝ ΑΓΙΑΝ ΠΟΛΙΝ ΚΑΙ ΕΙΣ ΤΟΥΣ ΣΕΒΑΣΜΙΟΥΣ ΤΟΠΟΥΣ.

Ἅγιον πόλισμα θεῖον
Ἱερουσαλήμ τ' ἐς νῦν δὴ
ἐθέλω πύλας παρεῖναι,
ἵν' ἀγαλλιῶν ἐσέλθω.
Εὐαγέων Σολύμων | ἔνθεος οἶστρος
αἰὲν ἐμὴν κραδίην | σφόδρα δαμάζει.
Βαδιῶν ἐπὶ πλακῶν σου
ἐς Ἀνάστασιν κατέλθω,
ὅθι παντάναξ ἀνέστη
θανάτου κράτος πατήσας.
Γλυκερὸν πέδον φιλήσω,
ἱερὸν κύβον κατίδω,
μέγαν οὐρανόστερόν τε
τετρα . . . . .
Διὰ βήματος θεοῖο
μέσον ἐς τάφον θεοῖο
γεγονὼς πέτρην ἐκείνην
μάλα προσκυνῶν φιλήσω.

48 an νόμων? — 49 fort. ῥεῖθρα — 50 ὁμός Matr. — 65 κλυτόν Matr. — 73 σχέτλιος Matr. — 91 χαλεπόν Matr. — 98 μόνοις Matr. — III 3 ἐθέλων Matr. — 13 locum mutilum ic equidem emendaverim atque expleverim: οὐρανόστεγόν τε | τέτρασιν φρακτόν τε στήλαις, qua de re vide nos in Prolegg. disserentem — 15 fort. δὲ θείου

Ἐπ' ἀναξίου δὲ τύμβου
κίονας κύκλῳ τε κόγχας
ἀκροκρινοχρυσομόρφους
φιλέων ἄγαν χορεύσω.
Ἐπὶ τριστῷον παρέλθω
ὁλομαργαραργυρόχρουν
περικαλλέος γ' ἔπαυλον
Κρανίου, τόπον προσέρπων.
Ὠκεανὸς βιοτῆς | αἰὲ βιούσης,
ἀτρεκέος τελετῆς | φωσφόρε τύμβε.
Ζάθεον μεσόμφαλόν τε
πέτραν ἐκταθεὶς φιλήσω,
ὅθι τὸ ξύλον πεπήγει
τὸ λύσαν ξύλου κατάραν.
Ὡς μέγα σεῖο κλέος, | φαίδιμε πέτρα,
σταυρὸς ὅπῃ μερόπων | λύτρον ἐπήχθη.
Θαλέων χαρᾷ δ' ἐπέλθω,
ὅθι προσκυνοῦμεν, ὅσσοι
πέλομεν λεὼς θεοῖο,
ἀγλαὸν ξύλον τὸ θεῖον.
Ἵνα παμμέδων ταχύνας
κεχαραγμένῃ γραφῆος
σέβας εἰκόνι προσοίσω,
γόνατα δράμοιμι κάμψας.
Κατὰ παμφαὲς δὲ βῆμα
γεγανυμένος πορευθῶ,
ξύλον οὗ τὸ θεῖον εὗρεν
Ἑλένη μέδουσα κεδνή.
Μετὰ καρδίης δὲ πλήρους
κατανύξεως ἀνελθὼν
ὑπερώϊον, θεῶμαι
κάλαμον σπόγγον τε λόγχην.
Νεαρὸν δ' ἔπειτα κάλλος,
βασιλικὴν, εὖ κατίδω,
μοναχῶν ὅπου χορεῖαι
νυχίους τελοῦσιν ὕμνους.
Ξὺν ἐμοῖς δρόμοις ποσίν τε
ἐπὶ τὴν Σιὼν ἀπέλθω,
ὅθι γλωσσοπυρσόμορφος
κατέβη χαρὰ θεοῖο·
Ὅθι μυστικὸν δὲ δεῖπνον
τελέσας ἄναξ ἁπάντων
ὀπαδῶν ἔνιψεν ἴχνη
μετριοφρόνως διδάσκων.
Ποταμῶν δίκην ἰάσεις
ἀπὸ τῆς πέτρης ἐκείνης,
θεόπαις ὅπου τανύσθη
Μαρίη, βρύουσι πᾶσιν.
Χαῖρε Σιὼν φαέθων, | ἥλιε κόσμου,
ἣν ποθέων στενάζω | νύκτωρ καὶ ἦμαρ.
Ῥαγὲν ὡς ἀφῆκεν ᾅδου
νεκάδας ζοφῶδες ἔργῳ,
τότε παντάναξ ὁ ῥήξας
ἐφάνη φίλος ἐκεῖσε.
Σκοπιὴν λιπὼν Σιών τε,
περιφὺς πέτρην, ἐφ' ἣν περ
δι' ἔμ' ὁ πλάσας ἐτύφθη,
δόμον ἐς πετρᾶν κατέλθω.
Τόπον, οὗ κλάων στενάζων
σοφίης φίλων ὁ πρῶτος
ἑὸν ἔκλυσεν τὸ πῆμα,
χαμάδις πεσὼν φιλήσω.
Προβατικῆς ἁγίης | ἔνδοθι βαίνω,
ἔνθα τέκεν Μαρίην | πάγκλυτος Ἄννα.
Ὑποδὺς νέον νεὼν δὲ
θεομήτορος πανάγνου
φιλέων περιπλακείην
ἐρατοὺς ἔμοιγε τοίχους.
Φέρε δὴ, μάτην μετέλθω
ἀγορῆς μέσης ὁδεύων,
ὅθι πατρικοῖς ἐτέχθη
θαλάμοις ἄνασσα κούρη.
Χαμόθεν φέρων ἐκείνην
πάρετος κλίνην βεβήκει
ὑγιὴς λόγου κελεύσει,
βάσιν οὖν ἴδοιμι κείνην.

---

19 ἐπαναξίου Matr. — 24 ὁλομαργαρογυρόχρουν Matr. — 25 περικαλλέως Matr. — 26 προσέρπειν Matr. — 28 ἀτρεκέως τε λήθης Matr. — κάμψαι Matr. — 46 post hunc versum totam stropham intercidisse acrostichis docet — 47 κραδίης Matr. — 48 ἀνέλθω . . . . θεοῦμαι Matr. — vv. 63—66 post v. 98 in cod. collocatos huc revocandos esse alphabetica acrostichis docet — 70 σοφῶδες Matr. — 73 δὲ Matr. — 76 fort. πετρῶν — 77 στενάζω Matr. — vv. 83—86 ante v. 99 collocati leguntur in cod. — νεὼν νεὼν δέ Matr. — 87 μάτην] προβατικὴν hoc loco poeta commemorasse videtur — 91 φέρειν Matr.

Ψυχοτερπέωϲ τρυφείην,
τέμενοϲ γ' ἐπὰν παρέλθω
τὸ δεδεγμένον τὸ ϲῶμα
Μαρίηϲ θεὸν τεκούϲηϲ.

Γεθϲημανῆ τέμενοϲ | λαμπρὸν ἀείδω,
ἔνθα τέτυκτο τάφοϲ | μητρὶ θεοῖο.
Ὦ γλυκὺ πλεῖϲτα πέλειϲ | ἔξοχον οὖροϲ,
Χριϲτὸϲ ὅθεν μεδέων | οὐρανὸν ἧκεν.

ΗΛΙΟΥ ΣΥΓΚΕΛΛΟΥ.

Ἀνακρεόντειον κατανυκτικὸν ᾀδόμενὸν εἰϲ ἦχον πλ. δ'.

Ἀπὸ καρδίαϲ θεμέθλων
ἀνάγω πυκνὰ ϲτεναγμόν·
ἀνομημάτων γὰρ ἄχθοϲ
ἀνακειμένων κλονεῖ με.
Βροτὸϲ ἀϲθενὴϲ ὑπάρχω,
βαρὺ φορτίον προϲαίρω·
βίον ὡϲ ὁδὸν παρέλκω,
βάθοϲ εἰϲ κακῶν προκύπτω.
Γεφύραϲ δίκην προβαίνω
βίον ἄϲτατον τὰ τῇδε·
γόμον αἰϲχύνηϲ κακῶν μου
γοερῶϲ μετεμβιβάζω.
Διὰ τί, ψυχή, καθεύδειϲ;
διὰ τί βλέπειϲ ὀνείρουϲ;
διὰ τί ϲκιαῖϲ παλαίειϲ;
διὰ τί τρέχειϲ ἀδήλωϲ;
Ἐπὶ τοὺϲ τάφουϲ πρόκυψον,
ἐπὶ τοὺϲ πάλαι θανένταϲ,
ἐφόρα φίλουϲ γονεῖϲ τε,
ἐπὶ ϲαπρίαν δυϲώδη
Ζόφον εἰϲαεὶ κατοικῶν
ζοφερῶν ἔϲω πυλώνων,
ζοφόεϲϲιν ἐν τόποιϲιν
ζαθέειν τε μέχριϲ ὥραϲ.
Ἀδρανὴϲ ἐκεῖ δυνάϲτηϲ,
ἀφανὴϲ ὁ βαϲιλεύων,
ἀμαθὴϲ ἐκεῖ ϲοφόϲ τε,
ἀπερίϲτατόϲ τε πλοῦτοϲ.
Θέαϲαι τὰ τερπνὰ κάλλη
θέαν οἰμωγὴν κινοῦντα,
θέαϲαι νέων τὰ ἄνθη
θανάτῳ καταφθαρέντα.
Ἴδε πῶϲ μικρὸϲ γενήϲῃ,
ἴδε πῶϲ νεκρὸϲ τεθήϲῃ,
ἴδε δόξαν ἀϲτατοῦϲαν,
ἴδε ποῦ τύποϲ μετῆλθεν.
Κόνιϲ ὀϲτέων δυϲώδηϲ,
κεφαλῆϲ τρίχεϲ ῥέουϲαι,
κρανία φθορᾶϲ γέμοντα
καθορῶϲιν ὡϲ βδέλυγμα.
Λόγιϲαι δὲ καὶ τὸ μέλλον,
λέγε πῶϲ παραϲταθήϲῃ,
λόγον ἔνδικον ὑφέξων
λελογιϲμένων δι' ἔργων.
Μετὰ πλειόνων κυκλούντων
μεμονωμένοϲ πορεύϲει,
μετὰ πράξεων κρυφαίων
μέγα πρὸϲ θεοῖο βῆμα.
Νεότηϲ ἄφνω παρῆλθε,
νέφοϲ ὥϲπερ ἐϲκεδάϲθη,
νόμον ἠθέτηϲα θεῖον
νενοθευμένωϲ βιώϲαϲ.
Ξένοϲ ἐκ καλῶν ὑπάρχω,
ξένοϲ ἐκ δικαιοϲύνηϲ,
ξένοϲ ἔκ τε ϲωφροϲύνηϲ,
ξένοϲ ἐκ φρονήϲεώϲ τε.
Ὅτε γυμνὸϲ οὖν προϲέλθω
ὅλοϲ ἠπορημένοϲ τε,
ὀδυνηρὰ κλαυθμηρίζων,
ὀφέλειαν οὐκ ἀνοίϲω.
Παρὰ τοῦ κριτοῦ δ' ἀκούϲω·
πεπεδημένον λαβόντεϲ,
πυρὸϲ ἐν μέϲῳ βαλόντεϲ
πικρὰ τοῦτον ἐκπυροῦτε.

96 τεμένουϲ δ' Matr. — παρέλθω nos: τὸ ϲῶμα Matr.
Syncelli carmen primus ex cod. Barberino n. 246 edidit Matranga in Anecd. graec. II p. 641 sqq. — 4 ἀνακειμένῳ Matr. — 10 βίον nos: γύραν cod. γῆραϲ Matr. — 24 αθέω? — 30 fort. κινοῦϲαν — 38 τρίχαϲ ῥεούϲαϲ Matr.

Ῥύcαι, Χριcτὲ, τοῦ πυρόc με,
ῥύcαι τοῦ cκότουc με, cῶτερ,
ῥύcαί με φλογὸc γεέννηc,
ῥύcαι τῶν πικρῶν κολαcτῶν.
Cύ με Ταρτάρου caώζοιc,
cκέπαcον βρυγμῶν ὀδόντων,
cύ με cῶζε τῆc καμίνου
cτεναγμῶν τε τῶν ἀπαύcτων.
Τίc ἔccομαι πρὸc τοcαῦτα;
τίc ἐκεῖ cυνήγορόc μοι;
τί γενήcεταί μοι λύτρον;
τίνα μηχανὴν ἐφεύρω;
Ὑπέδραμε δὴ χρόνοc μοι,
ὑπελήλυθεν βίοc μοι,
ὑπέκυψα τοῖc ματαίοιc
ὑπὸ τῆc ἐμῆc ἀνοίαc.
Φοβερὸν τὸ ἐμπεcεῖν με
φοβερὰc θεοῦ πρὸc χεῖραc·
φοβερὸν κριτήριόν γε
φυλὰc γηγενῶν ἐφέλκον.
Χλοερὸν παρῆλθεν ἄνθοc,
χρόνοc ἐcτὶ νῦν θεριcμοῦ,
χοὸc εἰcκαλεῖ με μοῖρα,
χύμα πρὸc τάφον τιθεῖcα.
Ψιλὸc εἰc τέλοc ὑπάρχω,
ψεκὰc αὖθιc ἡ τυχοῦcα,
ψόφοc εὐπόριcτοc αὔραc,
ψαμάθοιc νέον ἄθυρμα.
Ὁ θεὸc δέ μοι παράcχου
ὅλον εἰc βίου τὸ λεῖπον
ὁδὸν εἰc μίαν βαδίζειν
ὁλόκληρον ἐντολῶν cου.

ΛΕΟΝΤΟC ΤΟΥ ΒΑCΙΛΕΩC

ᾠδάριον κατανυκτικόν.

Ἆρα τίc γῆθεν ἀείραc
ἐν cυcτροφῇ με Ζεφύρου
ἀκαριαίωc ἀποίcει
πρὸc τὴν κλαυθμῶνοc κοιλάδα,
ἵν᾽ ὅπωc με τὰc μενούcαc
ἰδὼν κολάcειc θρηνήcω;
Βαβαὶ βάβαὶ πῶc βρυχήcει
γαῖα διχῇ ῥηγνυμένη
νεύcει τῆc ὕπερθεν βίαc,
φρικώδειc ἀπογυμνοῦcα
χώρουc τοὺc νῦν κεκευθμένουc;
φεῦ μοι τῆc θέαc ἐκείνηc.
Γλαφυροτόρνευτοι τάφοι,
cκότουc μεcτοί τε καὶ γνόφου,
μυχὸc ἀπύθμαντοc ἄλλοc
καὶ ἀντρονύχιοc χάcμη
ἐν ἀποκρύφοιc τηροῦνται
πᾶcι λυγρῶc τοῖc βιοῦcι.
Δεινῶc ἐκεῖcε κοιτάζων
ὁ ἄγριοc αἱμοπότηc
βρύχει, μαιμᾷ, caίνει κέρκον,
καὶ κεχηνὼc ἀναμένει
καταπιεῖν πικρὸc cκώληξ
τοὺc κατ᾽ ἐμὲ πλημμελοῦνταc.
[Δακρύων ὄμβρουc μοι δίδου,
εὔϊλατε θεοῦ λόγε,
πρὶν κατακρύψει με τάφοc
ξένον, γυμνὸν εὐπραγίαc,
πρὶν οἱ πικροὶ φορολόγοι
ζητήcουcί μου τὰc πράξειc.]
Ἐκεῖ βρυγμὸc τῶν ὀδόντων
ὀλολυγμόc τε καὶ θρῆνοc,
τάρταροc ἄμοιροc θέρμηc,
ἀνήλιοc καὶ cκιώδηc·
ἐκεῖ πολύcτονον πένθοc
καὶ ὀχετοὶ τῶν δακρύων.
Ζυγὸc καὶ πλάcτιγξ τὰ ἔργα
cταθμίζεται δοκιμάζων,
ἀνακουφίζων, βαρύνων,
οὐ τὰ ἐcθλὰ, τὰ δὲ φαῦλα.
ἅπερ βιῶν ἐπεπράχειν
ἐκ πονηρᾶc cυνηθείαc.

70 τεῶν Matr. — 73 fort. ἔcομαι — 75 τίc Matr.
Leontis in carmine recensendo usi sumus duobus codd. Monac. n. 201 (L) et n. 25 (M) — v. 7 βρυχάcει L — 22 ἀπηνῶc L — 25 quintam stropham ab interpolatore adiectam esse acrostichis coarguit — 28 εὐπραξίαc L

Ἡ καταιγὶς ἐκθροεῖ με
καὶ ταραχὴ τῶν πνευμάτων,
τὸ αὐχμηρὸν τῆς θυέλλης
καὶ συνοχὴ τῶν κτισμάτων,
κτύποι βροντῶν ἐπαλλήλων
ἀστεροπῶν τε τὸ δέος.
Θάμβος ἰδεῖν ὑπὲρ πάντα
καὶ τρόμος ἀναπολῆσαι,
τὸν ποταμὸν τοῦ παμφάγου
πυρὸς ὁμοῦ τε καὶ λίμνην
παφλάζουσαν καὶ βριμῶσαν
ἐνδίκως με πυρπολῆσαι.
Ἰδοὺ, ψυχὴ παναθλία,
βλεφάροις τῆς διανοίας
ἱστόρησά σοι τὰς θλίψεις
καὶ τὰς ποινὰς πρὸ τῆς δίκης·
νῆφε θερμῶς ποτνιῶσα
τῆς πείρας, τούτων ῥυσθῆναι.
Κριτής σοι πόρρωθεν ἥξει
θρονούμενος ἐν νεφέλῃ,
τὴν κτίσιν ἀνατινάσσων
νερτέρων ἐκ τῶν θεμέθλων,
κυμαίνων καὶ τὸν ἀέρα
παναλκεστάτῃ δυνάμει.
Λαῖλαψ λικμήσει τὰ ὄρη
καὶ ἀφαντώσει τὰς νάπας,
καὶ ἐν πυρὶ ἀκαμάτῳ
ἐκτεφρωθήσεται χέρσος
ἀπὸ προσώπου κυρίου
κρῖναι τὴν γῆν ἐρχομένου.
Μαρμαρυγαὶ τῶν φωστήρων
σβεσθήσονται παραυτίκα,
καὶ τῶν ἀστέρων τὰ πλήθη
οἷά περ φύλλα πεσοῦνται·
σὺ δὲ ψυχή, πῶς ὑποίσεις
τὴν ἔλευσιν τοῦ δεσπότου;
Ναμάτων θάλασσα σπάνιν
ὑφέξει δειματουμένη,
καὶ ποταμοὶ κονισθῶσι
πηγάζοντες ἀεννάως·
σὺ δέ, ψυχή, τί ποιήσεις,
τούτων φρικτῶς τελουμένων;
Ξένον ἰδέσθαι τὰ πάντα
τὸ περιέχον στοιχεῖον
πυρκαϊᾶς ἀφανείᾳ
διδόμενον ὕλης δίκην
καὶ εἱλισσόμενον αὖθις
ὡς κώδικα μεμβρανώδη.
Οἴμοι, πῶς ταῦτα, μελέα,
ἐν νῷ, ψυχή, οὐ λαμβάνεις,
ἀλλ' ὑπὲρ ψάμμον θαλάσσης
ἀμνημονεῖς ἁμαρτοῦσα;
ἀδήλως, ὅθεν τὸ τέρμα
ἤδη λοιπόν σοι προσψαύσει.
Πῶς λιγυρῶς ὑπᾳδούσης
τῆς σάλπιγγος ὑπενέγκῃς;
τῶν κενεώνων γὰρ γαῖα
νέκυας ἀνασφαιρίσει,
καὶ θάλασσα τοὺς σφετέρους
τῇ φοβερᾷ ἐπιστάσει.
Ῥαγήσεται τὰ μνημεῖα
νεκάδων κατεστιγμένων
τῇ τοῦ κριτοῦ ὑπαντήσει,
Μιχαὴλ σπέρχοντος ἅμα
πάντας ῥιπῇ παραστῆσαι
τεττάρων ἐκ τῶν ἀνέμων,
Σύνες, ψυχή, μετὰ ταῦτα
φρικτοὶ πῶς τίθενται θρόνοι
καὶ ἀναπτύσσονται βίβλοι
παρισταμένων ἐν φόβῳ
ἀπείρων καὶ ἀναρίθμων
ἀγγέλων τε καὶ ἀνθρώπων.
Τότε λοιπὸν αἱ κολάσεις
δειχθήσονται, ἃς προέφην,
ἀπολαμβάνειν ἑτοίμως
τοὺς ὑπευθύνους διψῶντας,
ὧν τελευταῖος καὶ πρῶτος
μόνος ἐγὼ καὶ παντλήμων.
Ὑπαγορεύσει πραέως
ὁ δικαστὴς τοῖς ἀξίοις,

54 post nonam, decimam tertiam, decimam septimam, visesimam primam, visesimam ıartam singula theotokia addunt cod. L et cod. Barberinus, quo usus est Matranga in necd. graec. tom. II p. 683 sqq. — 97 ἐπᾳδούσῃς L — 107 an κριτῇ? — 116 προέφης M — 117 ἀπολαμβάνει L — 118 διψῶσαι L et Matranga ex cod. Barberino

καλῶν αὐτοῦ βαϲιλείαν
κληρονομεῖν αἰωνίαν,
καὶ αὐϲτηρῶϲ ἁμαρτωλοὺϲ
τοῦ βήματοϲ ἀπελάϲει.
Φιλανθρωπίαϲ ϲῆϲ ὄντωϲ
ἐκπέϲουϲιν ἀλαζόνεϲ
κριταί, ϲοφοὶ καὶ δυνάϲται
καὶ βαϲιλεῖϲ ὑπερόπται,
ἀζύγων καὶ ἱερέων,
οἴμοι, πληθὺϲ καὶ μιγάδων.
Χωριζομένων ϲυγγόνων,
γονέων, φίλων καὶ τέκνων
τίϲ ἐννοῶν οὐκ οἰμώξει,
τίϲ δὲ βαϲτάϲει τὸν πόνον;
θρηνήϲομεν γὰρ ἀλλήλουϲ
εἰϲ τοὺϲ ἀπείρουϲ αἰῶναϲ.
Ψυχή, λογίζου πῶϲ ἄρδην
βληθήϲονται εἰϲ κολάϲειϲ
ἑλκόμενοι ἀποτόμωϲ
ὑπὸ πυρφόρων ἀγγέλων,
καὶ ϲτέναξον πρὸ τῆϲ πείραϲ
ἐκ βάθουϲ τῆϲ διανοίαϲ.
Ὦ δέϲποτα τῶν αἰώνων,
πάτερ, υἱὲ καὶ τὸ πνεῦμα,
ἡ τριϲυπόϲτατοϲ μία
καὶ ἀδιαίρετοϲ φύϲιϲ,
δόϲ μοι καιρὸν μετανοίαϲ
πρὸϲ λύϲιν ἀμπλακημάτων.

ΦΩΤΙΟΥ ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ὕμνοϲ ἐκ προϲώπου Βαϲιλείου δεϲπότου.

Ἦχοϲ α'.

Ἀπὸ χειλέων ὕμνον
προϲφέρω ϲοι τῷ κτίϲτῃ,
ἀπὸ καρδίαϲ βάθουϲ
ϲοὶ δόξαν ἀναπέμπω.
Βάθοϲ ϲου τῆϲ ϲοφίαϲ,
κριμάτων τὰϲ ἀβύϲϲουϲ
τίϲ λόγοϲ ἐξυμνήϲει,
δέϲποτα τῶν ἁπάντων;
Γλῶϲϲα δὲ πῶϲ ἐξείποι
τὸ ϲὸν, ὕψιϲτε, κράτοϲ,
ὢ βάθοϲ, ὢ ϲοφία
νικῶϲα πάντα λόγον;
Δυνάμει ἀϲυγκρίτῳ
θαυμάϲια ἐργάζει,
οὐδὲν δέ ϲου τῇ θείᾳ
ἀνθίϲταται βουλήϲει.
Ἐξίϲταμαι, καὶ θάμβουϲ
πληροῦμαι τὴν καρδίαν,
ὅταν ϲῆϲ δυναϲτείαϲ
τὰ ἔργα ἐννοήϲω.
Ζητεῖν οὐκ ἐξαρκεῖ μοι
διάνοια τὸ θαῦμα,
τὸ ὕψοϲ τοῦ ἐλέουϲ,
χαρίτων ϲου τὸν πλοῦτον.
Ἤγειράϲ με ἐκ λάκκου,
κύριε, κατωτάτου,
δυναϲτῶν δὲ ἐν μέϲῳ
ἔθηκαϲ τοῦ λαοῦ ϲου,
Θεέ, δέϲποτα πάντων,
κύριε τοῦ ἐλέουϲ,
τίϲ λόγοϲ ἐξαρκέϲει
πρὸϲ ϲὴν δοξολογίαν;
Ἰδὼν ὁ βλέπων πάντα
ταπείνωϲιν καὶ πόνον
ἐμῆϲ καρδίαϲ λύειϲ
κακώϲεων τὰ βάρη·
Καθάπερ μόνοϲ οἶδαϲ
πνοῆϲ ὁ πάϲηϲ κτίϲτηϲ,
ὁ ἐκ μητρὸϲ κοιλίαϲ
ὑπάρχων ϲκεπαϲτήϲ μου.
Λίθῳ τὴν κεφαλήν μου
ἐκόϲμηϲαϲ τιμίῳ,
ἔδειξαϲ βαϲιλέα
καὶ ἄρχοντα λαοῦ ϲου.

---

123 et 124 om. L et Matranga; iidem post v. 124 addunt: οὓϲ μὲν εἰϲ δόξαν ἐφέλκων, οὓϲ δὲ πρὸϲ ἄληκτον πένθοϲ — 128 ἐκπεϲοῦνται reponere non ausi sumus.

Photii hymnum ex cod. Barberino n. 246 primus edidit A. Maius Spicil. rom. t. IX — 41 Psalm. XX 4

Μεγαλύνω cου, cῶτερ,
τὴν θείαν δυναcτείαν,
ὅτι ὡc δυνατόc μοι
εἰργάcω μεγαλεῖα.
Νεώτεροc ὑπῆρχον
ἐν τέκνοιc τοῦ πατρόc μου,
ἀλλ', ὦ cου τῶν θαυμάτων,
ἀνέδειξαc δεcπότην.
Ξενίζει πᾶcαν ὄντωc
διάνοιαν τὸ θαῦμα,
καὶ ξένον γὰρ ὑπάρχει
ὡc ἔργον δεξιᾶc cου.
Ὁ πρὶν γενέcθαι πάντα
ὥcπερ παρόντα βλέπων,
ὁ πάντων βαcιλεύων
ἐπάκουcον φωνῆc μου.
Πορεύεcθαι εὐθεῖαν
τῶν ἐντολῶν cου τρίβον
εὐδόκηcον ὁ πρίν με
γενέcθαι ἀφορίcαc.
Ῥομφαίᾳ καθοπλίcαc
τῆc cῆc δυνάμεώc με,
ἐχθροὺc τοὺc ἀοράτουc
ἐνίcχυcον τροποῦcθαι.
Cοφία, θεῖε λόγε
πατρὸc, ὃν ᾑρετίcω
δουλεύειν cοι, φύλαξον
ἐπώνυμον λαόν cου.
Τὰ βέλη τοῦ λαοῦ cου
ἠκονημένα δεῖξον
πηγνύμενα καρδίᾳ
ἐχθρῶν cου βαcιλείαc.
Ὑπὲρ ἧc τὸ cὸν αἷμα
ἐκένωcαc, cωτήρ μου,
ἁγίαν ἐκκληcίαν
ἀκίνητον cυντήρει.
Φιλάνθρωπε, οἰκτίρμον,
ἣν ἔδωκαc εἰρήνην
τοῖc θείοιc ἀποcτόλοιc
παράcχου· τῷ λαῷ cου.
Χάριν, ἣν ἐπηγγείλω
τοῦ πνεύματοc παρέξειν,
κατάπεμψον, ὁ πλάcτηc
ἁπάντων καὶ δεcπότηc.
Ψυχῇ, ὦ ἄν, μιᾷ cου
καὶ γνώcει καὶ καρδίᾳ
ἀπαύcτωc εὐλογοῦμεν
τὴν θείαν βαcιλείαν.
Ὦ πάντων βαcιλεύων
τῶν ἄνω καὶ τῶν κάτω,
εἰc cὲ πᾶcαν ἐλπίδα
οἶδαc ὡc ἀνεθέμην.
Cὺ οὖν ὡc κτίcτηc πάντων
θεὸc καὶ βαcιλεύc μου,
ὃν ἔδωκαc λαόν μοι,
τῇ δεξιᾷ cου ἄγοιc.

ΑΝΤΙΦΩΝΑ.

Ἀντίφωνα ψαλλόμενα ἐν τῇ λειτουργίᾳ τοῦ Χρυcοcτόμου.

Ἀντίφωνον α'.

Ἀγαθὸν τὸ ἐξομολογεῖcθαι τῷ κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί cου, ὕψιcτε· (Psalm. XCI 2)

Ταῖc πρεcβείαιc τῆc θεοτόκου, cῶτερ, cῶcον ἡμᾶc.

Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεόc cου καὶ τὴν ἀλήθειάν cου πάcαιc ταῖc ἡμέραιc ἡμῶν· (Ps. XCI 3)

Ταῖc πρεcβείαιc ...

87 ὦ πλάcτηc cod. — 89 ὦ ἄν cod.: aut ὦ τάν aut ὦνα poeta scripsisse videtur — cοῦ nos: cε cod. — 93 ὁ πάντων cod. — 97 extrema stropha, si acrostichidem alphabeticam spectes, ab interpolatore, addita esse videtur.

Ὅτι εὐθὺς κύριος ὁ θεὸς ἡμῶν καὶ νῦν ἐστιν ἐν τῇ δικαιοσύνῃ τοῦ προσώπου αὐτοῦ. (Ps. X 7)

Ταῖς πρεσβείαις ...

Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι

Ταῖς πρεσβείαις ...

καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταῖς πρεσβείαις ...

Ἀντίφωνον β΄.

Ὁ κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο· ἐνεδύσατο κύριος δύναμιν καὶ περιεζώσατο· (Ps. XCII 1)

Ταῖς πρεσβείαις τῶν ἁγίων σου σῶσον ἡμᾶς.

Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. (Ps. XCII 1)

Ταῖς πρεσβείαις ...

Τὰ μαρτύριά σου, κύριε, ἐπιστώθησαν σφόδρα. (Ps. XCII 5)

Ταῖς πρεσβείαις ...

Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι

Ταῖς πρεσβείαις ...

καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν·

Ὁ μονογενὴς υἱὸς | καὶ λόγος τοῦ θεοῦ,
ἀθάνατος ὑπάρχων,
καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν
σαρκωθῆναι ἐκ τῆς ἁγίας θεοτόκου
καὶ ἀειπαρθένου Μαρίας,
ἀτρέπτως ἐνανθρωπήσας, | σταυρωθείς τε, Χριστὲ ὁ θεός,
θανάτῳ θάνατον πατήσας,
εἷς ὢν τῆς ἁγίας τριάδος,
συνδοξαζόμενος τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι,
σῶσον ἡμᾶς.

Ἀντίφωνον γ΄.

Δεῦτε ἀγαλλιασώμεθα τῷ κυρίῳ, ἀλαλάξωμεν θεῷ τῷ σωτῆρι ἡμῶν. (Ps. XCIV 1)

Σῶσον ἡμᾶς, υἱὲ θεοῦ, ὁ ἐν ἁγίοις θαυμαστός, ψάλλοντάς σοι Ἀλληλούϊα.

Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ· (Ps. XCIV 2)

Σῶσον ἡμᾶς, υἱὲ θεοῦ ...

Ὅτι θεὸς μέγας κύριος καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν· (Ps. XCIV 3)

Σῶσον ἡμᾶς, υἱὲ θεοῦ ...

Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς καὶ τὰ ὕψη τῶν ὀρέων αὐτὸς ὁρᾷ· (Ps. XCIV 4)

Σῶσον ἡμᾶς, υἱὲ θεοῦ ...

Ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηρὰν ἐθεμελίωσαν αἱ χεῖρες αὐτοῦ. (Ps. XCIV 5)

Σῶσον ἡμᾶς, υἱὲ θεοῦ ...

Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι

Σῶσον ἡμᾶς, υἱὲ θεοῦ ...

καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν·
Cῶcον ἡμᾶς, υἱὲ θεοῦ ...

Ἀντίφωνα ψαλλόμενα ἐν τῇ ἑορτῇ τοῦ εὐαγγελισμοῦ. (Μαρτ. 25)

Ἀντίφωνον α'.

Ὁ θεὸς τὸ κρῖμά cου τῷ βαcιλεῖ δὸς καὶ τὴν δικαιοcύνην cου τῷ υἱῷ τοῦ βαcιλέως. (Ps. LXXI 1)
Ταῖς πρεσβείαις τῆς θεοτόκου, cῶτερ, cῶcον ἡμᾶς.
Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ καὶ οἱ βουνοὶ δικαιοcύνην. (Ps. LXXI 3)
Ταῖς πρεσβείαις τῆς θεοτόκου, cῶτερ, cῶcον ἡμᾶς.
Εὐαγγελίζεcθε ἡμέραν ἐξ ἡμέρας τὸ cωτήριον τοῦ θεοῦ ἡμῶν. (Ps. XCV 2)
Ταῖς πρεσβείαις τῆς θεοτόκου, cῶτερ, cῶcον ἡμᾶς.
Ὤμοcε κύριος τῷ Δαυῒδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήcει αὐτήν. (Ps. CXXXI 11)
Ταῖς πρεσβείαις τῆς θεοτόκου, cῶτερ, cῶcον ἡμᾶς.
Δόξα πατρὶ ... καὶ νῦν καὶ ἀεὶ ...
Ταῖς πρεσβείαις τῆς θεοτόκου, cῶτερ, cῶcον ἡμᾶς.

Ἀντίφωνον β'.

Καταβήcεται ὡς ὑετὸς ἐπὶ πόκον καὶ ὡcεὶ cταγὼν ἡ cτάζουcα ἐπὶ τὴν γῆν. (Ps. LXXI 6)
Cῶcον ἡμᾶς, υἱὲ θεοῦ, ὁ δι' ἡμᾶς cαρκωθεὶς, ψάλλοντάς cοι· Ἀλληλούϊα.
Ἡγίαcε τὸ cκήνωμα αὐτοῦ ὁ ὕψιcτος. (Ps. XLV 5)
Cῶcον ἡμᾶς ...
Ὁ θεὸς ἐμφανῶς ἥξει, ὁ θεὸς ἡμῶν, καὶ οὐ παραcιωπήcεται. (Ps. XLIX 3)
Cῶcον ἡμᾶς ...
Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοcύνη καὶ πλῆθος εἰρήνης. (Ps. LXXI 7)
Cῶcον ἡμᾶς·
Δόξα πατρὶ ... καὶ νῦν καὶ αἰεὶ ...
Ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ ...

Ἀντίφωνον γ'.

Ἔcται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας. (Ps. LXXI 17)
Cήμερον τῆς cωτηρίας ἡμῶν ... (vide apolytikion mensis Martii d. 25)
Εὐλογητὸς κύριος ὁ θεὸς τοῦ Ἰcραὴλ, ὁ ποιῶν θαυμάcια μόνος. (Ps. LXXI 18)
Cήμερον τῆς cωτηρίας ...
Εὐλογημένον τὸ ὄνομα αὐτοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. (Ps. LXXI 19)
Cήμερον τῆς cωτηρίας ...

ΑΝΑΒΑΘΜΟΙ.

Ἀντίφωνον α'.

Ἐν τῷ θλίβεcθαί με | εἰcάκουcόν μου τῶν ὀδυνῶν, | κύριε, cοὶ κράζω. (Ps. CXIX)
Τοῖς ἐρημικοῖς | ἄπαυcτος ὁ θεῖος πόθος ἐγγίγνεται, | κόcμου οὖcι τοῦ ματαίου ἐκτός.
Δόξα πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι
καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Ἁγίῳ πνεύματι τιμὴ καὶ δόξα, | ὥcπερ πατρὶ πρέπει ἅμα καὶ υἱῷ
διὰ τοῦτο ᾄcωμεν τῇ τριάδι μονοκρατορίᾳ.

Ἀντίφωνον β'.

Εἰc τὰ ὄρη τῶν cῶν | ὕψωcάc με νόμων· | ἀρεταῖc ἐκλάμπρυνον | ὁ θεὸc, ἵνα ὑμνῶ cε. (Ps. CXX)

Δεξιᾷ cου χειρὶ λαβὼν cὺ, λόγε, | φύλαξόν με, | φρούρηcον, | μὴ πῦρ με φλέξῃ τῆc ἁμαρτίαc.

Δόξα .... καὶ νῦν ....

Ἁγίῳ πνεύματι | πᾶcα ἡ κτίcιc καινουργεῖται, | παλινδρομοῦcα εἰc τὸ πρῶτον· ἰcοcθενὲc γάρ ἐcτι πατρὶ καὶ λόγῳ.

Ἀντίφωνον γ'.

Ἐπὶ τοῖc εἰρηκόcι μοι, | ὁδεύcωμεν εἰc τὰc αὐλὰc τοῦ κυρίου, | εὐφράνθη μου τὸ πνεῦμα, | cυγχαίρει ἡ καρδία. (Ps. CXXI)

Ἐπὶ οἶκον Δαυὶδ | φόβοc μέγαc· | ἐκεῖ γὰρ θρόνων ἐκτεθέντων, | κριθήcονται ἅπαcαι αἱ φυλαὶ τῆc γῆc καὶ γλῶccαι.

Δόξα .... καὶ νῦν ....

Ἁγίῳ πνεύματι | τιμὴν, προcκύνηcιν, | δόξαν καὶ κράτοc | ὡc πατρί τε ἄξιον | καὶ τῷ υἱῷ δεῖ προcφέρειν· | μονὰc γάρ ἐcτιν ἡ τριὰc τῇ φύcει, | ἀλλ' οὐ προcώποιc.

ΚΑΘΙCΜΑΤΑ.

I

Αὐτόμελον (Ὀκτ. cελ. 17)
ἦχοc α'.

Τὸν τάφον cου, cωτὴρ,
cτρατιῶται τηροῦντεc
νεκροὶ τῇ ἀcτραπῇ
τοῦ ὀφθέντοc ἀγγέλου
ἐγένοντο κηρύττοντοc
γυναιξὶ τὴν ἀνάcταcιν·
cὲ δοξάζομεν,
τὸν τῆc φθορᾶc καθαιρέτην,
coὶ προcπίπτομεν,
τῷ ἀναcτάντι ἐκ τάφου
καὶ μόνῳ θεῷ ἡμῶν.

Προcόμοια (ibid.)

Cταυρῷ προcηλωθεὶc
ἑκουcίωc, οἰκτίρμον,
ἐν μνήματι τεθεὶc,
ὡc θνητὸc, ζωοδότα,
τὸ κράτοc cυνέτριψαc,
ἀγαθὲ, τοῦ θανάτου·
cὲ γὰρ ἔφριξαν
οἱ πυλωροὶ οἱ τοῦ ᾅδου,
cὺ cυνήγειραc
τοὺc ἀπ' αἰῶνοc θανόνταc,
ὡc μόνοc φιλάνθρωποc.

θεοτοκίον.

Μητέρα cε θεοῦ
ἐπιcτάμεθα πάντεc,
παρθένον ἀληθῶc
[καὶ] μετὰ τόκον φανεῖcαν,
οἱ πόθῳ καταφεύγοντεc
πρὸc τὴν cὴν ἀγαθότητα·
cὲ γὰρ ἔχομεν
ἁμαρτωλοὶ προcταcίαν,

I cod. D — v. 8 μνήματι καινῷ ὡc θεὸc κατετέθηc D — 9 possis coniicere cὺ cυνέτριψαc, sed similiter aliorum Προcομοίων numeri ab exemplari recedunt — δυνατὲ τῷ θανάτῳ cου Oct. sensu parum accomodato, sed numeris bonis. — 10 ἔπτηξαν D — 11 θανένταc D — 14 καὶ eiiciendum monuimus — ὀφθεῖcαν D

cὲ κεκτήμεθα
ἐν πειραcμοῖc cωτηρίαν
τὴν μόνην πανάμωμον.

β΄. Προcόμοια (Τριῳδ. cελ. 344).

Τὰ πάθη τὰ cεπτὰ
ἡ παροῦcα ἡμέρα
ὡc φῶτα cωcτικὰ
ἀνατέλλει τῷ κόcμῳ·
Χριcτὸc γὰρ ἐπείγεται
τοῦ παθεῖν ἀγαθότητι·
ὁ τὰ cύμπαντα
ἐν τῇ δρακὶ περιέχων
καταδέχεται
ἀναρτηθῆναι ἐν ξύλῳ
τοῦ cῶcαι τὸν ἄνθρωπον.

Ἀόρατε κριτά,
ἐν cαρκὶ πῶc ὡράθηc
καὶ ἔρχῃ ὑπ' ἀνδρῶν
παρανόμων κτανθῆναι,
ἡμῶν τὸ κατάκριμα
κατακρίνων τῷ πάθει cου;
ὅθεν αἶνεcιν,
μεγαλοcύνην καὶ δόξαν
ἀναπέμποντεc
τῇ ἐξουcίᾳ cου, λόγε,
cυμφώνωc προcφέρομεν.

γ΄. Προcόμοια (Τριῳδ. cελ. 357).

Ἡ πόρνη ἐν κλαυθμῷ
ἀνεβόα, οἰκτίρμον,
ἐκμάccουcα θερμῶc
τοὺc ἀχράντουc cου πόδαc
θριξὶ τῆc κεφαλῆc αὐτῆc
καὶ ἐκ βάθουc cτενάζουcα·
μὴ ἀπώcῃ με,
μηδὲ βδελύξῃ, θεέ μου,
ἀλλὰ δέξαι με
μετανοοῦcαν καὶ cῶcον
ὡc μόνοc φιλάνθρωποc.

δ΄. Προcόμοια (Τριῳδ. cελ. 408).

Cινδόνι καθαρᾷ
καὶ ἀρώμαcι θείοιc
τὸ cῶμα τὸ cεπτὸν
ἐξαιτήcαc Πιλάτῳ
μυρίζει τε καὶ τίθηcιν
Ἰωcὴφ καινῷ μνήματι·
ὅθεν ὄρθριαι
αἱ μυροφόροι γυναῖκεc
ἀνεβόηcαν·
δεῖξον ἡμῖν, ὡc προεῖπαc,
Χριcτέ, τὴν ἀνάcταcιν.

Ἐξέcτηcαν χοροὶ
τῶν ἀγγέλων ὁρῶντεc
τὸν ἐν τοῖc τοῦ πατρὸc
καθεζόμενον κόλποιc,
πῶc τάφῳ κατατίθεται
ὡc νεκρὸc ὁ ἀθάνατοc·
ὃν τὰ τάγματα
τὰ τῶν ἀγγέλων κυκλοῦcι
καὶ δοξάζουcι
cὺν τοῖc νεκροῖc ἐν τῷ ᾅδῃ
ὡc κτίcτην καὶ κύριον.

ε΄. Προcόμ. εἰc τὴν Ὑπαπαντὴν τοῦ Χριcτοῦ (Φεβρ. 2).

Χορὸc ἀγγελικὸc
ἐκπληττέcθω τὸ θαῦμα,
βροτοὶ δὲ ταῖc φωναῖc
ἀνακράξωμεν ὕμνον,
ὁρῶντεc τὴν ἄφατον
τοῦ θεοῦ cυγκατάβαcιν·
ὃν γὰρ τρέμουcι
τῶν οὐρανῶν αἱ δυνάμειc,
γηραλέαι νῦν
ἐναγκαλίζονται χεῖρεc
τὸν μόνον φιλάνθρωπον.

Ὁ ὢν cὺν τῷ πατρὶ
ἐπὶ θρόνου ἁγίου

18 πανύμνητον D

ἐλθὼν ἐπὶ τῆϲ γῆϲ
ἐκ παρθένου ἐτέχθη
καὶ βρέφοϲ ἐγένετο
χρόνοιϲ ὢν ἀπερίγραπτοϲ·
ὃν δεξάμενοϲ
ὁ Ϲυμεὼν ἐν ἀγκάλαιϲ
χαίρων ἔλεγε·
νῦν ἀπολύειϲ, οἰκτίρμον,
εὐφράναϲ τὸν δοῦλόν ϲου.

ϛ'. Προϲόμ. εἰϲ τὸν Εὐαγγελιϲμὸν τῆϲ θεοτόκου (Μαρτ. 25).

Ὁ μέγαϲ ϲτρατηγὸϲ
τῶν ἀΰλων ταγμάτων
εἰϲ πόλιν Ναζαρὲτ
ἐπιϲτὰϲ βαϲιλέα
μηνύει ϲοι, ἄχραντε,
τῶν αἰώνων καὶ κύριον,
χαῖρε, λέγων ϲοι,
εὐλογημένη Μαρία,
ἀκατάληπτον
καὶ ἀνερμήνευτον θαῦμα
βροτῶν ἡ ἀνάκληϲιϲ.

ζ'. Προϲόμ. εἰϲ μνήμην τοῦ Γεωργίου (Ἀπριλ. 23).

Ἀνέτειλεν, ἰδού, | τὸ τῆϲ χάριτοϲ ἔαρ·
ἐπέλαμψε Χριϲτοῦ | ἡ ἀνάϲταϲιϲ πᾶϲι,
καὶ ταύτῃ ϲυνεκλάμπει νῦν
Γεωργίου τοῦ μάρτυροϲ
ἡ πανέορτοϲ | καὶ φωτοφόροϲ ἡμέρα·
δεῦτε ἅπαντεϲ
λαμπροφοροῦντεϲ ἐνθέωϲ
φαιδρῶϲ ἑορτάϲωμεν.

η'. Προϲόμ. εἰϲ μνήμην τοῦ Νικολάου (Δεκ. 6).

Ἀϲτράπτειϲ ἐν τῇ γῇ
τῶν θαυμάτων ἀκτῖϲι,
Νικόλαε ϲοφέ,
καὶ κινεῖϲ πᾶϲαν γλῶϲϲαν
εἰϲ δόξαν τε καὶ αἴνεϲιν
τοῦ ἐν γῇ ϲε δοξάϲαντοϲ·
ὃν ἱκέτευε | πάϲηϲ ἀνάγκηϲ ῥυϲθῆναι
τοὺϲ τὴν μνήμην ϲου
πίϲτει καὶ πόθῳ τιμῶνταϲ,
πατέρων ἐκλόγιον.

II

Αὐτόμελον (Ὀκτ. ϲελ. 57). ἦχοϲ γ'.

Τὴν ὡραιότητα
τῆϲ παρθενίαϲ ϲου
καὶ τὸ ὑπέρλαμπρον
τὸ τῆϲ ἁγνείαϲ ϲου
ὁ Γαβριὴλ καταπλαγεὶϲ
ἐβόα ϲοι, θεοτόκε·
ποῖόν ϲοι ἐγκώμιον
προϲαγάγω ἐπάξιον;
τί δὲ ὀνομάϲω ϲε;
ἀπορῶ καὶ ἐξίϲταμαι.
διὸ ὡϲ προϲετάγην βοῶ ϲοι·
χαῖρε ἡ κεχαριτωμένη.

Προϲόμοια ἀναϲτάϲιμα (ibid.)

Τὸ ἀναλλοίωτον
τὸ τῆϲ θεότητοϲ
καὶ τὸ ἑκούϲιον
πάθοϲ ϲου, κύριε,
εἰϲ ἑαυτὸν καταπλαγεὶϲ
ὁ Ἅιδηϲ ἐπωδύρετο·
τρέμω τὴν τοῦ ϲώματοϲ
μὴ φθαρεῖϲαν ὑπόϲταϲιν·
βλέπω τὸν ἀόρατον
μυϲτικῶϲ πολεμοῦντά με·
διὸ καὶ οὓϲ κατέχω κραυγάζουϲι·
δόξα, Χριϲτέ, τῇ ἀναϲτάϲει ϲου.

II. cod. D tertiam stropham primae praeponit, alteram hoc loco omittit, sed simillimam carmini quod antecedit inseruit — 5 ὀνομάϲαι D — 6 alii κραυγάζω ϲοι legisse videntur

Τὸ ἀκατάληπτον
τὸ τῆς σταυρώσεως
καὶ ἀνερμήνευτον
τὸ τῆς ἐγέρσεως
θεολογοῦμεν οἱ πιστοὶ
ἀπόρρητον μυστήριον·
σήμερον γὰρ θάνατος
καὶ ὁ Αἴδης ἐσκύλευται,
γένος δὲ ἀνθρώπινον
ἀφθαρσίαν ἐνδέδυται·
διὸ καὶ εὐχαρίστως κραυγάζομεν·
δόξα, Χριστέ, τῇ ἀναστάσει σου.

β'. Προσόμ. εἰς τὸν Εὐαγγελισμὸν τῆς θεοτόκου (Μαρτ. 25).

Σήμερον ἅπασα | κτίσις ἀγάλλεται,
ὅτι τὸ χαῖρέ σοι
φωνεῖ ἀρχάγγελος·
εὐλογημένη σὺ σεμνὴ
καὶ ἄχραντε πανάμωμε·
σήμερον τοῦ ὄφεως
ἀμαυροῦται τὸ φρύαγμα·
ἀρᾶς [γὰρ] διαλέλυται
τοῦ προπάτορος σύνδεσμος·
διὸ καὶ κατὰ πάντα βοῶμέν σοι·
χαῖρε ἡ κεχαριτωμένη.

γ'. Προσόμ. εἰς τὰ Θεοφάνεια (Ἰαν. 6).

Ἐπιφανέντος σου
ἐν Ἰορδάνῃ, σωτήρ,
καὶ βαπτισθέντος σου
ὑπὸ προδρόμου, Χριστέ,
ἠγαπημένος . . . . .
υἱὸς ἐμαρτυρήθης·
ὅθεν καὶ συνάναρχος
τῷ πατρὶ πεφανέρωσαι,
πνεῦμα δὲ τὸ ἅγιον
ἐπὶ σὲ κατεγίνετο,
ἐν ᾧ καὶ φωτισθέντες βοῶμεν·
δόξα θεῷ τῷ ἐν τριάδι.

δ'. Προσόμ. εἰς μνήμην τοῦ Δημητρίου (Ὀκτ. 26).

Τὸν συμπαθέστατον
κυρίου μάρτυρα
ἐκδυσωποῦμέν σε
πιστῶς, Δημήτριε,
ῥῦσαι ἡμᾶς παντοδαπῶν
κινδύνων ἐπερχομένων·
ἴασαι ψυχῶν ἡμῶν
καὶ σωμάτων τὰ τραύματα·
θραῦσον τὰ φρυάγματα
τῶν ἐχθρῶν ἡμῶν, ἅγιε·
εἰρήνευσον ἡμῶν τὴν ζωήν,
ὅπως ἀεί σε δοξάζωμεν.

θεοτοκίον.

Θεομακάριστε
μῆτερ ἀνύμφευτε,
τὴν ἀσθενοῦσάν μου
ψυχὴν θεράπευσον,
ὅτι συνέχομαι πολλοῖς
ἐν πταίσμασι, θεοτόκε·
ὅθεν καὶ κραυγάζω σοι
στεναγμῷ τῆς καρδίας μου·
δέξαι με, πανάχραντε,
τὸν πολλὰ ἁμαρτήσαντα,
ἵνα ἐν παρρησίᾳ κραυγάζω σοι·
χαῖρε ἡ κεχαριτωμένη.

III

Αὐτόμελον.

ἦχος γ'.

Θείας πίστεως | ὁμολογίᾳ
ἄλλον Παῦλόν σε | ἡ ἐκκλησία
ζηλωτὴν ἐν ἱερεῦσιν ἀνέδειξε·
συνεκβοᾷ σοι καὶ Ἄβελ πρὸς κύριον
καὶ Ζαχαρίου τὸ αἷμα τὸ δίκαιον·
πάτερ ὅσιε, Χριστὸν τὸν θεὸν ἱκέτευε
δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

---

17 τὸ ἀπόρρητον omisso μυστήριον D — 20 διὸ εὐχαριστοῦντες βοῶμεν D — 21 τῇ εὐσπλαγχνίᾳ σου D — β' 5 γάρ rectius omittas, quod idem valet, si quid aliud in his carminibus uncinis inclusimus — γ' 3 τοῦ πατρός post ἠγαπημένος intercidisse videtur.

β'. Προcόμ. εἰc μνήμην τοῦ Ἀθαναcίου (Μαΐ. 2).

Θείοιc δόγμαcιν | ὀρθοδοξίαc,
πάτερ, ὥπλιcαc | τὴν ἐκκληcίαν·
[ταῖc] διδαχαῖc cου τὰc αἱρέcειc ἐξέτεμεc·
τῆc εὐcεβείαc τὸν δρόμον τετέλεκαc
καὶ ὡc ὁ Παῦλοc τὴν πίcτιν τετήρηκαc·
λοιπὸν ἀπόκειται καὶ cοί, παναοίδιμε,
ὁ δίκαιοc τῶν πόνων [cου] cτέφανοc.

γ'. Προcομ. εἰc μνήμην τοῦ Γεωργίου (Ἀπριλ. 23).

Πόθῳ ζέοντι | τῷ τοῦ δεcπότου
πυρπολούμενοc | ἀνδρειοφρόνωc
τὰ τῆc πλάνηc ταμιεῖα κατέβαλεc
καὶ ἐν cταδίῳ Χριcτὸν ὡμολόγηcαc,
τροπαιοφόρε παμμάκαρ Γεώργιε,
μάρτυc ἔνδοξε, Χριcτὸν τὸν θεὸν ἱκέτευε
δωρήcαcθαι ἡμῖν τὸ μέγα ἔλεοc.

IV

Αὐτόμελον.
ἦχοc δ'.

Ταχὺ προκατάλαβε,
πρὶν δουλωθῆναι ἡμᾶc
ἐχθροῖc βλαcφημοῦcί cε
καὶ ἀπειλοῦcιν ἡμῖν,
Χριcτὲ ὁ θεὸc ἡμῶν·
ἄνελε τῷ cταυρῷ cου
τοὺc ἡμᾶc πολεμοῦνταc,
γνώτωcαν, πῶc ἰcχύει
ὀρθοδόξων ἡ πίcτιc
πρεcβείαιc τῆc θεοτόκου,
μόνε φιλάνθρωπε.

β'. Προcόμ. εἰc τὰ Θεοφάνεια (Ἰαν. 6).

Τὰ ῥεῖθρα ἡγίαcαc
τὰ Ἰορδάνεια,
τὸ κράτοc cυνέτριψαc
τῆc ἁμαρτίαc . .,
Χριcτὲ ὁ θεὸc ἡμῶν·
ὑπέκλιναc τῇ παλάμῃ
cεαυτὸν τοῦ προδρόμου,
[καὶ] ἔcωcαc ἐκ τῆc πλάνηc
τῶν ἀνθρώπων τὸ γένοc·
διό cε ἱκετεύομεν,
cῶcον τὸν κόcμον cου.

γ'. Προcόμ. εἰc μνήμην τοῦ Cπυρίδωνοc (Δεκ. 12).

Τοῖc λόγοιc ἐκόcμηcαc
τὴν ἐκκληcίαν Χριcτοῦ,
τοῖc ἔργοιc ἐτίμηcαc
τὸ κατ' εἰκόνα θεοῦ,
Cπυρίδων μακάριε·
ἔλαμψαc ἐν τῷ κόcμῳ
τῇ ἐν cοὶ cωφροcύνῃ,
χάριταc ἰαμάτων
ἀπαcτράπτων τοῖc πᾶcι·
διὸ καὶ ἑορτάζομεν
πίcτει τὴν μνήμην cου.

δ'. Προcόμ. εἰc μνήμην τοῦ Δημητρίου (Ὀκτ. 26).

Ἡ μνήμη cου, ἔνδοξε
μάρτυc Δημήτριε,
ἐφαίδρυνε cήμερον
τὴν ἐκκληcίαν Χριcτοῦ
καὶ πάνταc cυνήγαγεν,
ᾄcμαcιν ἐπαξίωc
εὐφημεῖν cε, θεόφρον,
ὡc ὄντωc cτρατιώτην
καὶ ἐχθρῶν καθαιρέτην·

III. β' v. 6 aut corruptus est aut aliud exemplar sequitur — III. γ' v. 3 ταμιεῖα nos: ταμεῖα Barth. — IV. β' 2 fort. τῆc ἁμαρτίαc ἡμῶν

διὸ ταῖϲ ἱκεϲίαιϲ ταῖϲ ϲαῖϲ
ῥῦϲαι ἡμᾶϲ πειραϲμῶν.

Ἀθλήϲεωϲ καύχημα,
μάρτυϲ Δημήτριε,
Χριϲτὸν ἐνδυϲάμενοϲ
κατεπολέμηϲαϲ
ἐχθρὸν τὸν ἀνίϲχυρον·
πλάνην γὰρ τῶν ἀνόμων
ἐν αὐτῷ καταργήϲαϲ
γέγοναϲ τοῖϲ ἐν πίϲτει
εὐϲεβείαϲ ἀλείπτηϲ·
διό ϲου καὶ τὴν μνήμην ϲεπτῶϲ
πανηγυρίζομεν.

θεοτοκίον.

Ἐλπὶϲ ἀκαταίϲχυντε
τῶν πεποιθότων εἰϲ ϲέ,
ἡ μόνη κυήϲαϲα
ὑπερφυῶϲ ἐν ϲαρκὶ
Χριϲτὸν τὸν θεὸν ἡμῶν·
τοῦτον ϲὺν τοῖϲ ἁγίοιϲ,
ἀποϲτόλοιϲ δυϲώπει,
δοῦναι τῇ οἰκουμένῃ
ἱλαϲμὸν καὶ εἰρήνην
καὶ πᾶϲιν ἡμῖν πρὸ τέλουϲ
βίου διόρθωϲιν.

ε΄. Προϲόμ. εἰϲ τὴν μεγάλην Τετάρτην (Τριῳδ. ϲελ. 357).

Ἰούδαϲ ὁ δόλιοϲ
φιλαργυρίαϲ ἐρῶν
προδοῦναί ϲε, κύριε,
τὸν θηϲαυρὸν τῆϲ ζωῆϲ
δολίωϲ ἐμελέτηϲεν·
ὅθεν καὶ παροινήϲαϲ
τρέχει πρὸϲ Ἰουδαίουϲ,
λέγει τοῖϲ παρανόμοιϲ·
τί μοι θέλετε δοῦναι,
κἀγὼ παραδώϲω ὑμῖν
εἰϲ τὸ ϲταυρῶϲαι αὐτόν;

V

Αὐτόμελον
κοντάκιον εἰϲ τὴν ὕψωϲιν τοῦ ϲταυροῦ (Σεπτ. 14)
ἦχοϲ δ΄.

Ὁ ὑψωθεὶϲ ἐν τῷ ϲταυρῷ ἑκουϲίωϲ,
τῇ ἐπωνύμῳ ϲου καινῇ πολιτείᾳ
τοὺϲ οἰκτιρμούϲ ϲου δώρηϲαι, Χριϲτὲ ὁ θεόϲ·
εὔφρανον [ἐν τῇ] δυνάμει ϲου
τοὺϲ πιϲτοὺϲ βαϲιλεῖϲ ἡμῶν,
νίκαϲ χορηγῶν αὐτοῖϲ·
κατὰ τῶν πολεμίων·
τὴν ϲυμμαχίαν ἔχοιεν τὴν ϲήν,
ὅπλον εἰρήνηϲ, | ἀήττητον τρόπαιον.

Καθίϲματα
β΄. Προϲόμοιον (Τριῳδ. ϲελ. 351).

Τὸν νυμφίον ἀδελφοί, ἀγαπήϲωμεν,
τὰϲ λαμπάδαϲ ἑαυτῶν εὐτρεπίϲωμεν,
ἐν ἀρεταῖϲ ἐκλάμποντεϲ καὶ πίϲτει [ὀρθῇ,
ἵνα ὡϲ αἱ φρόνιμοι
τοῦ κυρίου παρθένοι
ἕτοιμοι εἰϲέλθωμεν
ϲὺν αὐτῷ εἰϲ τοὺϲ γάμουϲ·
ὁ γὰρ νυμφίοϲ δῶρον ὡϲ θεὸϲ
πᾶϲι παρέχει | τὸν ἄφθαρτον ϲτέφανον.

γ΄. Προϲόμ. εἰϲ Μιχαὴλ (Νοεμ. 8).

Τῶν ἀϲωμάτων λειτουργῶν ἀρχιϲτράτηγε,
ὁ κατ᾽ ἐνώπιον θεοῦ παριϲτάμενοϲ,
καὶ ταῖϲ ἐκεῖθεν λάμψεϲι λαμπόμε[νοϲ,
φαίδρυνον, ἁγίαϲον
τοὺϲ πιϲτῶϲ ϲε ὑμνοῦνταϲ,
πάϲηϲ ἀπολύτρυϲαι
τοῦ ἐχθροῦ τυραννίδοϲ,
καὶ εἰρηναίαν αἴτηϲαι ζωὴν
τοῖϲ βαϲιλεῦϲι | καὶ πᾶϲι τοῖϲ πέραϲι.

Τὰ Χερουβὶμ καὶ Ϲεραφὶμ πολυόμματα,
τῶν ἀρχαγγέλων λειτουργῶν τὰ στρατεύματα
σὺν ἐξουσίαις θρόνοι, κυριότητες,
ἄγγελοι, δυνάμεις τε
καὶ ἀρχαὶ δυσωποῦσι
σὲ τὸν ποιητὴν ἡμῶν
καὶ θεὸν καὶ δεσπότην·
μὴ ὑπερίδῃς δέησιν λαοῦ
ἡμαρτηκότος, | Χριστὲ πολυέλεε.

VI

Αὐτόμελον (Ὀκτ. σελ. 76)
ἦχος δ'.

Κατεπλάγη Ἰωσήφ,
τὸ ὑπὲρ φύσιν θεωρῶν,
καὶ ἐλάμβανεν εἰς νοῦν
τὸν ἐπὶ πόκον ὑετὸν
ἐν τῇ ἀσπόρῳ συλλήψει σου, | θεοτόκε,
βάτον ἐν πυρὶ | ἀκατάφλεκτον,
ῥάβδον Ἀαρὼν | τὴν βλαστήσασαν·
καὶ μαρτυρῶν ὁ μνήστωρ σου | καὶ φύλαξ
τοῖς ἱερεῦσιν ἐκραύγαζε·
παρθένος τίκτει | καὶ μετὰ τόκον
πάλιν μένει παρθένος.

Προσόμοια (ibid.)

Ἑκουσίᾳ σου βουλῇ
σταυρὸν ὑπέμεινας, σωτήρ,
καὶ ἐν μνήματι καινῷ
ἄνθρωποι ἔθεντο θνητοὶ
τὸν διὰ λόγου τὰ πέρατα συστησάμενον·
ὅθεν δεσμευθεὶς | ὁ ἀλλότριος
θάνατος δεινῶς | ἐσκυλεύετο
καὶ οἱ ἐν ᾅδου ἅπαντες | ἐκραύγαζον
τῇ ζωηφόρῳ ἐγέρσει σου·
Χριστὸς ἀνέστη | ὁ ζωοδότης
μένων εἰς τοὺς αἰῶνας.

Ἐκ τῶν ἄνω κατελθὼν
τῶν ὑψωμάτων Γαβριὴλ
καὶ τῇ πέτρᾳ προσελθών,
ἔνθα ἡ πέτρα τῆς ζωῆς,
λευχειμονῶν ἀνεκραύγαζε | ταῖς κλαιούσαις·
παύσασθε ὑμεῖς | τῆς θρηνώδους κραυγῆς
ἔχουσαι ἀεὶ | τὸ εὐσυμπάθητον·
ὃν γὰρ ζητεῖτε κλαίουσαι, | θαρσεῖτε,
ὡς ἀληθῶς ἐξεγήγερται·
διὸ βοᾶτε | τοῖς ἀποστόλοις,
ὅτι ἀνέστη ὁ κύριος.

β'. Προσόμ. εἰς τὴν τῶν Βαΐων κυριακὴν
(Τριῳδ. σελ. 336).

Μετὰ κλάδων νοητῶς
κεκαθαρμένοι τὰς ψυχὰς
ὡς οἱ παῖδες τὸν Χριστὸν
ἀνευφημήσωμεν πιστῶς,
μεγαλοφώνως κραυγάζοντες | τῷ δεσπότῃ·
εὐλογημένος εἶ σωτὴρ | ὁ εἰς τὸν κόσμον ἐλθὼν
τοῦ σῶσαι τὸν Ἀδάμ, | ἐκ τῆς ἀρχαίας ἀρᾶς
πνευματικῶς γενόμενος, | φιλάνθρωπε,
νέος Ἀδὰμ ὡς ηὐδόκησας·
ὁ πάντα, λόγε, | πρὸς τὸ συμφέρον
οἰκονομήσας, δόξα σοι.

Ἐπὶ φίλῳ σου, Χριστέ,
δάκρυα ῥαίνεις μυστικῶς,
καὶ ἐγείρεις ἐκ νεκρῶν
Λάζαρον κείμενον θνητόν,

VI. v. 12 ᾄδῃ Oct. — 18 θρηνώδους στοργῆς D — fort.: τὸ συμπάθητον — 23 θαρσεῖτε. ἐγηγερμένον προσκυνήσετε, χαρὰν λαβοῦσαι θαρσεῖτε πᾶσαι· θάρσει γοῦν καὶ ἡ Εὔα D — β' 4 σωτὴρ rectius eiicias.

ἐν ᾧ ϲυμπάθειαν ἔδειξαϲ | φιλανθρώ-
πωϲ·
μαθόντα δὲ τὴν ϲὴν | παρουϲίαν, ϲωτήρ,
τὰ πλήθη τῶν βρεφῶν | ἐξῆλθον ϲήμερον,
ἐν ταῖϲ χερϲὶ κατέχοντα | βαΐα,
τὸ Ὡϲαννά ϲοι κραυγάζοντα·
εὐλογημένοϲ εἶ, ὅτι τὸν κόϲμον
εἰϲ τὸ ϲῶϲαι ἐλήλυθαϲ.

γʹ. Προϲόμ. εἰϲ τὰ Θεοφάνεια (Ἰαν. 6).

Ἰορδάνη ποταμέ, | τί ἐθαμβήθηϲ θεωρῶν;
τὸν ἀθεώρητον γυμνόν,
εἶδον καὶ ἔφριξα, φηϲί·
καὶ πῶϲ γὰρ τοῦτον οὐκ ἔμελλον | φρίξαι
καὶ δῦναι;
οἱ ἄγγελοι αὐτὸν | ὁρῶντεϲ ἔφριξαν·
ἐξέϲτη οὐρανὸϲ | καὶ γῆ ἐτρόμαξε,
καὶ ϲυνεϲτάλη θάλαϲϲα | καὶ πάντα
τὰ ὁρατὰ καὶ ἀόρατα·
Χριϲτὸϲ ἐφάνη | ἐν Ἰορδάνῃ,
ἁγιάϲαι τὰ ὕδατα.

VII

Τροπάριον αὐτόμελον (Τριῳδ. ϲελ. 281)
ἦχοϲ πλ. δʹ.

Τὸ προϲταχθὲν μυϲτικῶϲ
λαβὼν ἐν γνώϲει,
ἐν τῇ ϲκηνῇ τοῦ Ἰωϲὴφ
ϲπουδῇ ἐπέϲτη
ὁ ἀϲώματοϲ, λέγων
τῇ ἀπειρογάμῳ·
ὁ κλίναϲ τῇ καταβάϲει
τοὺϲ οὐρανοὺϲ
χωρεῖται ἀναλλοιώτωϲ
ὅλοϲ ἐν ϲοί·
ὃν καὶ βέπων ἐν μήτρᾳ ϲου
λαβόντα δούλου μορφήν,
ἐξίϲταμαι κραυγάζειν ϲοι·
χαῖρε, νύμφη ἀνύμφευτε.

Καθίϲματα

βʹ. Προϲομ. εἰϲ τὴν τῶν Βαΐων κυριακὴν
(Τριῳδ. ϲελ. 331).

Ὁ ἐπὶ θρόνου Χερουβὶμ
καὶ ἐπὶ πώλου
ἐπικαθίϲαϲ δι' ἡμᾶϲ
καὶ πρὸϲ τὸ πάθοϲ
τὸ ἑκούϲιον φθάϲαϲ
ϲήμερον ἀκούει
τῶν παίδων ἀναβοώντων
τὸ Ὡϲαννά,
τῶν ὄχλων ἀναφωνούντων,
υἱὲ Δαυΐδ,
ϲπεῦϲον ϲῶϲαι οὓϲ ἔπλαϲαϲ,
εὐλογημένε Ἰηϲοῦ·
εἰϲ τοῦτο γὰρ ἐλήλυθαϲ,
ὅπωϲ γνῶμεν τὴν δόξαν ϲου.

γʹ. Προϲόμ. εἰϲ τὰ Γενέθλια τῆϲ θεοτόκου
(Σεπτ. 8).

Ἀγαλλιάϲθω οὐρανόϲ,
γῆ εὐφραινέϲθω·
ὁ τοῦ θεοῦ γὰρ οὐρανὸϲ
ἐν γῇ ἐτέχθη,
ἡ θεόνυμφοϲ αὕτη
ἐξ ἐπαγγελίαϲ·
ἡ ϲτεῖρα βρέφοϲ θηλάζει
τὴν Μαριάμ,
καὶ χαίρει ἐπὶ τῷ τόκῳ | Ἰωακείμ,
ῥάβδοϲ, λέγων, ἐτέχθη μοι,
ἐξ ἧϲ τὸ ἄνθοϲ Χριϲτὸϲ
ἐβλάϲτηϲεν ἐκ ῥίζηϲ Δαυΐδ·
ὄντωϲ θαῦμα παράδοξον!

VI. γʹ. v. 3 φρίξαι δοῦναι J — 4 ἰδόντεϲ J — 7 τὰ ἀόρατα J — 7 Χριϲτὸϲ γὰρ ἦλθεν — VII. v. 1 τὰ προϲταχθέντα auctores τῶν προϲομοίων legisse videntur

VIII

Αὐτόμελον (Τριῴδ. cελ. 32)
ἦχοc πλ. δ'.

Τὴν cοφίαν καὶ λόγον | ἐν cῇ γαcτρὶ
cυλλαβοῦcα ἀφράcτωc, | μήτηρ θεοῦ,
τῷ κόcμῳ ἐκύηcαc
τὸν τὸν κόcμον κατέχοντα,
καὶ ἐν ἀγκάλαιc ἔcχεc
τὸν πάντα cυνέχοντα,
τὸν τροφοδότην πάντων
καὶ πλάcτην καὶ κύριον·
ὅθεν δυcωπῶ cε, | παναγία παρθένε,
καὶ πίcτει δοξάζω cε
τοῦ ῥυcθῆναι πταιcμάτων με,
ὅταν μέλλω παρίcταcθαι
πρὸ προcώπου τοῦ κτίcτου μου.
δέcποινα παρθένε ἁγνή,
τὴν cὴν βοήθειαν τότε μοι δώρηcαι·
καὶ γὰρ δύναcαι, | ὅcα θέλειc, πανά-
μωμε.

β'. Προcομ. εἰc τὴν μεγάλην Δευτέραν
(Τριῳδ. cελ. 344).

Τῶν παθῶν τοῦ κυρίου | τὰc ἀπαρχὰc
ἡ παροῦcα ἡμέρα | λαμπροφορεῖ·
δεῦτε οὖν, φιλέορτοι,
ὑπαντήcωμεν ᾄcμαcιν·
ὁ γὰρ κτίcτηc ἔρχεται
cταυρὸν καταδέξαcθαι,
ἐταcμοὺc καὶ μάcτιγαc,
Πιλάτῳ κρινόμενοc·
ὅθεν καὶ ἐκ δούλου
ῥαπιcθεὶc ἐπὶ κόρρηc
πάντα προcίεται,
ἵνα cώcῃ τὸν ἄνθρωπον·
διὰ τοῦτο βοήcωμεν·
φιλάνθρωπε Χριcτὲ ὁ θεὸc
τῶν πταιcμάτων δώρηcαι τὴν ἄφε-
cιν
τοῖc προcκυνοῦcιν ἐν πίcτει
τὰ ἄχραντα πάθη cου.

γ'. Προcομ. εἰc τὸν ἀπόcτολον Ἰωάννην
(Ϲεπτ. 26).

Ϲὺ υἱὸc ἐπεκλήθηc | θείαc βροντῆc,
ὡc τὰ ὦτα κωφεύcαc | τῶν δυccεβῶν,
καὶ cάλπιγγοc ἥδιον
διηχήcαc, ὦ πάνcοφε,
εἰc εὐθείαc καρδίαc
τοῦ λόγου τὴν cάρκωcιν·
καὶ ὡc γνήcιοc φίλοc
τῷ cτήθει ἀνέπεcαc·
ὅθεν ἐξαντλήcαc | τὸ τῆc γνώcεωc βάθοc
τοῖc πᾶcιν ἐκήρυξαc
τοῦ πατρὸc τὸν cυνάναρχον,
Ἰωάννη ἀπόcτολε·
πρέcβευε Χριcτῷ τῷ θεῷ
τῶν πταιcμάτων ἄφεcιν δωρήcαcθαι
τοῖc ἑορτάζουcι πόθῳ
τὴν ἁγίαν μνήμην cου.

Τὸν βυθὸν τῆc ἁλείαc | καταλιπὼν
τοῦ cταυροῦ τῷ καλάμῳ | πάντα cα-
τὰ ἔθνη ἐζώγρηcαc [φῶc
ὡc ἰχθύαc πανεύφημε·
καὶ γὰρ, καθὼc cοι ἔφη
Χριcτὸc, ἀναδέδειξαι
ἁλιεὺc ἀνθρώπων,
ζωγρῶν πρὸc εὐcέβειαν·
ὅθεν καταcπείραc
θεοῦ λόγου τὴν γνῶcιν
τὴν Πάτμον καὶ [τὴν] Ἔφεcον
ἐκαρπώcω τοῖc λόγοιc cου,
θεολόγε ἀπόcτολε·
πρέβευε Χριcτῷ τῷ θεῷ
τῶν πταιcμάτων ἄφεcιν δωρήcαcθαι
τοῖc ἑορτάζουcι πόθῳ
τὴν ἁγίαν μνήμην cου.

VIII. v. 2 ἀφλέκτωc Hirm. — 4 alii ἐν omisisse videntur — 7 καὶ πίcτει δοξάζω cε aut τοῦ ῥυcθῆναι πταιcμάτων με alii non legisse videntur — 10 alios τότε cὴν βοήθειαν μοι δώρηcαι legisse suspicor — 11 alios aliis in strophis modulos melodi secuti sunt — γ' 3 ἥδιον nos: ἡδύτερον vulgo

δ'. Προcόμ. εἰc τὸν ἀπόcτολον Ἰωάννην (Cεπτ. 26. Μαΐ. 8).

Ἀναπεcὼν ἐν τῷ cτήθει | τοῦ Ἰηcοῦ,
παρρηcίαc τυγχάνων | ὡc μαθητὴc
ἠρώτηcαc, τίc ἐcτιν
ὁ προδότηc cου, κύριε,
καὶ ὡc ἠγαπημένῳ
ὑπάρχοντι, ἔνδοξε,
διὰ τοῦ ἄρτου «οὗτοc»
caφῶc ὑπεδείχθη cοι·
ὅθεν καὶ ὡc μύcτηc
γεγονὼc τῶν ἀρρήτων,
τοῦ λόγου τὴν cάρκωcιν
ἐκδιδάcκειc τὰ πέρατα,
θεολόγε ἀπόcτολε·
πρέcβευε Χριcτῷ τῷ θεῷ
τῶν πταιcμάτων ἄφεcιν δωρήcαcθαι
τοῖc ἑορτάζουcι πόθῳ
τὴν ἁγίαν μνήμην cου.

θεοτοκίον

Παναγία παρθένε, | μήτηρ θεοῦ,
τῆc ψυχῆc μου τὰ πάθη | τὰ χαλεπὰ
θεράπευcον, δέομαι,
καὶ cυγγνώμην παράcχου μοι
τῶν ἐμῶν πταιcμάτων, | ἀφρόνωc ὧν
τὴν ψυχὴν καὶ τὸ cῶμα, [ἔπραξα,
μολύναc ὁ ἄθλιοc·
οἴμοι! τί ποιήcω | ἐν ἐκείνῃ τῇ ὥρᾳ
ἡνίκα οἱ ἄγγελοι
τὴν ψυχήν μου χωρίζουcιν
[ἐκ] τοῦ ἀθλίου μου cώματοc;
τότε, δέcποινα, βοήθειά μοι
γενοῦ καὶ προcτάτιc θερμότατοc·
cὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλόc cου.

CΤΙΧΗΡΑ ΠΡΟCΟΜΟΙΑ.

I

Αὐτόμελον μαρτυρικόν (Τριῳδ. cελ. 157).
ἦχοc α'.

Πανεύφημοι μάρτυρεc, ὑμᾶc
οὐχ ἡ γῆ κατέκρυψεν,
ἀλλ' οὐρανὸc ὑπεδέξατο·
ἠνοίγηcαν ὑμῖν
παραδείcου πύλαι,
καὶ ἐντὸc γενόμενοι
τοῦ ξύλου τῆc ζωῆc ἀπολαύετε·
Χριcτῷ πρεcβεύcατε
δωρηθῆναι ταῖc ψυχαῖc ἡμῶν
τὴν εἰρήνην | καὶ τὸ μέγα ἔλεοc.

β'. Cτιχηρὰ προcόμ. εἰc μνήμην τῶν μαρτύρων τῶν ἐν Νικοπόλει (Ἰουλ. 10).

Πανεύφημοι μάρτυρεc, ὑμεῖc
λίθοιc cυντριβόμενοι
Χριcτὸν τὴν πέτραν τὴν ἄρρηκτον
οὐκ ἐξηρνήcαcθε,
ἀλλὰ νικηφόροι
χάριτι γενόμενοι
ἀγγέλων τοῖc χοροῖc cυναγάλλεcθε·
μεθ' ὧν πρεcβεύcατε,
δωρηθῆναι ταῖc ψυχαῖc ἡμῶν
τὴν εἰρήνην | καὶ τὸ μέγα ἔλεοc.

Καλλίνικοι μάρτυρεc, φρουραῖc
ἅμα cυγκλειόμενοι
ὡc ἐντολῶν θείων φύλακεc
καὶ ἐκτηκόμενοι
δίψει, οὐρανόθεν
δρόcον ἐκομίcαcθε,
ὑμᾶc πνευματικῶc ἀναψύχουcαν·
διὸ πρεcβεύcατε

VIII. δ' v. 3 ἠρώτηcαc πυθόμενοc τίc G — 4 ἠγαπημένῳ λίαν G — 6 τῶν ἀρρήτων ·ενόμενοc G — 7 τοῖc πέραcι G — 12 theotokion om. G — προcτάτιc θερμότατοc modorum ιecessitate excusatur
I. β' v. 7 ἐντολαῖc θεοφύλακεc F — 8 δίψη F

δωρηθῆναι ταῖϲ ψυχαῖϲ ἡμῶν
τὴν εἰρήνην | καὶ τὸ μέγα ἔλεοϲ.

Ἀήττητοι μάρτυρεϲ, ζωὴν
ἀληθῆ ποθήϲαντεϲ
καὶ εἰϲ ἀεὶ διαμένουϲαν,
θάνατον ἄδικον
παρανόμῳ ψήφῳ
χαίροντεϲ ὑπέϲτητε,
καὶ νῦν μετὰ μαρτύρων εὐφραίνεϲθε,
μεθ' ὧν πρεϲβεύϲατε
δωρηθῆναι ταῖϲ ψυχαῖϲ ἡμῶν
τὴν εἰρήνην | καὶ τὸ μέγα ἔλεοϲ.

θεοτοκίον.

Ϲυνέχομαι πάντοθεν δεινοῖϲ,
καὶ ποῦ φύγω, δέϲποινα,
ὁ δυϲτυχὴϲ καὶ πανάθλιοϲ;
εἰ μὴ πρὸϲ ϲέ, ἁγνή,
καταφεύγω μόνην
τὴν ἐμὴν βοήθειαν,
ἐλπὶϲ ἀπηλπιϲμένων, θεόνυμφε·
καὶ μὴ παρίδῃϲ με
τὸν ἀνάξιον οἰκέτην ϲου,
θλιβομένων | ἑτοίμη βοήθεια.

Ϲταυροθεοτοκίον.

Ῥομφαία διῆλθεν, ὦ υἱέ,
ἡ παρθένοϲ ἔλεγεν,
ἐπὶ τοῦ ξύλου ὡϲ ἔβλεψε
Χριϲτὸν κρεμάμενον,
τὴν ἐμὴν καρδίαν
καὶ ϲπαράττει, δέϲποτα,
ὡϲ πάλαι Ϲυμεών μοι προέφηϲεν·
ἀλλὰ ἀνάϲτηθι·
καὶ ϲυνδόξαϲον, ἀθάνατε,
τὴν μητέρα | καὶ δούλην ϲου, δέο-
[μαι.

II

Θεοτοκίον αὐτόμελον (Νοεμ. 6)
ἦχοϲ α'.

Τῶν οὐρανίων ταγμάτων
τὸ ἀγαλλίαμα,
τῶν ἐπὶ γῆϲ ἀνθρώπων
κραταιὰ προϲταϲία,
ἄχραντε παρθένε, | ϲῶϲον ἡμᾶϲ
τοὺϲ εἰϲ ϲὲ καταφεύγονταϲ·
ὅτι ἐν ϲοὶ τὰϲ ἐλπίδαϲ μετὰ θεόν,
θεοτόκε, ἀνεθέμεθα.

β'. Ϲτιχηρὰ προϲόμοια εἰϲ τοὺϲ ἀρχαγγέλουϲ Μιχαὴλ καὶ Γαβριὴλ (Ϲεπτ. 6).

Τῶν οὐρανίων ταγμάτων
ὡϲ προεξάρχοντα,
καὶ τῶν ἐν γῇ ἀνθρώπων
ἰϲχυρόν ϲε προϲτάτην,
φύλακα καὶ ῥύϲτην | ὑμνοῦμεν πιϲτῶϲ,
Μιχαὴλ ἀρχιϲτράτηγε,
καθικετεύοντεϲ πάϲηϲ φθοροποιοῦ
ἀλγηδόνοϲ ἡμᾶϲ ῥύϲαϲθαι.

Ὁ ταξιάρχηϲ τῶν ἄνω
θείων δυνάμεων
ϲήμερον ϲυγκαλεῖται
τῶν βροτῶν τὰϲ χορείαϲ,
μίαν ϲὺν ἀγγέλοιϲ | φαιδρὰν ἑορτὴν
ϲυγκροτῆϲαι ϲυνάξεωϲ
αὐτῶν τῆϲ θείαϲ καὶ ἅμα ὕμνον θεῷ
ἀναμέλψαι τὸν τριϲάγιον.

Ὑπὸ τὴν ϲκέπην τῶν θείων
ἡμᾶϲ πτερύγων ϲου
προϲπεφευγόταϲ πίϲτει,
Μιχαὴλ θεῖε νόε,
φύλαττε καὶ ϲκέπε | ἐν βίῳ παντὶ
καὶ ἐν ὥρᾳ, ἀρχάγγελε,

---

14 μεθ' ὧν] καὶ νῦν F — 16 theotokion et staurotheotokion om. F

τῇ τοῦ θανάτου cὺ πάρεcο βοηθὸc
ἡμῖν πᾶcιν εὐμενέcτατοc.

γ΄. προcόμ. εἰc τὸν ἀπόcτολον Ἰωάννην (Μαΐ. 8).

Ὁ θεατὴc τῶν ἀρρήτων | ἀποκαλύψεων
καὶ ἑρμηνεὺc τῶν ἄνω
τοῦ θεοῦ μυcτηρίων,
ὁ παῖc τοῦ Ζεβεδαίου,
γράψαc ἡμῖν
τὸ Χριcτοῦ εὐαγγέλιον,
θεολογεῖν τὸν πατέρα καὶ τὸν υἱὸν
καὶ τὸ πνεῦμα ἐξεπαίδευcεν.

Ἡ θεοκίνητοc λύρα
τῶν οὐρανίων ᾠδῶν,
ὁ μυcτογράφοc οὗτοc,
τὸ θεόπνευcτον cτόμα
τὸ ᾆcμα τῶν ᾀcμάτων
ᾄδει τερπνῶc,
τὰ μὲν χείλη κινῶν ὡc νευράc,
ὥcπερ δὲ πλῆκτρον τὴν γλῶτταν
ἀνακινῶν,
καὶ πρεcβεύει τοῦ cωθῆναι ἡμᾶc.

Τῇ βροντοφώνῳ cου γλώττῃ
ἀναφθεγγόμενοc
τῆc τοῦ θεοῦ coφίαc | τὸν ἀπόκρυφον
λόγον,
θεῷ ἠγαπημένε, | κράζειc ἀεί,
ἀναπτύccων τὰ χείλη πυκνῶc,
τὸ «ἐν ἀρχῇ ἦν ὁ λόγοc» καὶ δᾳδου-
χεῖc
πάντα ἄνθρωπον πρὸc γνῶcιν
θεοῦ.

III

Cτιχηρά, αὐτόμελον καὶ προcόμοια εἰc τὴν Κοίμηcιν τῆc θεοτόκου (Αὐγ. 15)

ἦχοc α΄.

Ὢ τοῦ παραδόξου θαύματοc!
ἡ πηγὴ τῆc ζωῆc | ἐν μνημείῳ τίθεται
καὶ κλίμαξ πρὸc οὐρανὸν
ὁ τάφοc γίνεται,
εὐφραίνου Γεθcημανῆ,
τῆc θεοτόκου τὸ ἅγιον τέμενοc·
βοήcωμεν οἱ πιcτοί,
τὸν Γαβριὴλ κεκτημένοι ταξίαρχον·
κεχαριτωμένη, χαῖρε·
μετὰ coῦ ὁ κύριοc,
ὁ παρέχων τῷ κόcμῳ
διὰ coῦ τὸ μέγα ἔλεοc.

Βαβαὶ τῶν cῶν μυcτηρίων ἁγνή!
τοῦ ὑψίcτου θρόνοc
ἀνεδείχθηc, δέcποινα,
καὶ γῆθεν πρὸc οὐρανὸν
μετέcτηc cήμερον·
ἡ δόξα cου εὐπρεπὴc
θεοφεγγέcιν ἐκλάμπουcα χάριcι.
παρθένοι cὺν τῇ μητρὶ
τοῦ βαcιλέωc πρὸc ὕψοc ἐπάρθητε·
κεχαριτωμένη, χαῖρε·
μετὰ coῦ ὁ κύριοc,
ὁ παρέχων τῷ κόcμῳ
διὰ coῦ τὸ μέγα ἔλεοc.

Τὴν cὴν δοξάζουcι κοίμηcιν
ἐξουcίαι, θρόνοι, | ἀρχαί, κυριότητεc,
δυνάμειc καὶ χερουβὶμ
καὶ τὰ φρικτὰ cεραφίμ·
ἀγάλλονται γηγενεῖc
ἐπὶ τῇ θείᾳ cου δόξῃ κοcμούμενοι·
προcπίπτουcι βαcιλεῖc
cὺν ἀρχαγγέλοιc, ἀγγέλοιc καὶ μέλ-
πουcι·

II. γ΄ v. 4 τοῦ F — 8 θεόγραφον FG — 11 ἀναφωνῶν F — 13 βροντοφόρῳ F — III. v. 10 moduli primorum versuum alterius et tertiae strophae paululum a stropha prima recedunt — 11 θρόνου F — 23 καυχώμενοι F

κεχαριτωμένη, χαῖρε·
μετὰ σοῦ ὁ κύριος,
ὁ παρέχων τῷ κόσμῳ
διὰ σοῦ τὸ μέγα ἔλεος.

β΄. Στιχ. προσόμ. εἰς τὸ Γενέθλιον τῆς θεοτόκου (Σεπτ. 8).

Ὢ τοῦ παραδόξου θαύματος!
ἡ πηγὴ τῆς ζωῆς, | ἐκ τῆς στείρας τίκτεται·
ἡ χάρις καρπογονεῖν
λαμπρῶς ἀπάρχεται·
εὐφραίνου Ἰωακείμ,
τῆς θεοτόκου γεννήτωρ γενόμενος·
οὐκ ἔστιν ἄλλος, ὡς σύ,
τῶν γηγενῶν γεννητόρων, θεόληπτε·
ἡ γὰρ θεοδόχος κόρη,
τοῦ θεοῦ τὸ σκήνωμα,
τὸ πανάγιον ὄρος
διὰ σοῦ ἡμῖν δεδώρηται.

Ὢ τοῦ παραδόξου θαύματος!
ὁ ἐκ στείρας καρπός,
ἀναλάμψας νεύματι
τοῦ πάντων δημιουργοῦ
καὶ παντοκράτορος,
εὐτόνως τὴν κοσμικὴν
τῶν ἀγαθῶν διαλέλυκε στείρωσιν·
μητέρες σὺν τῇ μητρὶ
τῆς θεοτόκου χορεύσατε κράζουσαι·
κεχαριτωμένη, χαῖρε·
μετὰ σοῦ ὁ κύριος,
ὁ παρέχων τῷ κόσμῳ
διὰ σοῦ τὸ μέγα ἔλεος.

Στήλη σωφροσύνης ἔμψυχος
καὶ λαμπρὸν δοχεῖον
ἀποστίλβον χάριτι
ἡ Ἄννα ἡ εὐκλεὴς | φανεῖσα τέτοκε
τὴν πρόβολον ἀληθῶς,
τῆς παρθενίας τὸ θεῖον ἀπάνθισμα,
τὴν πάσαις παρθενικαῖς
καὶ παρθενίας ποθούσαις τὸ χάρισμα
τὸ τῆς παρθενίας κάλλος
ἐμφανῶς βραβεύουσαν
καὶ παρέχουσαν πᾶσι
τοῖς πιστοῖς τὸ μέγα ἔλεος.

γ΄. Στιχ. προσόμ. εἰς τὴν ἐν τῷ ναῷ εἴσοδον τῆς θεοτόκου (Νοεμ. 21).

Σήμερον πιστοὶ χορεύσωμεν
ἐν ψαλμοῖς καὶ ὕμνοις
τῷ κυρίῳ ᾄδοντες,
τιμῶντες καὶ τὴν αὐτοῦ
ἡγιασμένην σκηνήν,
τὴν ἔμψυχον κιβωτὸν
τὴν τὸν ἀχώρητον λόγον χωρήσασαν·
προσφέρεται γὰρ θεῷ,
ὑπερφυῶς τῇ σαρκὶ νηπιάζουσα·
καὶ ἀρχιερεὺς ὁ μέγας
Ζαχαρίας δέχεται
εὐφραινόμενος ταύτην
ὡς θεοῦ κατοικητήριον.

Σήμερον ναὸς ὁ ἔμψυχος
τῆς ἁγίας δόξης
Χριστοῦ τοῦ θεοῦ ἡμῶν,
ἡ μόνη ἐν γυναιξὶν | εὐλογημένη ἁγνὴ
προσφέρεται τῷ ναῷ
τῷ νομικῷ κατοικεῖν εἰς τὰ Ἅγια·
καὶ χαίρουσι σὺν αὐτῇ
Ἰωακεὶμ καὶ ἡ Ἄννα τῷ πνεύματι·
καὶ παρθενικαὶ χορεῖαι
τῷ κυρίῳ ᾄδουσι,
ψαλμικῶς μελῳδοῦσαι
καὶ τιμῶσαι τὴν μητέρα αὐτοῦ.

Σὺ τῶν προφητῶν τὸ κήρυγμα,
ἀποστόλων δόξα
καὶ μαρτύρων καύχημα
καὶ πάντων τῶν γηγενῶν
ἡ ἀνακαίνισις,
παρθένε μήτηρ θεοῦ·

διὰ γὰρ coῦ τῷ θεῷ κατηλλάγη-
μεν·
διὸ τιμῶμεν τὴν cὴν
ἐν τῷ ναῷ τοῦ κυρίου προέλευcιν·
καὶ cὺν τῷ ἀγγέλῳ πάντες
ψαλμικῶc τὸ χαῖρέ coι
τῇ πανcέμνῳ βοῶμεν,
τῇ πρεcβείᾳ coυ cωζόμενοι.

IV

Cτιχηρά, αὐτόμελον καὶ προcόμοια εἰc τὴν μεγάλην Παραcκευήν (Τριῳδ. cελ. 397)
ἦχοc β'.

Ὅτε ἐκ τοῦ ξύλου cε νεκρὸν
ὁ Ἀριμαθαίαc καθεῖλε
τὴν τῶν ἁπάντων ζωήν,
cμύρνῃ καὶ cινδόνι cε,
Χριcτέ, ἐκήδευcε·
καὶ τῷ πόθῳ ἠπείγετο
καρδίᾳ καὶ χείλει
cῶμα τὸ ἀκήρατον
coῦ περιπτύξαcθαι·
ὅμωc cυcτελλόμενοc φόβῳ
χαίρων ἀνεβόα coι· δόξα
τῇ cυγκαταβάcει coυ, φιλάνθρωπε.

Ὅτε ἐν τῷ τάφῳ τῷ καινῷ
ὑπὲρ τοῦ παντὸc κατετέθηc
ὁ λυτρωτὴc τοῦ παντόc,
Ἅιδηc ὁ παγγέλαcτοc
ἰδών cε ἔπτηξεν·
οἱ μοχλοὶ cυνετρίβηcαν,
ἐθλάcθηcαν πύλαι,
μνήματα ἠνοίχθηcαν,
νεκροὶ ἀνίcταντο·
τότε ὁ Ἀδὰμ εὐχαρίcτωc
χαίρων ἀνεβόα coι· δόξα
τῇ cυγκαταβάcει coυ, φιλάνθρωπε.

Ὅτε ἐν τῷ τάφῳ cαρκικῶc
θέλων cυνεκλείcθηc ὁ φύcει
τῇ τῆc θεότητοc
μένων ἀπερίγραπτοc
καὶ ἀδιόριcτοc,
τὰ θανάτου ἀπέκλειcαc
ταμεῖα καὶ Ἅιδου
ἅπαντα ἐκένωcαc,
Χριcτέ, βαcίλεια·
τότε καὶ τὸ cάββατον τοῦτο
θείαc εὐλογίαc καὶ δόξηc
καὶ τῆc cῆc λαμπρότητοc ἠξίωcαc.

Ὅτε αἱ δυνάμειc cε, Χριcτέ,
πλάνον ὑπ' ἀνόμων ἑώρων
cυκοφαντούμενον,
ἔφριττον τὴν ἄφατον
μακροθυμίαν coυ
καὶ τὸν λίθον τοῦ μνήματοc
χερcὶ cφραγιcθέντα,
αἷc coυ τὴν ἀκήρατον
πλευρὰν ἐλόγχευcαν·
ὅμωc τῇ ἡμῶν cωτηρίᾳ
χαίρουcαι ἐβόων coι· δόξα
τῇ cυγκαταβάcει coυ, φιλάνθρωπε.

β'. Cτιχ. προcόμ. εἰc μνήμην τοῦ Γεωργίου
('Απριλ. 23).

Δεῦτε τὴν πανέορτον φαιδρὰν
ἔνδοξον ἀνάcταcιν πάντεc
πανηγυρίcαντεc,
πάλιν ἑορτάcωμεν
φαιδρὰν πανήγυριν
Γεωργίου τοῦ μάρτυροc
καὶ cτέψωμεν τοῦτον
ἐαρινοῖc ἄνθεcιν
ὄντα ἀήττητον,
ὅπωc ταῖc αὐτοῦ ἱκεcίαιc
λάβωμεν τῶν θλίψεων ἅμα
καὶ πλημμελημάτων ἀπολύτρωcιν.

Ὅλον προcενήνοχαc cαυτὸν
τῷ coὶ δεδωκότι, παμμάκαρ,
ζωὴν ὁλόκληρον,
ὥcπερ ὁλοκάρπωcιν
ζῶcαν καὶ ἔμψυχον

καὶ θυcίαν εὐπρόcδεκτον
καὶ καθαρωτάτην·
ὅθεν ἐχρημάτιcαc
πρέcβυc θερμότατοc,
ζάληc ἐξαιρούμενοc πάνταc
πίcτει τοὺc ὑμνοῦντάc cε, μάρτυc,
καὶ προcκαλουμένουc cε, Γεώργιε.

Cπόρον γεωργήcαc ἐμμελῶc
τὸν καταβληθέντα τοῦ λόγου
τῇ καθαρᾷ cου ψυχῇ,
τοῦτον ἐπλεόναcαc
πόνοιc ἀθλήcεωc,
καὶ cοφῶc ἀποθέμενοc
ἐν ἐπουρανίαιc
θήκαιc τὴν ἀκήρατον
εὗρεc ἀπόλαυcιν·
ἧc νῦν ἐμφορούμενοc, μάκαρ,
ταῖc πρὸc τὸν θεόν cου πρεcβείαιc
τοὺc πιcτῶc ὑμνοῦντάc cε περί-
cωζε.

Μάρτυc ἀθλοφόρε τοῦ Χριcτοῦ,
τοὺc ἐν διαφόροιc ἀνάγκαιc
cῶζε πρεcβείαιc cου
πάcηc περιcτάcεωc
ἀπολυτρούμενοc·
καὶ διώκων ψυχώλεθρον,
δεινὴν ἀθυμίαν,
χάριν δὲ καὶ ἔλεοc
ἡμῖν αἰτούμενοc·
ὅπωc ταῖc λιταῖc cου cωθέντεc
χαίροντεc γεραίρωμεν πάντεc
τοὺc cεπτοὺc ἀγῶνάc cου, Γεώρ-
γιε.

V

Τροπάριον αὐτόμελον.
ἦχοc δ'.

Ἔδωκαc cημείωcιν
τοῖc φοβουμένοιc cε, κύριε,
τὸν cταυρόν cου τὸν τίμιον,
ἐν ᾧ ἐθριάμβευcαc
τὰc ἀρχὰc τοῦ cκότουc
καὶ τὰc ἐξουcίαc,
καὶ ἐπανήγαγεc ἡμᾶc
εἰc τὴν ἀρχαίαν μακαριότητα·
διό cου τὴν φιλάνθρωπον
οἰκονομίαν δοξάζομεν,
Ἰηcοῦ παντοδύναμε,
ὁ cωτὴρ τῶν ψυχῶν ἡμῶν.

β'. Cτιχ. προcόμ. εἰc τὴν Ὑπαπαντὴν τοῦ Χριcτοῦ (Φεβ. 2).

Νόμον τὸν ἐν γράμματι
ἀποπληρῶν ὁ φιλάνθρωποc
τῷ ναῷ νῦν προcάγεται,
καὶ τοῦτον εἰcδέχεται
γηραιαῖc ἀγκάλαιc
Cυμεὼν ὁ πρέcβυc·
νῦν ἀπολύειc με, βοῶν,
πρὸc τὴν ἐκεῖθεν μακαριότητα·
κατεῖδον γάρ cε cήμερον
cάρκα θνητὴν περικείμενον,
τὸν ζωῆc κυριεύοντα
καὶ θανάτου δεcπόζοντα.

Φῶc εἰc ἀποκάλυψιν
ἐθνῶν ἐπέφαναc, κύριε,
ἐπὶ κούφηc καθήμενοc
νεφέληc ὁ ἥλιοc | τῆc δικαιοcύνηc.
νόμου τὸ cκιῶδεc
ἀποπληρῶν καὶ τὴν ἀρχὴν
καθυποφαίνων τῆc νέαc χάριτοc·
διό cε θεαcάμενοc
ὁ Cυμεὼν ἀνεκραύγαζεν·
ἐκ φθορᾶc με ἀπόλυcον,
ὅτι εἶδόν cε cήμερον.

IV. β' 20 καὶ, ut numeros et sententiam expediremus, addidimus — V v. 3 δι' οὗ D — V. β' v. 7 τῆc ζωῆc J — 14 cε δέcποτα J

Κόλπων τοῦ γεννήτορος
μὴ χωρισθεὶς τῇ θεότητι,
σαρκωθείς, ὡς ηὐδόκησας,
ἀγκάλαις κρατούμενος
τῆς ἀειπαρθένου,
χερσὶν ἐπεδόθης
τοῦ θεοδόχου Συμεὼν,
ὁ τῇ χειρί σου κρατῶν τὰ σύμπαντα·
διό, νῦν ἀπολύεις με,
περιχαρῶς ἀνεκραύγαζεν,
ἐν εἰρήνῃ τὸν δοῦλόν σου,
ὅτι εἶδόν σε, δέσποτα.

Πρῶτος καθυπέταξας
τὴν ἁλουργίδα, ἀείμνηστε
βασιλεῦ, ἑκουσίως Χριστῷ,
αὐτὸν ἐπιγνοὺς θεὸν
καὶ παμβασιλέα,
πάντων εὐεργέτην,
νικοποιὸν πάσης ἀρχῆς
καὶ ἐξουσίας τὸν ὑπερκείμενον·
ἐντεῦθέν σοι, φιλόχριστε,
τὴν βασιλείαν κατεύθυνεν
Ἰησοῦς ὁ φιλάνθρωπος
καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

γ'. Στιχ. προσόμ. εἰς μνήμην Κωνσταντίνου τοῦ βασιλέως (Μαΐ. 21).

Ὅπλον κραταιότατον
τῷ βασιλεῖ ἡμῶν δέδωκας
τὸν σταυρόν σου τὸν τίμιον,
δι' οὗ ἐβασίλευσεν | ἐπὶ γῆς δικαίως,
λάμψας εὐσεβείᾳ,
καὶ βασιλείας οὐρανῶν
κατηξιώθη τῇ εὐσπλαγχνίᾳ σου·
μεθ' οὗ σου τὴν φιλάνθρωπον
οἰκονομίαν δοξάζομεν,
Ἰησοῦ παντοδύναμε,
ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἔδωκας, φιλάνθρωπε,
τῷ εὐσεβεῖ σου θεράποντι
Σολομῶντος τὴν φρόνησιν,
Δαυῒδ τὴν πραότητα
καὶ τῶν ἀποστόλων
τὴν ὀρθοδοξίαν,
ὡς βασιλέων βασιλεὺς
κυριευόντων τε πάντων κύριος·
διό σου τὴν φιλάνθρωπον
οἰκονομίαν δοξάζομεν,
Ἰησοῦ παντοδύναμε,
ὁ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

δ'. Στιχ. προσόμ. εἰς Δανιὴλ καὶ τοὺς τρεῖς παῖδας (Δεκ. 17).

Νόμων ἀντεχόμενοι
τῶν θεοσδότων, πανόλβιοι,
μιαραῖς οὐκ ἐχράνθητε
τροφαῖς, ἀλλ' ἀκήρατον
τῆς ψυχῆς τὸ κάλλος
διασεσωκότες | διετηρήσατε σαρκὸς
ἀδιαλώβητον καὶ ἀμάραντον
τὸ ἄνθος τὸ θαυμάσιον
καὶ τὴν τερπνὴν ὡραιότητα
τοῦ δεσπότου δοξάζοντος
τοὺς αὐτὸν θεραπεύοντας.

Θείῳ πυρακτούμενοι
οἱ νεανίαι πυρσεύματι
τοῦ πυρὸς κατεφρόνησαν,
ἐν ᾧ δροσιζόμενοι
οἱ σεπτοὶ χορείαν
ἐκλελαμπρυσμένην
διατυπώσαντες ᾠδὴν
τὴν πολυΰμνητον ᾖδον ψάλλοντες,
τὴν ὄντως ἀδιάδοχον
καὶ ἀμετάπτωτον πάνσοφοι
βασιλείαν ποθήσαντες
τὴν οὐράνιον ἔνδοξοι.

V. β' v. 16 ηὐδόκησεν J — γ' 6 σοι F — 8 εὐσεβεῖ βασιλεῖ ἡμῶν G — 12 κυριευόντων πάντων FG — 15 tertia haec stropha in cod. F primae et alteri praemissa est — 16 ασιλεῦ τῷ θεῷ ἡμῶν G — 17 αὐτὸν γὰρ ἐγνώρισας βασιλέα πάντων ὄντα καὶ δεσπότην ικ. G — θεόν τε καὶ βασιλέα F — 18 πᾶσαν ἀρχὴν FG — 19 ἐξουσίαν ὑπερεκείμενον F —) κατευθύνων F — V. δ' v. 4 σαρκός C: σαφῶς Barth. — 5 καὶ ἀκήρατον C

Λόγον τῆc coφίαc cou
καταπλαγέντεc οἱ τύραννοι,
Δανιὴλ ἀξιάγαcτε,
καὶ παίδων τὴν cύνεcιν,
τῆc Χαλδαίων χώραc
ἄρχειν καὶ δεcπόζειν
ὑμᾶc κατέcτηcαν, cεπτοί·
τὴν ἀρετὴν γὰρ οἶδε caφέcτατα
θαυμάζειν καὶ πολέμιοc
καὶ πολιτείαc λαμπρότητα·
τῶν παθῶν γὰρ κρατήcαντεc
ἡγεμόνεc γεγόνατε.

VI

Cτιχηρά, αὐτόμελον καὶ προcόμοια εἰc μνήμην τοῦ Γεωργίου ('Απριλ. 23)
ἦχοc δ'.

Ὡc γενναῖον ἐν μάρτυcιν,
ἀθλοφόρε Γεώργιε,
cυνελθόντεc cήμερον
εὐφημοῦμέν cε·
ὅτι τὸν δρόμον τετέλεκαc,
τὴν πίcτιν τετήρηκαc
καὶ ἐδέξω ἐκ θεοῦ
τὸν τῆc νίκηc cou cτέφανον·
ὅν ἱκέτευε
ἐκ φθορᾶc καὶ κινδύνων | λυτρωθῆναι
τοὺc ἐν πίcτει ἐκτελοῦνταc
τὴν ἀειcέβαcτον μνήμην cou.

Ῥωμαλέῳ φρονήματι
πεποιθὼc ηὐτομόληcαc
ὥcπερ λέων, ἔνδοξε,
πρὸc τὴν ἄθληcιν,
ὑπερορῶν μὲν τοῦ cώματοc,
ὡc φθείρεcθαι μέλλοντοc,
τῆc ἀφθάρτου δὲ ψυχῆc
coφῶc ἐπιμελούμενοc,
καὶ κολάcεων
πολυτρόποιc ἰδέαιc | ἐπυρώθηc
ὡc χρυcὸc κεκαθαρμένοc
ἑπταπλαcίωc, Γεώργιε.

Τῷ cωτῆρι cυνέπαθεc
καὶ θανάτῳ τὸν θάνατον
ἑκουcίωc, ἔνδοξε, | μιμηcάμενοc
cυμβαcιλεύειc λαμπρότατα,
πορφύραν ἐξ αἵματοc
ἐνδυcάμενοc φαιδρὰν
καὶ τῷ cκήπτρῳ τῶν ἄθλων cou
ἐγκοcμούμενοc
καὶ cτεφάνῳ τῆc νίκηc | διαπρέπων
ἀπεράντουc εἰc αἰῶναc,
μεγαλομάρτυc Γεώργιε.

Τῷ τῆc πίcτεωc θώρακι
καὶ ἀcπίδι τῆc χάριτοc
καὶ cταυροῦ τῷ δόρατι
cυμφραξάμενοc,
τοῖc ἐναντίοιc ἀνάλωτοc
ἐγένου, Γεώργιε,
καὶ ὡc θεῖοc ἀριcτεὺc
τῶν δαιμόνων τὰc φάλαγγαc
τροπωcάμενοc
cὺν ἀγγέλοιc χορεύειc·
τοὺc πιcτοὺc δὲ
περιέπων ἁγιάζειc
καὶ διαcώζειc καλούμενοc.

Ὡc ἀcτέρα πολύφωτον,
ὥcπερ ἥλιον λάμποντα
ἐν τῷ cτερεώματι | cὲ γινώcκομεν·
ὡc μαργαρίτην πολύτιμον,
ὡc λίθον αὐγάζοντα,
ὡc ἡμέραc cε υἱόν,

V. δ' 20 λαμπρότιcιν C — 21 γὰρ om. C — VI. v. 6 καὶ θανάτου F — 22 τῆc δόξηc F — tres posteriores strophas om. F

ὡϲ γενναῖον ἐν μάρτυϲιν,
ὡϲ ὑπέρμαχον
τῶν πιϲτῶν ἐν κινδύνοιϲ | εὐφημοῦμεν,
ἐκτελοῦντέϲ ϲου τὴν μνήμην,
τροπαιοφόρε Γεώργιε.

Ἐν θαλάϲϲῃ με πλέοντα,
ἐν ὁδῷ με βαδίζοντα,
ἐν νυκτὶ καθεύδοντα
περιφρούρηϲον·
ἐπαγρυπνοῦντα διάϲωϲον,
παμμάκαρ Γεώργιε,
καὶ ἀξίωϲον ποιεῖν
τοῦ κυρίου τὸ θέλημα,
ὅπωϲ εὕροιμι
ἐν ἡμέρᾳ τῆϲ δίκηϲ | τῶν ἐν βίῳ
πεπραγμένων μοι τὴν λύϲιν
ὁ προϲδραμὼν ἐν τῇ ϲκέπῃ ϲου.

β'. Ϲτιχ. προϲόμ. εἰϲ Ἰωάννην τὸν Χρυϲόϲτομον (Νοεμ. 13).

Τὴν χρυϲήλατον ϲάλπιγγα,
τὸ θεόπνευϲτον ὄργανον,
τῶν δογμάτων πέλαγοϲ
ἀνεξάντλητον,
τῆϲ ἐκκληϲίαϲ τὸ ϲτήριγμα,
τὸν νοῦν τὸν οὐράνιον,
τῆϲ ϲοφίαϲ τὸν βυθὸν,
τὸν κρατῆρα τὸν πάγχρυϲον,
τὸν προχέοντα
ποταμοὺϲ διδαγμάτων | μελιρρύτων
καὶ ἀρδεύοντα τὴν κτίϲιν
μελῳδικῶϲ ἀνυμνήϲωμεν.

Τὸν ἀϲτέρα τὸν ἄδυτον,
τὸν ἀκτῖϲι φωτίζοντα
διδαγμάτων ἅπαϲαν | τὴν ὑφήλιον,
τῆϲ μετανοίαϲ τὸν κήρυκα,
τὸν ϲπόγγον τὸν πάγχρυϲον
τὸν ὑγρότητα δεινῆϲ
ἀπογνώϲεωϲ αἴροντα
καὶ δροϲίζοντα
ἐκτακείϲαϲ καρδίαϲ | ἁμαρτίαιϲ
Ἰωάννην ἐπαξίωϲ
τὸν χρυϲολόγον τιμήϲωμεν.

Ὁ ἐπίγειοϲ ἄγγελοϲ
καὶ οὐράνιοϲ ἄνθρωποϲ,
χελιδὼν ἡ εὔλαλοϲ
καὶ πολύφωνοϲ,
τῶν ἀρετῶν τὸ θηϲαύριϲμα,
ἡ πέτρα ἡ ἄρρηκτοϲ,
τῶν πιϲτῶν ὑπογραμμὸϲ,
τῶν μαρτύρων ἐφάμιλλοϲ,
ἰϲοϲτάϲιοϲ
τῶν ἁγίων ἀγγέλων, | ἀποϲτόλων
ὁ ὁμότροποϲ ἐν ὕμνοιϲ
μεγαλυνέϲθω Χρυϲόϲτομοϲ.

γ'. Ϲτιχ. προϲόμ. εἰϲ τὴν Κοίμηϲιν τῆϲ θεοτόκου (Αὐγ. 15).

Τῇ ἐνδόξῳ κοιμήϲει ϲου
οὐρανοὶ ἐπαγάλλονται,
καὶ ἀγγέλων γέγηθε
τὰ ϲτρατεύματα·
πᾶϲα ἡ γῆ δὲ εὐφραίνεται,
ᾠδήν ϲοι ἐξόδιον
προϲφωνοῦϲα τῇ μητρὶ
τοῦ τῶν ὅλων δεϲπόζοντοϲ,
ἀπειρόγαμε
παναγία παρθένε, | ἡ τὸ γένοϲ
τῶν ἀνθρώπων ῥυϲαμένη
προγονικῆϲ ἀποφάϲεωϲ.

Ἐκ περάτων ϲυνέδραμον
ἀποϲτόλων οἱ πρόκριτοι
θεαρχίῳ νεύματι | τοῦ κηδεῦϲαί ϲε·
καὶ ἀπὸ γῆϲ αἰρομένην ϲε
πρὸϲ ὕψοϲ θεώμενοι
τὴν φωνὴν τοῦ Γαβριὴλ
ἐν χαρᾷ ἀνεβόων ϲοι· | χαῖρε ὄχημα
τῆϲ θεότητοϲ ὅληϲ, | χαῖρε μόνη
τὰ ἐπίγεια τοῖϲ ἄνω
τῷ τοκετῷ ϲου ϲυνάψαϲα.

VI. β' v. 18 ἀηδών K — καὶ πολύφθογγοϲ K

Τὴν ζωὴν ἡ κυήσασα
πρὸς ζωὴν μεταβέβηκας
τῇ σεπτῇ κοιμήσει σου
τὴν ἀθάνατον,
δορυφορούντων ἀγγέλων σοι,
ἀρχῶν καὶ δυνάμεων,
ἀποστόλων, προφητῶν
καὶ ἁπάσης τῆς κτίσεως, | δεχομένου τε
ἀκηράτοις παλάμαις | τοῦ υἱοῦ σου
τὴν ἀμώμητον ψυχήν σου,
παρθενομῆτορ θεόνυμφε.

δ'. Στιχ. προσόμ. εἰς τὸν ἀρχάγγελον Μιχαὴλ (Νοεμ. 8).

Τρισηλίου θεότητος
παραστάτης φαιδρότατος,
Μιχαήλ, δεικνύμενος,
ἀρχιστράτηγε,
μετὰ τῶν ἄνω δυνάμεων
κραυγάζεις γηθόμενος·
ἅγιος εἶ ὁ πατήρ,
ἅγιος ὁ συνάναρχος, | λόγος ἅγιος,
καὶ τὸ ἅγιον πνεῦμα, | μία δόξα,
βασιλεία, μία φύσις,
μία θεότης καὶ δύναμις.
Καὶ τὸ εἶδός σου πύρινον,
καὶ τὸ κάλλος θαυμάσιον,
Μιχαὴλ πρωτάγγελε·
τῇ ἀΰλῳ γὰρ
φύσει διέρχῃ τὰ πέρατα,
πληρῶν τὰ προστάγματα
τοῦ τῶν ὅλων ποιητοῦ,
δυνατὸς ἐν ἰσχύϊ σου | γνωριζόμενος,
καὶ πηγὴν ἰαμάτων | τὸν ναόν σου
ἐργαζόμενος, τῇ κλήσει
σοῦ τῇ ἁγίᾳ τιμώμενον.

Ὁ ποιῶν τοὺς ἀγγέλους σου,
ὥσπερ γέγραπται, πνεύματα
καὶ τοὺς λειτουργοῦντάς σοι
φλόγα πύρινον,
μέσον ταγμάτων πρωτεύοντα
ἀνέδειξας, κύριε,
σου τῶν ἀρχαγγελικῶν
Μιχαὴλ ἀρχιστράτηγον,
σοῦ τοῖς νεύμασιν
καθυπείκοντα, λόγε, | καὶ τὸν ὕμνον
τὸν τρισάγιον ἐν φόβῳ
ἀναφωνοῦντα τῇ δόξῃ σου.

VII

Τροπάριον αὐτόμελον εἰς τοὺς ἀποστ. Πέτρον καὶ Παῦλον (Ἰουν. 29)
ἦχος δ'.

Ὁ ἐξ ὑψίστου κληθείς,
οὐκ ἀπ' ἀνθρώπων,
ὅτε τὸ ἐπίγειον | σκότος ἠμαύρωσε
τοὺς ὀφθαλμοὺς σοῦ τοῦ σώματος,
τῆς ἀσεβείας
δημοσιεῦον | τὴν σκυθρωπότητα,
τότε τὸ οὐράνιον | φῶς περιήστραψε
σῆς διανοίας τὰ ὄμματα,
τῆς εὐσεβείας
ἀνακαλύπτον | τὴν ὡραιότητα·
ὅθεν ἐπέγνως | τὸν ἐξάγοντα
φῶς ἐκ σκότους Χριστὸν τὸν θεὸν
ὃν ἱκέτευε σῶσαι [ἡμῶν·
καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

β'. Στιχ. προσόμ. εἰς μνήμην Βασιλείου τοῦ μεγάλου (Ἰαν. 1).

Ὁ ἐπωνύμως κληθεὶς | τῆς βασιλείας,
ὅτε τὸ βασίλειον | σὺ ἱεράτευμα,
τὸ τοῦ Χριστοῦ ἔθνος ἅγιον,
φιλοσοφίᾳ

VI. γ' v. 19 σε F — 21 δεχομένων δέ F — VII. carmen hoc medium insertum est carmini quatuor stropharum — v. 9 φῶς ἐκ σκότους τὸν θεὸν ἡμῶν legisse videtur, qui tertium carmen composuit

καὶ ἐπιϲτήμῃ, | πάτερ, ἐποίμαναϲ,
τότε διαδήματι | ϲὲ κατεκόϲμηϲε
τῆϲ βαϲιλείαϲ, Βαϲίλειε,
βαϲιλευόντων
ὁ βαϲιλεύων | καὶ πάντων κύριοϲ,
ὁ τῷ τεκόντι | ϲυννοούμενοϲ
ἀϊδίωϲ υἱὸϲ καὶ ϲυνάναρχοϲ,
ὃν ἱκέτευε ϲῶϲαι
καὶ φωτίϲαι τὰϲ ψυχὰϲ ἡμῶν.

Ἱεραρχίαϲ ϲτολαῖϲ | ἠγλαϊϲμένοϲ
χαίρων ἀνεκήρυξαϲ | τὸ εὐαγγέλιον
τῆϲ βαϲιλείαϲ, Βαϲίλειε,
ὀρθοδοξίαϲ
τῇ ἐκκληϲίᾳ | βλύϲαϲ διδάγματα·
οἷϲ νῦν φωτιζόμενοι | μίαν θεότητα
τὴν ἐν πατρὶ παντοκράτορι
μονογενεῖ τε
τοῦ θεοῦ λόγῳ | καὶ θείῳ πνεύματι
θεολογοῦμεν | καὶ δοξάζομεν
ἐν προϲώποιϲ τριϲὶν ἀδιαίρετον,
ἣν ἱκέτευε ϲῶϲαι
καὶ φωτίϲαι τὰϲ ψυχὰϲ ἡμῶν.

Ὁ οὐρανίαιϲ ϲυνὼν | χοροϲταϲίαιϲ
καὶ ϲυναυλιζόμενοϲ, | πάτερ Βαϲίλειε,
ὧν καὶ τὸν βίον ἐζήλωϲαϲ
τῇ λαμπροτάτῃ
εἰλικρινείᾳ | τῆϲ πολιτείαϲ ϲου,
ἔτι μετὰ ϲώματοϲ | ἀναϲτρεφόμενοϲ
τοῖϲ ἐπὶ γῆϲ ὥϲ τιϲ ἄϲαρκοϲ,
τοὺϲ ἐντρυφῶνταϲ
τῇ θεοπνεύϲτῳ | διδαϲκαλίᾳ ϲου
ἐκ τῶν κινδύνων καὶ τοῦ ϲκότουϲ τῆϲ
ἀγνωϲίαϲ Χριϲτὸν τὸν θεὸν ἡμῶν
καθικέτευε ϲῶϲαι
καὶ φωτίϲαι τὰϲ ψυχὰϲ ἡμῶν.

γ΄. Ϲτιχ. προϲόμ. εἰϲ τὰ προεόρτια τῶν Χριϲτουγέννων (Δεκ. 23).

Τοῦ Ἡϲαΐου φωνὴ | ἀποπληροῦται·
ἰδοὺ ἡ παρθένοϲ γὰρ | τὸν ἀπερίληπτον
περιγραφόμενον ϲώματι
ἐν μήτρᾳ φέρει
καὶ παραδόξωϲ | τεκεῖν ἐπείγεται·
θεόδεκτον ϲπήλαιον προευτρεπίϲθητι·
ἡ Βηθλεὲμ ἑτοιμάϲθητι·
ὁ βαϲιλεὺϲ γὰρ
ϲὲ ᾑρετίϲατο εἰϲ κατοίκηϲιν·
δέχου ἡ φάτνη | ϲπαργανούμενον
βρέφοϲ Χριϲτὸν λύειν μέλλοντα
τὰϲ ϲειρὰϲ τῶν πταιϲμάτων
τῶν ἀνθρώπων ἀγαθότητι.

Ἡ φωτεινή τε καὶ ἔμψυχοϲ νεφέλη,
τὸν ὄμβρον βαϲτάζουϲα | τὸν ἐπουράνιον,
τοῦτον ἐν γῇ νῦν προέρχεται
ἐναποϲτάξαι,
ὅπωϲ ἀρδεύϲῃ ταύτηϲ τὸ πρόϲωπον·
τὸ ἔαρ τῆϲ χάριτοϲ | ἡ νοητὴ χελιδὼν
ἔνδον ἐν ϲπλάγχνοιϲ κατέχουϲα
ἀρρήτῳ λόγῳ
ἐναποτίκτει | χειμῶνα ἄθεον
διαϲκεδάζον· | τὸ παλάτιον
τὸ καθαρὸν καὶ ἀμίαντον
βαϲιλέα ϲπηλαίῳ
ἐπειϲάγει ϲωματούμενον.

Ϲυναπεγράφηϲ τοῖϲ δούλοιϲ ὁ δεϲπότηϲ
πταιϲμάτων χειρόγραφον | ϲχίϲαι βουλόμενοϲ
καὶ ἀπογράψαϲθαι ἅπανταϲ
ἐν βίβλῳ ζώντων
θανατωθένταϲ | κλοπῇ τοῦ ὄφεωϲ·
παρθένοϲ δὲ φέρει ϲε τὸν πάντα φέροντα,
ϲάρκα θνητὴν περικείμενον
καὶ καταλύειν
ϲμικρῷ ϲπηλαίῳ | ἐπευδοκήϲαντα·
ὃν γεννηθέντα | τάξειϲ ἄνωθεν
ἀγγελικαὶ ἀνυμνήϲουϲι
μετὰ θείων ποιμένων,
ἐκπληττόμεναι τὸ κράτοϲ ϲου.

VII. β΄ v. 27 τῇ θεοπνεύϲτῳ διδαϲκαλίᾳ J: τῆϲ θεοπνεύϲτου διδαϲκαλίαϲ Barth.

VIII

Cτιχηρά, αὐτόμελον καὶ προcόμοια εἰc τὸν ἅγιον Cάββαν (Δεκ. 5)
ἦχοc πλ. α΄.

Χαίροιc, ἀcκητικῶν ἀληθῶc
ἀγωνιcμάτων | τὸ εὐῶδεc κειμήλιον·
cταυρὸν γὰρ ἐπ᾽ ὤμων ἄραc | καὶ τῷ δεcπότῃ Χριcτῷ
cεαυτόν, παμμάκαρ, | ἀναθέμενοc
cαρκὸc κατεπάτηcαc | τὸ χαμαίζηλον φρόνημα·
ταῖc ἀρεταῖc δὲ | τὴν ψυχὴν κατελάμπρυναc
καὶ πρὸc ἔνθεον | ἀνεπτέρωcαc ἔρωτα·
ὅθεν τὴν παναγίαν cου | κυκλοῦντεc, πανεύφημε,
λάρνακα, Cάββα, τῆc θείαc | φιλανθρωπίαc αἰτούμεθα
τυχεῖν ταῖc πρεcβείαιc,
καὶ τῷ κόcμῳ δωρηθῆναι | τὸ μέγα ἔλεοc.

Ἄνθραξ θεοφεγγὴc τῷ πυρὶ
προcομιλήcαc, | θεοφόρε, τοῦ πνεύματοc,
ἐδείχθηc ἐν κόcμῳ, Cάββα, | καταλαμπρύνων ψυχὰc
τῶν πιcτῶc, θεόφρον, | προcιόντων cοι,
πρὸc φῶc ὁδηγῶν αὐτοὺc | τὸ ἀνέcπερον, ὅcιε·
ἐρημικοὺc δέ, | δροcιζόμενοc ἄνωθεν
θείᾳ χάριτι, | κατεμάραναc ἄνθρακαc·
ὅθεν καὶ τὸν τῆc νίκηc cοι | προδήλωc δεδώρηται
cτέφανον, πάτερ, | τῆc θείαc δικαιοcύνηc ὁ πρύτανιc
Χριcτόc, ὅν δυcώπει
ταῖc ψυχαῖc ἡμῶν δοθῆναι | τὸ μέγα ἔλεοc.

Κλίμαξ οὐρανομήκηc cαφῶc
ἡ πολιτεία | cου, θεόφρον, γεγένηται,
δι᾽ ἧc περ πρὸc ὕψοc ἤρθηc | καὶ τῷ δεcπότῃ Χριcτῷ
ὁμιλεῖν, παμμάκαρ, | κατηξίωcαι,
τὸν νοῦν ἐλλαμπόμενοc | ταῖc ἐκεῖθεν ἐλλάμψεcι·
μαρμαρυγαῖc δὲ | ταῖc αὐτοῦ φωτιζόμενοc
τὴν ἰcάγγελον | ἐκομίcω φαιδρότητα·
ᾧ καὶ νῦν παριcτάμενοc | ἱκέτευε, ὅcιε,
τοὺc ἐκτελοῦνταc τὴν θείαν | καὶ πανcεβάcμιον μνήμην cου
cὺν cοὶ παραcτῆναι,
καὶ τῷ κόcμῳ δωρηθῆναι | τὸ μέγα ἔλεοc.

β΄. Cτιχ. προcόμ. εἰc τὴν προcκύνηcιν τοῦ cταυροῦ (Τριῳδ. cελ. 201).

Λάμψον, ὁ τοῦ κυρίου cταυρόc,
τὰc φεγγοβόλουc | ἀcτραπάc cου τῆc χάριτοc

VIII. β΄ v. 2 exspectas ταῖc φεγγοβόλοιc ἀcτραπαῖc

καρδίας τῶν cὲ τιμώντων | καὶ θεολήπτῳ cτοργῇ
περιπτυccομένων, | κοcμοπόθητε·
δι' οὗ τῶν δακρύων | ἐξηφανίcθη κατήφεια,
καὶ τοῦ θανάτου | τῶν παγίδων ἐρρύcθημεν
καὶ πρὸc ἄληκτον | εὐφροcύνην μετήλθομεν·
δεῖξον τῆc ὡραιότητοc | τῆc cῆc τὴν εὐπρέπειαν,
τὰc ἀντιδόcειc παρέχων | τῆc ἐγκρατείαc τοῖc δούλοιc cου,
πιcτῶc αἰτουμένοιc
cὴν πλουcίαν προcταcίαν | καὶ μέγα ἔλεοc.

Χαίροιc, ὁ ζωηφόροc cταυρόc,
τῆc ἐκκληcίαc | ὁ ὡραῖοc παράδειcοc,
τὸ ξύλον τῆc ἀφθαρcίαc | τὸ ἐξανθῆcαν ἡμῖν
αἰωνίου δόξηc | τὴν ἀπόλαυcιν·
δι' οὗ τῶν δαιμόνων | ἀποδιώκονται φάλαγγεc,
καὶ τῶν ἀγγέλων | cυνευφραίνονται τάγματα,
καὶ cυcτήματα | τῶν πιcτῶν ἑορτάζουcιν·
ὅπλον ἀκαταγώνιcτον, | κραταίωμα ἄρρηκτον,
τῶν βαcιλέων τὸ νῖκοc, | τῶν ἱερέων τὸ καύχημα,
Χριcτοῦ νῦν τὰ πάθη
καὶ ἡμῖν δίδου προφθάcαι | καὶ τὴν ἀνάcταcιν.

Χαίροιc, ὁ ζωηφόροc cταυρόc,
τῆc εὐcεβείαc | τὸ ἀήττητον τρόπαιον,
ἡ θύρα τοῦ παραδείcου, | ὁ τῶν πιcτῶν cτηριγμόc,
τὸ τῆc ἐκκληcίαc | περιτείχιcμα·
δι' οὗ ἐξηφάνιcται | ἡ ἀρὰ καὶ κατήργηται,
καὶ κατεπόθη | τοῦ θανάτου ἡ δύναμιc,
καὶ ὑψώθημεν | ἀπὸ γῆc πρὸc οὐράνια·
ὅπλον ἀκαταμάχητον, | δαιμόνων ἀντίπαλε,
δόξα μαρτύρων, ὁcίων | ὡc ἀληθῶc ἐγκαλλώπιcμα,
λιμὴν cωτηρίαc,
ὁ δωρούμενοc τῷ κόcμῳ | τὸ μέγα ἔλεοc.

Δεῦρο, τῶν πρωτοπλάcτων δυάc,
ἡ τῆc χορείαc | ἐκπεcοῦcα τῆc ἄνωθεν
τῷ φθόνῳ τοῦ βροτοκτόνου | διὰ πικρᾶc ἡδονῆc
τῆc τοῦ ξύλου πάλαι | ἀπογεύcεωc·
ἰδοὺ τὸ πανcέβαcτον | ὄντωc ξύλον προcέρχεται,
ᾧ προcδραμόντεc | ἐν χαρᾷ περιπτύξαcθε
καὶ βοήcατε | πρὸc αὐτὸ μετὰ πίcτεωc·

23 tertia stropha duabus similibus iuncta cantatur etiam die festo exaltationis crucis 14. Sept.)

ϲὺ ἡμῶν ἡ ἀντίληψιϲ, | ϲταυρὲ πανϲεβάϲμιε,
οὗ τοῦ καρποῦ μεταϲχόντεϲ | τῆϲ ἀφθαρϲίαϲ ἐτύχομεν,
Ἐδὲμ τὴν προτέραν
κομιϲάμενοι βεβαίαν | καὶ μέγα ἔλεοϲ.

IX

Ϲτιχηρά, αὐτόμελον καὶ προϲόμοια εἰϲ Κοϲμᾶν καὶ Δαμιανόν (Νοεμ. 1).

ἦχοϲ πλ. β'.

Ὅλην ἀποθέμενοι
ἐν οὐρανοῖϲ τὴν ἐλπίδα
θηϲαυρὸν ἀϲύλητον
ἐπὶ γῆϲ οἱ ἅγιοι
ἐθηϲαύριϲαν·
δωρεὰν ἔλαβον, | δωρεὰν διδοῦϲι
τοῖϲ νοϲοῦϲι τὰ ἰάματα·
χρυϲὸν ἢ ἄργυρον
εὐαγγελικῶϲ οὐκ ἐκτήϲαντο·
ἀνθρώποιϲ τε καὶ κτήνεϲι
τὰϲ εὐεργεϲίαϲ μετέδωκαν,
ἵνα διὰ πάντων
ὑπήκοοι γενόμενοι Χριϲτῷ
ἐν παρρηϲίᾳ πρεϲβεύωϲιν
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὕλην ἐβδελύξαντο
τὴν ἐπὶ γῆϲ φθειρομένην,
οὐρανοπολῖται δὲ
ἐν ϲαρκὶ ὡϲ ἄγγελοι
ἐχρημάτιϲαν,
ἡ ὁμόφρων ϲύϲκηνοϲ
ξυνωρὶϲ ὁμότροποϲ
τῶν ἁγίων καὶ ὁμόψυχοϲ·
διὸ τοῖϲ κάμνουϲι
πᾶϲι τὰϲ ἰάϲειϲ βραβεύουϲιν,
ἀνάργυρον παρέχοντεϲ
τὴν εὐεργεϲίαν τοῖϲ χρῄζουϲιν·
οὓϲ ἐν ἐτηϲίοιϲ
ὑμνήϲωμεν ἀξίωϲ ἑορταῖϲ
ἐν παρρηϲίᾳ πρεϲβεύονταϲ
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὅλην εἰϲοικίϲαϲα
ἐν ἑαυτῇ τὴν τριάδα
δυὰϲ ἡ ἀοίδιμοϲ
Κοϲμᾶϲ καὶ Δαμιανὸϲ
οἱ θεόφρονεϲ
ὡϲ κρουνοὶ βλύζουϲιν | ἐκ πηγῆϲ νάματα
ζωηφόρου τῶν ἰάϲεων·
ὧν καὶ τὰ λείψανα
πάθη δι' ἀφῆϲ θεραπεύουϲι,
καὶ μόνα τὰ ὀνόματα
νόϲουϲ ἐκ βροτῶν ἀπελαύνουϲι·
πάντων τῶν προϲφύγων
ϲωτήριοι τελοῦντεϲ τῷ Χριϲτῷ
ἐν παρρηϲίᾳ πρεϲβεύουϲιν
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

β'. Ϲτιχ. προϲόμ. εἰϲ τοὺϲ ἐν Νικαίᾳ πατέραϲ (Πεντηκ. ϲελ. 172, ὅρα Ἰουλ. 13).

Ὅλην ϲυγκροτήϲαντεϲ
τὴν τῆϲ ψυχῆϲ ἐπιϲτήμην
καὶ τῷ θείῳ πνεύματι
ϲυνδιαϲκεψάμενοι
τὸ μακάριον
καὶ ϲεπτὸν ϲύμβολον | οἱ ϲεπτοὶ πατέρεϲ
θεογράφωϲ διεχάραξαν·
ἐν ᾧ ϲαφέϲτατα
τῷ γεγεννηκότι ϲυνάναρχον
τὸν λόγον ἐκδιδάϲκουϲι
καὶ παναληθῶϲ ὁμοούϲιον,
ταῖϲ τῶν ἀποϲτόλων
ἑπόμενοι προδήλωϲ διδαχαῖϲ,

IX. v. 7 fort. ἀνθρώποιϲ δέ

οἱ εὐκλεεῖϲ καὶ πανόλβιοι
ὄντωϲ καὶ θεόφρονεϲ.

Ὅλην εἰϲδεξάμενοι
τὴν νοητὴν λαμπηδόνα
τοῦ ἁγίου πνεύματοϲ,
τὸ ὑπερφυέϲτατον
χρηϲμολόγημα,
τὸ βραχὺ ῥήματι | καὶ πολὺ ϲυνέϲει
θεοπνεύϲτωϲ ἀπεφθέγξαντο,
ὡϲ χριϲτοκήρυκεϲ
εὐαγγελικῶν προϊϲτάμενοι
δογμάτων οἱ μακάριοι
καὶ τῶν εὐϲεβῶν παραδόϲεων·
ἄνωθεν λαβόντεϲ
τὴν τούτων ἀποκάλυψιν ϲαφῶϲ
καὶ φωτιϲθέντεϲ ἐξέθεντο
πίϲτιν θεοδίδακτον·

Ὅλην ϲυλλεξάμενοι
ποιμαντικὴν ἐπιϲτήμην
καὶ θυμὸν κινήϲαντεϲ
νῦν τὸν δικαιότατον
ἐνδικώτατα
τοὺϲ βαρεῖϲ ἤλαϲαν
καὶ λοιμώδειϲ λύκουϲ,
τῇ ϲφενδόνῃ τῇ τοῦ πνεύματοϲ
ἐκϲφενδονήϲαντεϲ
τοῦ τῆϲ ἐκκληϲίαϲ πληρώματοϲ,
πεϲόνταϲ ὡϲ πρὸϲ θάνατον
καὶ ὡϲ ἀνιάτωϲ νοϲήϲανταϲ
οἱ θεῖοι ποιμένεϲ
ὡϲ δοῦλοι γνηϲιώτατοι Χριϲτοῦ
καὶ τοῦ ἐνθέου κηρύγματοϲ
μύϲται ἱερώτατοι.

γʹ. Ϲτιχ. προϲόμ. εἰϲ τὴν τῆϲ Ἀπόκρεω κυριακὴν (Τριῳδ. ϲελ. 21).

Ὅταν μέλλῃϲ ἔρχεϲθαι
κρίϲιν δικαίαν ποιῆϲαι,
κριτὰ δικαιότατε,
ἐπὶ θρόνου δόξηϲ ϲου
καθεζόμενοϲ,
ποταμὸϲ πύρινοϲ | πρὸ τοῦ ϲοῦ βήματοϲ
καταπλήττων ἕλκῃ ἅπανταϲ,
παριϲταμένων ϲοι
τῶν ἐπουρανίων δυνάμεων
ἀνθρώπων κρινομένων τε
φόβῳ καθ' ἃ ἕκαϲτοϲ ἔπραξε,
τότε ἡμῶν φεῖϲαι
καὶ μοίραϲ καταξίωϲον, Χριϲτέ,
τῶν ϲῳζομένων ὡϲ εὔϲπλαγχνοϲ·
πίϲτει δυϲωποῦμέν ϲε.

Βίβλοι ἀνοιγήϲονται,
φανερωθήϲονται πράξειϲ
ἀνθρώπων ἐπίπροϲθεν
τοῦ ἀϲτέκτου βήματοϲ·
διηχήϲει δὲ
ἡ κοιλὰϲ ἅπαϲα | φοβερῷ βρύγματι
τοῦ κλαυθμῶνοϲ, πάνταϲ βλέπουϲα
τοὺϲ ἁμαρτήϲανταϲ
ταῖϲ αἰωνιζούϲαιϲ κολάϲεϲι
τῇ κρίϲει τῇ δικαίᾳ ϲου
παραπεμπομένουϲ καὶ ἄπρακτα
κλαίονταϲ, οἰκτίρμον·
διό ϲε δυϲωποῦμεν, ἀγαθέ·
φεῖϲαι ἡμῶν τῶν ὑμνούντων ϲε,
μόνε πολυέλεε.

Ἠχήϲουϲι ϲάλπιγγεϲ
καὶ κενωθήϲονται τάφοι,
καὶ ἐξαναϲτήϲεται
τῶν ἀνθρώπων τρέμουϲα
φύϲιϲ ἅπαϲα·
οἱ καλὰ πράξαντεϲ | ἐν χαρᾷ χαίρουϲι,
προϲδοκῶντεϲ μιϲθὸν λήψεϲθαι·
οἱ ἁμαρτήϲαντεϲ
τρέμουϲι δεινῶϲ ὀλολύζοντεϲ,
εἰϲ κόλαϲιν πεμπόμενοι
καὶ τῶν ἐκλεκτῶν χωριζόμενοι·
κύριε τῆϲ δόξηϲ,
οἰκτείρηϲον ἡμᾶϲ ὡϲ ἀγαθὸϲ
καὶ τῆϲ μερίδοϲ ἀξίωϲον
τῶν ἠγαπηκότων ϲε.

Κλαίω καὶ ὀδύρομαι,
ὅταν εἰϲ αἴϲθηϲιν ἔλθω,

τὸ πῦρ τὸ αἰώνιον,
ϲκότοϲ τὸ ἐξώτερον
καὶ τὸν τάρταρον,
τὸν δεινὸν ϲκώληκα,
τὸν βρυγμὸν αὖθίϲ τε
τῶν ὀδόντων καὶ τὴν ἄπαυϲτον
ὀδύνην μέλλουϲαν
ἔϲεϲθαι τοῖϲ ἄμετρα πταίϲαϲι
καὶ ϲὲ τὸν ὑπεράγαθον
γνώμῃ πονηρᾷ παροργίϲαϲιν·
ὧν εἷϲ τε καὶ πρῶτοϲ
ὑπάρχω ὁ ταλαίπωροϲ ἐγώ·
ἀλλά, κριτά, τῷ ἐλέει ϲου
ϲῶϲόν με ὡϲ εὔϲπλαγχνοϲ.

δʹ. Ϲτιχ. προϲόμ. εἰϲ τὴν τῆϲ Τυρινῆϲ κυριακὴν (Τριῴδ. ϲελ. 57).

Ὁ πλάϲτηϲ μου κύριοϲ
χοῦν ἐκ τῆϲ γῆϲ προϲλαβών με
ζωηρῷ φυϲήματι | ψυχώϲαϲ ἐζώωϲε
καὶ ἐτίμηϲεν
ἐπὶ γῆϲ ἄρχοντα | ὁρατῶν ἁπάντων
καὶ ἀγγέλοιϲ ὁμοδίαιτον·
Ϲατὰν δ' ὁ δόλιοϲ
ὀργάνῳ τῷ ὄφει χρηϲάμενοϲ
ἐν βρώϲει ἐδελέαϲε
καὶ θεοῦ τῆϲ δόξηϲ ἐχώριϲε
καὶ τῷ κατωτάτῳ
θανάτῳ παραδέδωκεν εἰϲ γῆν·
ἀλλ' ὡϲ δεϲπότηϲ καὶ εὔϲπλαγχνοϲ
πάλιν ἀνακάλεϲαι.

Ϲτολὴν θεοΰφαντον
ἀπεξεδύθην ὁ τάλαϲ,
ϲοῦ τὸ θεῖον πρόϲταγμα
παρακούϲαϲ, κύριε,
ϲυμβουλίᾳ ἐχθροῦ·
καὶ ϲυκῆϲ φύλλα δὲ
καὶ τοὺϲ δερματίνουϲ
νῦν χιτῶναϲ περιβέβλημαι·
ἱδρῶτι κέκριμαι
ἄρτον μοχθηρὸν κατεϲθίειν γάρ·
ἀκάνθαϲ καὶ τριβόλουϲ δὲ
φέρειν μοι ἡ γῆ κεκατάραται·
ἀλλ' ὁ ἐν ὑϲτέροιϲ [θεὶϲ
τοῖϲ χρόνοιϲ ἐκ παρθένου ϲαρκω-
ἀνακαλέϲαϲ εἰϲάγαγε
πάλιν εἰϲ παράδειϲον.

Παράδειϲε πάντιμε,
τὸ ὡραιότατον κάλλοϲ,
θεόκτιϲτον ϲκήνωμα,
εὐφροϲύνη ἄληκτε
καὶ ἀπόλαυϲιϲ,
δόξα τῶν δικαίων,
προφητῶν τερπνότηϲ
καὶ ἁγίων οἰκητήριον,
ἤχῳ τῶν φύλλων ϲου
πλάϲτην τὸν τῶν ὅλων ἱκέτευε
τὰϲ πύλαϲ ὑπανοῖξαί μοι,
ἃϲ τῇ παραβάϲει ἀπέκλειϲα,
καὶ ἀξιωθῆναι
τοῦ ξύλου τῆϲ ζωῆϲ μεταλαβεῖν
καὶ τῆϲ χαρᾶϲ, ἧϲ τὸ πρότερον
ἐν ϲοὶ κατετρύφηϲα.

Ἀδὰμ ἐξωϲτράκιϲται
παρακοῇ παραδείϲου
καὶ τρυφῆϲ ἐκβέβληται,
γυναικὸϲ τοῖϲ ῥήμαϲιν
ἀπατώμενοϲ,
καὶ γυμνὸϲ κάθηται | τοῦ χωρίου, οἴμοι!
ἐναντίον ὀδυρόμενοϲ·
διὸ ϲπουδάϲωμεν
πάντεϲ τὸν καιρὸν ὑποδέξαϲθαι
νηϲτείαϲ, ὑπακούοντεϲ
εὐαγγελικῶν παραδόϲεων,
ἵνα διὰ τούτων
εὐάρεϲτοι γενόμενοι Χριϲτῷ
τοῦ παραδείϲου τὴν οἴκηϲιν
πάλιν ἀπολάβωμεν.

εʹ. Ϲτιχ. προϲόμ. εἰϲ τὴν τῆϲ Ὀρθοδοξίαϲ κυριακὴν (Τριῴδ. ϲελ. 123).

Ϲὲ τὸν ἀκατάληπτον
πρὸ ἑωϲφόρου ἀνάρχωϲ
ἐξ ἀΰλου λάμψαντα
ἀϲωμάτου τε γαϲτρὸϲ

τοῦ γεννήτοροc
οἱ προφῆται, κύριε,
οἱ τῷ cῷ πνεύματι
ἐμπνευcθέντεc προηγόρευcαν
παιδίον ἔcεcθαι
ἐξ ἀπειρογάμου cαρκούμενον,
ἀνθρώποιc cυναπτόμενον
καὶ τοῖc ἐπὶ γῆc καθορώμενον·
δι᾽ ὧν ὡc οἰκτίρμων
ἐλλάμψεωc ἀξίωcον τῆc cῆc
τοὺc ἀνυμνοῦνταc τὴν ἄφραcτον
cοῦ cεπτὴν ἀνάcταcιν.

Λόγῳ cε κηρύξαντεc
οἱ θεηγόροι προφῆται
καὶ ἔργοιc τιμήcαντεc
ἀτελεύτητον ζωὴν
ἐκαρπώcαντο·
τῇ γὰρ κτίcει, δέcποτα,
παρὰ cὲ τὸν κτίcαντα
μὴ λατρεύειν καρτερήcαντεc
τὸν κόcμον ἅπαντα
εὐαγγιλικῶc ἀπεcτράφηcαν,
καὶ cύμμορφοι γεγόναcιν
οὗ περ προηγόρευcαν πάθουc cου·
ὧν ταῖc ἱκεcίαιc
ἀξίωcον ἀμέμπτωc διελθεῖν
τῆc ἐγκρατείαc τὸ cτάδιον,
μόνε πολυέλεε.

Φύcει ἀπερίγραπτοc
τῇ θεϊκῇ cου ὑπάρχων
ἐπ᾽ ἐcχάτων, δέcποτα,
cαρκωθεὶc ἠξίωcαc
περιγράφεcθαι·
τῆc cαρκὸc προcλήψει γὰρ
καὶ τὰ ἰδιώματα
ἀνελάβου ταύτηc ἅπαντα·
διὸ τὸ εἶδόc cου
τὸ τῆc ἐμφερείαc ἐγγράφοντεc
cχετικῶc ἀcπαζόμεθα,
πρὸc τὴc cὴν ἀγάπην ὑψούμενοι·
καὶ τῶν ἰαμάτων
τὴν χάριν ἀπαντλοῦμεν ἐξ αὐτοῦ,
τῶν ἀποcτόλων ἑπόμενοι
θείαιc παραδόcεcιν.

Ὑπέρτιμον κόcμηcιν
ἡ τοῦ Χριcτοῦ ἐκκληcία
τῶν cεπτῶν ἀπείληφε
καὶ ἁγίων εἰκόνων
τοῦ cωτῆροc Χριcτοῦ
καὶ τῆc θεομήτοροc | καὶ ἁγίων πάντων
φαιδροτάτην ἀναcτήλωcιν,
δι᾽ ἧc φαιδρύνεται
καὶ καταγλαΐζεται χάριτι
καὶ cτῖφοc ἀποβάλλεται
τῶν αἱρετικῶν ἐκδιώκουcα
καὶ ἀγαλλομένη
δοξάζει τὸν φιλάνθρωπον θεὸν
τὸν δι᾽ αὐτὴν ὑπομείναντα
πάθη τὰ ἑκούcια.

ϛ'. Cτιχ. προcόμ. εἰc τὴν τῶν Ἁγίων πάντων κυριακὴν (Πεντηκ. cελ. 210).

Οἱ πνευματορήτορεc,
οἱ μαθηταὶ τοῦ cωτῆροc,
τοῦ πνεύματοc ὄργανα
πίcτει χρηματίcαντεc,
διεcπάρηcαν
εἰc τὰ γῆc πέρατα, | τὸ cεπτὸν κήρυγμα
ὀρθοδόξωc καταcπείροντεc,
ἐξ ὧν ἐβλάcτηcαν
θείᾳ γεωργίᾳ καὶ χάριτι
μαρτύρων τὰ cτρατεύματα,
πάθοc τὸ cεπτὸν εἰκονίζοντεc
διὰ πολυτρόπων
cτρεβλώcεων, μαcτίγων καὶ πυρόc·
καὶ παρρηcίᾳ πρεcβεύουcιν
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Πυρὶ ἐκκαιόμενοι
τῆc τοῦ κυρίου ἀγάπηc
πυρὸc κατεφρόνηcαν
καὶ ὡc θεῖοι ἄνθρακεc
ἀναπτόμενοι
οἱ cεπτοὶ μάρτυρεc | ἐν Χριcτῷ ἔφλεξαν
φρυγανώδεc πλάνηc φρύαγμα,

θηρῶν δὲ ἔφραξαν
στόματα σοφαῖς ἐπικλήσεσι,
καὶ κάρας ἐκτεμνόμενοι
. ἔτεμον ἐχθροῦ πάσας φάλαγγας,
καὶ τοὺς τῶν αἱμάτων
προχέοντες κρουνοὺς καρτερικῶς
τὴν ἐκκλησίαν κατήρδευσαν,
πίστει ἀναθάλλουσαν.

Θηρσὶ προσπαλαίοντες,
τυμπανιζόμενοι ξίφει,
ὄνυξι ξεόμενοι,
χεῖρας ἀφαιρούμενοι
καὶ στρεβλούμενοι
οἱ στερροὶ μάρτυρες | καὶ πυρὶ ἐνύλῳ
ἀνενδότως φλογιζόμενοι
καὶ ἐκκεντούμενοι
καὶ τὰς ἁρμονίας τεμνόμενοι
ὑπέφερον στερρότατα
λῆξιν προορῶντες τὴν μέλλουσαν
καὶ τοὺς ἀκηράτους [στοῦ,
στεφάνους καὶ τὴν δόξαν τοῦ Χρι-
ῷ παρρησίᾳ πρεβεύουσιν
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἐν πᾶσι τοῖς πέρασι
τοὺς ἐναθλήσαντας πίστει
ἀποστόλους, μάρτυρας,
ἱερεῖς θεόφρονας,
σεμνὰ γύναια,
ἱερὸν ἄθροισμα | ἱεροῖς ᾄσμασι
κατὰ χρέος εὐφημήσωμεν,
ὅτι συνήφθησαν
τοῖς ἐπουρανίοις οἱ γήϊνοι
καὶ πάθει τὴν ἀπάθειαν
χάριτι Χριστοῦ ἐκομίσαντο·
καὶ νῦν ὡς ἀστέρες
στερροὶ περιαυγάζοντες ἡμᾶς
ἐν παρρησίᾳ πρεσβεύουσιν
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ζʹ. Στιχ. προσόμ. εἰς Ἀνδρόνικον καὶ τὴν συμβίαν αὐτοῦ (Ὀκτ. 9).

Ὅλην ἀποθέμενοι | βιωτικὴν τυραννίδα
καὶ πλοῦτον μισήσαντες
καὶ τρυφὴν τὴν ῥέουσαν
βδελυξάμενοι
τὸν σταυρὸν ἤρατε | ὡς ζυγὸν ἔνθεον,
καὶ Χριστῷ ἠκολουθήσατε
καὶ πρὸς οὐράνιον
χλόην θαυμαστῶς ἐσκηνώσατε·
ἐν οἷς συναγαλλόμενοι
μέμνησθε ἡμῶν τῶν ἐκ πίστεως
ὑμῶν μεμνημένων
καὶ πόθῳ ἐκτελούντων εὐλαβῶς
τὴν ἱερὰν καὶ σεβάσμιον
μνήμην ὑμῶν, ἅγιοι.

Ὅλως ἀγαπήσασα
σὲ ἐκ ψυχῆς τὸν δεσπότην
ὀπίσω συνέδραμε
δυὰς ἡ ἀοίδιμος | καὶ ὁμόζυγος,
καὶ τερπνὰ ἅπαντα | καὶ δεσμὸν ἄλυτον
ὡς ἱστὸν ἀράχνης ἔλυσε·
διὸ καὶ ἔτυχε
σοῦ τῆς βασιλείας, ἀθάνατε·
αὐτῶν οὖν ταῖς δεήσεσιν
ἱλασμόν, οἰκτίρμον, παράσχου μοι
τῶν πλημμελημάτων
καὶ δεῖξόν με ἀνώτερον παθῶν
τῶν ἐνοχλούντων μου, δέσποτα,
τὴν ψυχὴν ἑκάστοτε.

Παίδων ἐστερήθητε
τῆς ποθεινῆς ξυνωρίδος
προστάξει τῇ κρείττονι·
καὶ τῷ βίῳ μένοντες
ἀπαράκλητοι
τὴν φωνὴν ἤρατε | τὴν γενναιοτάτην
τοῦ Ἰὼβ καὶ ἀνεκράξατε·
κύριος ἔδωκε,
κύριος καὶ πάλιν ἀφείλετο·
διὸ καὶ τὸ ποθούμενον
ἔργον εὐχερῶς διηνύετε·
καὶ πρὸς ἐρημίας
καὶ τόπους τοὺς ἁγίους ἐν χαρᾷ
μεταναστεύοντες ὤφθητε,
ζεῦγος ἱερώτατον.

X

Cταυροθεοτοκίον αὐτόμελον (Τριῳδ. cελ. 88)
ἦχοc πλ. δ'.

Ὦ τοῦ παραδόξου θαύματοc!
ὢ μυcτηρίου καινοῦ!
ὢ φρικτῆc ἐγχειρήcεωc!
ἡ παρθένοc ἔλεγεν,
ἐν cταυρῷ cε ὡc ἔβλεψεν
ἐν μέcῳ δύο | ληcτῶν κρεμάμενον,
ὃν ἀνωδύνωc | φρικτῶc ἐκύηcεν·
ἔκλαιε λέγουcα!
οἴμοι! τέκνον φίλτατον
πῶc ὁ δεινὸc
δῆμοc καὶ ἀχάριcτοc
cταυρῷ προcήλωcε;

β'. Cτιχ. προcόμ. εἰc τὴν Ὕψωcιν τοῦ cταυροῦ
(Cεπτ. 14).

Ὦ τοῦ παραδόξου θαύματοc!
τὸ ζωηφόρον φυτὸν,
ὁ cταυρὸc ὁ πανάγιοc
εἰc ὕψοc αἰρόμενοc
ἐμφανίζεται cήμερον·
δοξολογοῦcι | πάντα τὰ πέρατα,
ἐκδειματοῦνται | δαίμονεc ἅπαντεc·
ὢ οἷον δώρημα | τοῖc βροτοῖc κεχάριcται!
δι' οὗ, Χριcτὲ,
cῶcον τὰc ψυχὰc ἡμῶν,
ὡc μόνοc εὔcπλαγχνοc.

Ὦ τοῦ παραδόξου θαύματοc!
ὡc βότρυν πλήρη ζωῆc
ὁ βαcτάcαc τὸν ὕψιcτον
ἀπὸ γῆc ὑψούμενοc
cταυρὸc ὁρᾶται cήμερον,
δι' οὗ πρὸc θεὸν
πάντεc εἱλκύcθημεν,
καὶ κατεπόθη | εἰc τέλοc θάνατοc·
ὢ ξύλον ἄχραντον,
ὑφ' οὗ ἀπολαύομεν
τῆc ἐν Ἐδὲμ
ἀθανάτου βρώcεωc,
Χριcτὸν δοξάζοντεc.

Ὦ τοῦ παραδόξου θαύματοc!
εὖροc καὶ μῆκοc cταυροῦ
οὐρανοῦ ἰcοcτάcιον,
ὅτι θείᾳ χάριτι
ἁγιάζει τὰ cύμπαντα·
ἐν τούτῳ ἔθνη | βάρβαρα ἥττηνται,
ἐν τούτῳ cκῆπτρα | ἀνάκτων ἥδραcται·
ὢ θείαc κλίμακοc, | δι' ἧc ἀνατρέχομεν
εἰc οὐρανοὺc,
ὑψοῦντεc ἐν ᾄcμαcι | Χριcτὸν τὸν κύριον.

γ'. Cτιχ. προcόμ. εἰc μνήμην τοῦ Δημητρίου
(Οκτ. 26).

Ὦ τοῦ παραδόξου θαύματοc!
ἐν οὐρανῷ καὶ ἐν γῇ
ἀγαλλίαμα cήμερον
ἐν τῇ μνήμῃ ηὔγαcται
Δημητρίου τοῦ μάρτυροc·
ἐκ τῶν ἀγγέλων | ἐπαίνοιc cτέφεται
καὶ ἐξ ἀνθρώπων | ᾄcματα δέχεται·
Ὦ οἷον ἤθληcε! | πῶc καλῶc ἠγώνιcται!
δι' οὗ ἐχθρὸc
πέπτωκεν ὁ δόλιοc | Χριcτοῦ νικήcαντοc.

Ὦ τοῦ παραδόξου θαύματοc!
ταῖc τῶν θαυμάτων βολαῖc
τοῦ ἡλίου φανώτερον
εἰc ἀεὶ Δημήτριοc
διαλάμπει τοῖc πέραcιν,
ἐξ ἀνεcπέρου | φωτὸc λαμπόμενοc
καὶ τῷ ἀδύτῳ | φωτὶ τερπόμενοc,
οὗ ταῖc ἐλλάμψεcι | νέφη ἀπηλάθηcαν
βαρβαρικὰ,
νόcοι ἐδιώχθηcαν, | δαίμονεc ἥττηνται.

Ὦ τοῦ παραδόξου θαύματοc!
ὑπὲρ Χριcτοῦ λογχευθεὶc
ὁ τριcμάκαρ Δημήτριοc
πρὸc ἐχθροὺc ἑκάcτοτε
ῥομφαία ὤφθη δίcτομοc,
ἀποθερίζων | ἐχθρῶν γαυρίαμα
καὶ καταράccων | δαιμόνων φρύαγμα·

ᾧ ἐκβοήcωμεν, | ἅγιε Δημήτριε,
cκέπε ἡμᾶc,
cοῦ τὴν ἀειcέβαcτον
μνήμην γεραίρονταc.

Πύργοc εὐcεβείαc πέφηναc
ἐρηρειcμένοc cτερρῶc
ἐπὶ πέτραν τῆc πίcτεωc,
πειραcμοῖc ἀνάλωτοc
καὶ κινδύνοιc ἀκλόνητοc·
μετὰ cφοδροῦ γὰρ
cάλου καὶ κλύδωνοc
cοὶ προcραγέντα | ἀθέων κύματα
cὴν οὐ κατέβαλον | ἀκλινῆ cτερρότητα·
μαρτυρικῷ
cτέφει γὰρ ἐπόθηcαc | ἐγκαλλωπίζεcθαι.

Πάθει τὸ πάθοc μιμούμενοc
τὸ ζωηφόρον Χριcτοῦ,
παρ' αὐτοῦ τὴν ἐνέργειαν
τῶν θαυμάτων εἴληφαc,
ἀθλοφόρε Δημήτριε·
καὶ διαcώζειc | τοὺc cοὶ προcτρέ-
χονταc,
πολλῶν κινδύνων | αὐτοὺc ῥυόμενοc,
ἔχων εὐάρεcτον | παρρηcίαν, ἔνδοξε,
πρὸc τὸν Χριcτόν·
ᾧ καὶ νῦν παρίcταcαι
δόξηc πληρούμενοc.

Αἵματι τῷ cῷ cταζόμενοc
τῷ ζωοδότῃ Χριcτῷ
τῷ τὸ αἷμα τὸ τίμιον
διὰ cὲ κενώcαντι
προcηνέχθηc, Δημήτριε·
καὶ κοινωνόν cε | δόξηc εἰργάcατο
καὶ βαcιλείαc | αὐτοῦ cυμμέτοχον,
ὡc ἀριcτεύcαντα | κατὰ τοῦ ἀλάcτοροc
καὶ τὰ δεινὰ
τούτου μηχανήματα
τελείωc cβέcαντα.

δ'. Cτιχ. προcόμ. εἰc τὸν ἀπόcτολον Φίλιππον
(Νοεμ. 14).

Ὢ τοῦ παραδόξου θαύματοc!
ὁ τοὺc ἰχθύαc ποτὲ
cαγηνεύων ἀπόcτολοc
τῶν ἀνθρώπων γέγονεν
ἁλιεὺc θεοπρόβλητοc·
λόγων cαγήνῃ | ἔθνη ἐζώγρηcε,
cταυροῦ ἀγκίcτρῳ
κόcμον ἀνείλκυcεν·
ὢ οἷον θήραμα | τῷ Χριcτῷ προcήγαγεν
ὁ θεουργόc!
οὗπερ τὸ μνημόcυνον
νῦν ἑορτάζομεν.

Ὢ τοῦ παραδόξου θαύματοc!
ἀποcταλεὶc ἐκ θεοῦ
ὁ ἀπόcτολοc Φίλιπποc
μέcον λύκων πρόβατον
ἀπτοήτωc νῦν πρόειcι·
τοὺc θῆραc ἄρναc
πίcτει ἀνέδειξε,
τὸν κόcμον θείωc | μετεcτοιχείωcεν·
ὢ ἔργα πίcτεωc!
ὢ δυνάμειc ἄρρητοι!
οὗ ταῖc εὐχαῖc
cῶcον τὰc ψυχὰc ἡμῶν
ὡc μόνοc εὔcπλαγχνοc.

Ὢ τοῦ παραδόξου θαύματοc!
φρέαρ πηγάζον ζωὴν
ἐν cοφίαc ἀντλήματι
τοῖc ἐν κόcμῳ πέφηνεν
ὁ ἀπόcτολοc Φίλιπποc,
ἀφ' οὗπερ ῥεῖθρα
δογμάτων πρόειcιν,
ἐξ οὗ θαυμάτων | ῥεύματα πίνομεν·
ὢ οἷα δέδρακε | φοβερὰ τεράcτια
ὁ θεουργόc!
οὗπερ τὸ μνημόcυνον
πίcτει γεραίρομεν.

—

X. γ' v. 25 tres posteriores strophae deerant in Bartholemaei codice, easque ab alio poeta adiectas esse ipsa primi versus discrepantia arguit

XI

ΘΕΟΔΩΡΟΥ

Στιχηρὰ προσόμοια νεκρώσιμα (Τριῳδ. σελ. 286).

Πρὸς τὸ «Τοῦ κήτους τὸν προφήτην.»

Τὴν μνήμην ἐκτελοῦντες τῶν μαρτύρων
κυρίῳ ἀναπέμψωμεν τοὺς ὕμνους
σήμερον | ἐνθέως εὐφραινόμενοι.

Τὰ ξίφη καὶ τὸ πῦρ μὴ πτοηθέντες
θαρροῦντες ἐν τῇ πίστει ἀθλοφόροι
τυράννους | ἐν τούτῳ κατεπλήξατε.

Θανάτῳ τὴν ζωὴν ἀντιλαβόντες
σκιρτᾶτε τὰ οὐράνια οἰκοῦντες
ἀθλοφόροι | ἔνδοξοι Χριστοῦ τοῦ θεοῦ.

Θανάτου καὶ ζωῆς ὁ κυριεύων
τοὺς πίστει μεταστάντας ἐκ τοῦ βίου,
Χριστέ, | σὺν ἁγίοις σου ἀνάπαυσον.

XII

ΑΝΔΡΕΟΥ ΠΥΡΡΟΥ

Αὐτόμελον καὶ προσόμοια εἰς τοὺς ἀποστόλους Πέτρον καὶ Παῦλον (Ἰουν. 29).

Ποίοις | εὐφημιῶν στέμμασιν
ἀναδήσωμεν Πέτρον καὶ Παῦλον;
τοὺς διῃρημένους τοῖς σώμασι
καὶ ἡνωμένους τῷ πνεύματι,
τοὺς θεοκηρύκων πρωτοστάτας·
τὸν μὲν | ὡς τῶν ἀποστόλων προεξάρχοντα,
τὸν δὲ | ὡς ὑπὲρ τοὺς ἄλλους κοπιάσαντα·
τούτους γὰρ ὄντως ἀξίους
ἀθανάτου δόξης
διαδήμασι στεφανοῖ
Χριστὸς ὁ θεὸς ἡμῶν,
ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις | ὑμνῳδιῶν ἄνθεσιν
καταστέψωμεν Πέτρον καὶ Παῦλον;
τῆς θεολογίας τὰς πτέρυγας
τὰς διαπτάσας τὰ πέρατα
καὶ πρὸς οὐρανὸν ἀνυψωθείσας,
τὰς χεῖρας | εὐαγγελίου τοῦ τῆς χάριτος,
τοὺς πόδας | τῆς ἀληθείας τοῦ κηρύγματος,
τοὺς ποταμοὺς τῆς σοφίας,
τοῦ σταυροῦ τὰ κέρα·
δι' ὧν τὴν δαιμόνων ὀφρὺν
Χριστὸς καταβέβληκεν
ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις | πνευματικοῖς ᾄσμασιν
ἐπαινέσωμεν Πέτρον καὶ Παῦλον;
τὰ τὴν ἀθεότητα σφάττοντα
μὴ ἀμβλυνόμενα στόματα
τῆς φρικτῆς τοῦ πνεύματος μαχαίρας,
τὰ Ῥώμης | περιφανῆ ἐγκαλλωπίσματα,
τὰ πάσης | τῆς οἰκουμένης ἐντρυφήματα,
τὰς τῆς καινῆς διαθήκης
θεογράφους πλάκας,
νοουμένας ἃς ἐν Σιὼν
Χριστὸς ἐξεφώνησεν
ὁ ἔχων τὸ μέγα ἔλεος.

XII. Nomen auctoris, omissum in EF, scriptum est in sticherario mosquensi, quo usus est in hoc carmine recognoscendo Pitra Hymnographie p. LXI — 3 το σώματι F — 4 τῇ χάριτι E — 5 τῶν θεοκ. F — 8 ὄντως Pitrae cod. mosqu.: μόνους EF — ἀξίους Pitrae cod. mosqu.: ἀξίως EF — 12 ἐγκυιμίων F — ἄνθεσι E: κάλλεσιν F Barth. Pitra — 13 ἀνυμνήσωμεν F Barth. Pitra — 14 θεογνωσίας F Barth. Pitra — 20 κέρα nos: κέρατα EF vulgo — 21 δι' οὗ F — τὴν om. EF — 26 μὴ Pitra de coni.: καὶ μὴ E et Pitrae codd. τὰ μὴ F

XIII

'Απόcτιχα προcόμοια (Τριῳδ. cελ. 201)

ἦχος β'.

Λυθέντες τῶν δεcμῶν
τῆc πάλαι καταδίκηc,
πιcτοὶ cταυροῦ τῷ ξύλῳ,
τὸν ἐν αὐτῷ παγέντα
Χριcτὸν δοξολογήcωμεν.

Ἄγε νῦν cὺν ἡμῖν,
Δαυὶδ, τὴν λύραν κίνει,
Χριcτὸν ὑψοῦτε, ψάλλων,
πιcτοὶ καὶ προcκυνεῖτε
αὐτοῦ τὸ ὑποπόδιον.

'Οψώμεθα λαοὶ
προκείμενον τὸ ξύλον,
δι' οὗ τὴν cωτηρίαν
ἡμῖν Χριcτὸc βραβεύει,
καὶ πίcτει ἀcπαcώμεθα.

Σταυροθεοτοκίον.

Ὑψούμενον cταυρῷ
ὑπὲρ βροτῶν ὁρῶcα
τὸν cὸν υἱὸν, παρθένε,
ἐβόαc θρηνῳδοῦcα·
δόξα τῇ εὐcπλαγχνίᾳ cου.

XIV

ΜΕΓΑΛΥΝΑΡΙΑ

εἰc τὴν Ὑπαπαντὴν τοῦ Χριcτοῦ (Φεβρ. 2)

ἦχος γ'.

'Ακατάληπτόν ἐcτι | τὸ τελούμενον ἐν cοὶ
καὶ ἀγγέλοιc καὶ βροτοῖc, | μητροπάρθενε ἁγνή.
'Αγκαλίζεται χερcὶν | ὁ πρεcβύτηc Cυμεὼν
τὸν τοῦ νόμου ποιητὴν | καὶ δεcπότην τοῦ παντόc.
Βουληθεὶc ὁ πλαcτουργὸc, | ἵνα cώcῃ τὸν 'Αδὰμ,
μήτραν ᾤκηcε τὴν cὴν | τῆc παρθένου καὶ ἁγνῆc.
Γένοc ἅπαν τῶν βροτῶν | μακαρίζει cε, ἁγνὴ,
καὶ δοξάζει cε πιcτῶc | ὡc μητέρα τοῦ θεοῦ.
Δεῦτε ἴδετε Χριcτὸν | τὸν δεcπότην τοῦ παντὸc,
ὃν βαcτάζει Cυμεὼν | cήμερον ἐν τῷ ναῷ.
'Επιβλέπειc πρὸc τὴν γῆν | καὶ ποιεῖc τρέμειν αὐτήν·
καὶ πῶc γέρων κεκμηκὼc | cὲ κατέχει ἐν χερcί;
Ζήcαc ἔτη Cυμεὼν, | ἕωc εἶδε τὸν Χριcτόν,
καὶ ἐβόα πρὸc αὐτόν· | νῦν ἀπόλυcιν ζητῶ·
Ἡ λαβὶc ἡ μυcτικὴ, | ἡ τὸν ἄνθρακα Χριcτὸν
cυλλαβοῦcα ἐν γαcτρὶ, | cὺ ὑπάρχειc Μαριάμ.
Θέλων ἐνηνθρώπιcαc | ὁ προάναρχοc θεὸc
καὶ ναῷ προcφέρεcαι | τεccαρακονθήμεροc.
Κατελθόντ' ἐξ οὐρανοῦ | τὸν δεcπότην τοῦ παντὸc
ὑπεδέξατο αὐτὸν | Cυμεὼν ὁ ἱερεύc.

XIV. 19 ante hunc versum duos excidisse acrostichis hoc loco interrupta arguit; cod. J totum hoc carmen deerat

Λάμπρυνόν μου τὴν ψυχὴν | καὶ τὸ φῶς τὸ αἰσθητόν,
ὅπως ἴδω καθαρῶς | καὶ κηρύξω σε θεόν.
Μητροπάρθενε ἁγνή, | τί προσφέρεις τῷ ναῷ
νέον βρέφος ἀποδοῦσ' | ἐν ἀγκάλαις Συμεών;
Νῦν ἀπόλυσιν ζητῶ | ἀπὸ σοῦ τοῦ πλαστουργοῦ,
ὅτι εἶδόν σε, Χριστέ, | τὸ σωτήριόν μου φῶς.
Ὃν οἱ ἄνω λειτουργοὶ | τρόμῳ λιτανεύουσι,
κάτω νῦν ὁ Συμεὼν | ἀγκαλίζεται χερσί.

Ἡ τῇ φύσει μὲν μονάς, | τοῖς προσώποις δὲ τριὰς
φύλαττε τοὺς δούλους σου, | τοὺς πιστεύοντας εἰς σέ.
Θεοτόκε ἡ ἐλπὶς | πάντων τῶν Χριστιανῶν,
σκέπε, φρούρει, φύλαττε | τοὺς ἐλπίζοντας εἰς σέ.

XV

ΜΕΓΑΛΥΝΑΡΙΑ

εἰς τὴν ἑορτὴν τῶν Χριστουγέννων (Δεκ. 25)

ἦχος α΄.

Μεγάλυνον, ψυχή μου, | τὴν τιμιωτέραν
καὶ ἐνδοξοτέραν | τῶν ἄνω στρατευμάτων.
Μεγάλυνον, ψυχή μου, | τὸν ἐκ τῆς παρθένου
θεὸν σαρκὶ τεχθέντα.
Μεγάλυνον, ψυχή μου, | τὸν ἐν τῷ σπηλαίῳ
τεχθέντα βασιλέα.
Μεγάλυνον, ψυχή μου, | τὸν ὑπὸ τῶν μάγων
θεὸν προσκυνηθέντα.
Μεγάλυνον, ψυχή μου, | τὸν ὑπὸ ἀστέρος
τοῖς μάγοις μηνυθέντα.
Μεγάλυνον, ψυχή μου, | τὴν ἁγνὴν παρθένον
τὴν γεννησαμένην | Χριστὸν τὸν βασιλέα.
Μάγοι καὶ ποιμένες | ἦλθον προσκυνῆσαι
Χριστὸν τὸν γεννηθέντα | ἐν Βηθλεὲμ τῇ πόλει.

Σήμερον ἡ παρθένος | τίκτει τὸν δεσπότην
ἔνδον ἐν τῷ σπηλαίῳ.
Σήμερον ὁ δεσπότης | τίκτεται ὡς βρέφος
ὑπὸ μητρὸς παρθένου.
Σήμερον οἱ ποιμένες | βλέπουσι τὸν σωτῆρα
σπαργάνοις εἰλημένον | καὶ κείμενον ἐν φάτνῃ.
Σήμερον ὁ δεσπότης | ῥάκει σπαργανοῦται
ὁ ἀναφὴς ὡς βρέφος.
Σήμερον πᾶσα κτίσις | ἀγάλλεται καὶ χαίρει,
ὅτι Χριστὸς ἐτέχθη | ἐκ τῆς παρθένου κόρης.

Οὐράνιαι δυνάμεις | τεχθέντα τὸν σωτῆρα,
κύριον καὶ δεσπότην | μηνύουσι τῷ κόσμῳ.

Μεγάλυνον, ψυχή μου, | τῆς τρισυποστάτου
καὶ ἀδιαιρέτου | θεότητος τὸ κράτος.
Μεγάλυνον, ψυχή μου, | τὴν λυτρωσαμένην
ἡμᾶς ἐκ τῆς κατάρας.

ΑΠΟΛΥΤΙΚΙΑ ΚΑΙ ΚΟΝΤΑΚΙΑ.

I

ΑΠΟΛΥΤΙΚΙΑ

ἀναστάσιμα τῆς Ὀκτωήχου.

α'. ἦχος α'.

Τοῦ λίθου σφραγισθέντος
ὑπὸ τῶν Ἰουδαίων
καὶ στρατιωτῶν φυλασσόντων
τὸ ἄχραντόν σου σῶμα
ἀνέστης τριήμερος, σωτήρ,
δωρούμενος τῷ κόσμῳ τὴν ζωήν·
διὰ τοῦτο αἱ δυνάμεις τῶν οὐρανῶν
ἐβόων σοι, ζωοδότα·
δόξα τῇ ἀναστάσει σου, Χριστέ·
δόξα τῇ βασιλείᾳ σου·
δόξα τῇ οἰκονομίᾳ σου,
μόνε φιλάνθρωπε.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι,
παρθένε, τὸ χαῖρε,
σὺν τῇ φωνῇ ἐσαρκοῦτο
ὁ τῶν ὅλων δεσπότης
ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ,
ὡς ἔφη ὁ δίκαιος Δαυΐδ·
ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν,
βαστάσασα τὴν κτίστην σου·
δόξα τῷ ἐνοικήσαντι ἐν σοί·
δόξα τῷ προελθόντι ἐκ σοῦ·
δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς
διὰ τοῦ τόκου σου.

β'. ἦχος β'.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον | ἡ ζωὴ ἡ ἀθάνατος,
τότε τὸν ᾅδην ἐνέκρωσας | τῇ ἀστραπῇ τῆς θεότητος·
ὅτε δὲ καὶ τοὺς τεθνεῶτας | ἐκ τῶν καταχθονίων ἀνέστησας,
πᾶσαι αἱ δυνάμεις | τῶν ἐπουρανίων ἐκραύγαζον·
ζωοδότα Χριστὲ ὁ θεὸς ἡμῶν, δόξα σοι·

Πάντα ὑπὲρ ἔννοιαν, | πάντα ὑπερένδοξα,
τὰ σά, θεοτόκε, μυστήρια·
τῇ ἁγνείᾳ ἐσφραγισμένη | καὶ παρθενίᾳ φυλαττομένη
μήτηρ ἐγνώσθης ἀψευδής, | θεὸν τεκοῦσα ἀληθινόν·
αὐτὸν ἱκέτευε | σωθῆναι τὰς ψυχὰς ἡμῶν.

β' v. 3 καὶ om. D — 4 αἱ τῶν D — 5 ἡμῶν om. D

γ' ἦχος γ'.

Εὐφραινέcθω τὰ οὐράνια, | ἀγαλλιάcθω τὰ ἐπίγεια,
ὅτι ἐποίηcε κράτοc | ἐν βραχίονι αὐτοῦ·
ὁ κύριοc ἐπάτηcε | τῷ θανάτῳ τὸν θάνατον·
πρωτότοκοc τῶν νεκρῶν ἐγένετο,
ἐκ κοιλίαc ᾅδου | ἐρρύcατο ἡμᾶc
καὶ παρέcχε τῷ κόcμῳ τὸ μέγα ἔλεοc.

Cὲ τὴν μεcιτεύcαcαν, | τὴν cωτηρίαν τοῦ γένουc ἡμῶν
ἀνυμνοῦμεν, θεοτόκε παρθένε·
ἐν τῇ cαρκὶ γὰρ τῇ ἐκ coῦ προcληφθείcῃ
ὁ υἱόc cου καὶ θεὸc ἡμῶν
τὸ διὰ cταυροῦ καταδεξάμενοc πάθοc
ἐλυτρώcατο ἡμᾶc ἐκ φθορᾶc ὡc φιλάνθρωποc.

δ' ἦχος δ'.

Τὸ φαιδρὸν τῆc ἀναcτάcεωc κήρυγμα
ἐκ τοῦ ἀγγέλου μαθοῦcαι | αἱ τοῦ κυρίου μαθήτριαι
καὶ τὴν προγονικὴν ἀπόφαcιν ἀπορρίψαcαι
τοῖc ἀποcτόλοιc καυχώμεναι ἔλεγον·
ἐcκύλευται ὁ θάνατοc, | ἠγέρθη Χριcτὸc ὁ θεόc,
δωρούμενοc τῷ κόcμῳ τὸ μέγα ἔλεοc.

Τὸ ἀπ' αἰῶνοc ἀπόκρυφον | καὶ ἀγγέλοιc ἄγνωcτον μυcτήριον
διὰ coῦ, θεοτόκε, | τοῖc ἐπὶ γῆc πεφανέρωται,
θεὸc ἐν ἀcυγχύτῳ ἑνώcει cαρκούμενοc
καὶ cταυρὸν ἑκουcίωc | ὑπὲρ ἡμῶν καταδεξάμενοc,
δι' οὗ ἀναcτήcαc τὸν πρωτόπλαcτον
ἔcωcεν ἐκ θανάτου τὰc ψυχὰc ἡμῶν.

ε' ἦχος πλ. α'.

Τὸν cυνάναρχον λόγον | πατρὶ καὶ πνεύματι,
τὸν ἐκ παρθένου τεχθέντα | εἰc cωτηρίαν ἡμῶν
ἀνυμνήcωμεν πιcτοὶ | καὶ προcκυνήcωμεν,
ὅτι ηὐδόκηcε cαρκὶ | ἀνελθεῖν ἐν τῷ cταυρῷ
καὶ θάνατον ὑπομεῖναι
καὶ ἐγεῖραι τοὺc τεθνεῶταc | ἐν τῇ ἐνδόξῳ ἀναcτάcει αὐτοῦ.

Χαῖρε, πύλη κυρίου | ἡ ἀδιόδευτοc·
χαῖρε, τεῖχοc καὶ cκέπη | τῶν προcτρεχόντων εἰc cέ·
χαῖρε, ἀχείμαcτε λιμὴν | καὶ ἀπειρόγαμε,
ἡ τεκοῦcα ἐν cαρκὶ | τὸν ποιητήν cου καὶ θεόν,
πρεcβεύουcα μὴ ἐλλίπῃc
ὑπὲρ τῶν ἀνυμνούντων καὶ προcκυνούντων τὸν τόκον cου.

ε' v. 11 μὴ παρίδῃc D

ϛ′ ἦχος βαρύς.

Κατέλυσας τῷ σταυρῷ σου τὸν θάνατον,
ἠνέῳξας τῷ ληστῇ τὸν παράδεισον,
τῶν μυροφόρων τὸν θρῆνον μετέβαλες,
καὶ τοῖς ἀποστόλοις κηρύττειν ἐπέταξας,
ὅτι ἀνέστης, Χριστὲ ὁ θεός,
παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Ὡς τῆς ἡμῶν ἀναστάσεως θησαύρισμα
τοὺς ἐπὶ σοὶ πεποιθότας, πανύμνητε,
ἐκ λάκκου καὶ βυθοῦ πταισμάτων ἀνάγαγε·
σὺ γὰρ τοὺς ὑπευθύνους τῇ ἁμαρτίᾳ ἔσωσας
τεκοῦσα τὴν σωτηρίαν ἡμῶν·
ἡ πρὸ τόκου παρθένος | καὶ ἐν τόκῳ παρθένος
καὶ μετὰ τόκον πάλιν μένεις παρθένος.

ζ′ ἦχος πλ. δ′.

Ἐξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος,
ταφὴν κατεδέξω τριήμερον,
ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν·
ἡ ζωὴ καὶ ἡ ἀνάστασις ἡμῶν, | κύριε, δόξα σοι.

Ὁ δι' ἡμᾶς γεννηθεὶς | ἐκ παρθένου καὶ σταύρωσιν
ὑπομείνας, ἀγαθέ,
ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας
καὶ ἔγερσιν δείξας ὡς θεός
μὴ παρίδῃς, οὓς ἔπλασας τῇ χειρί σου·
δεῖξον τὴν φιλανθρωπίαν σου, ἐλεῆμον,
δέξαι τὴν τεκοῦσάν σε θεοτόκον
πρεσβεύουσαν ὑπὲρ ἡμῶν
καὶ σῶσον, σωτὴρ ἡμῶν, | λαὸν ἀπεγνωσμένον.

II

η′. Ἀπολυτίκιον εἰς τὴν μεγάλην Παρασκευήν (Τριῳδ. σελ. 398)

ἦχος β′.

Ὁ εὐσχήμων Ἰωσήφ,
ἀπὸ τοῦ ξύλου καθελὼν
τὸ ἄχραντόν σου σῶμα,
σινδόνι καθαρᾷ | εἰλήσας καὶ ἀρώμασιν
ἐν μνήματι καινῷ | κηδεύσας ἀπέθετο.

θ′. Ἀπολυτίκιον εἰς τοὺς ἀποστόλους Πέτρον καὶ Παῦλον (Ἰουν. 29)

ἦχος δ′.

Οἱ τῶν ἀποστόλων πρωτόθρονοι
καὶ τῆς οἰκουμένης διδάσκαλοι
τῷ δεσπότῃ τῶν ὅλων πρεσβεύσατε,
εἰρήνην τῇ οἰκουμένῃ δωρήσασθαι
καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

ϛ′ v. 4 τοῖς σοῖς Oct. — ὑπέταξας D — 11 ἡμῶν om. Oct. — ζ′ v. 4 κύριε om. D

ι' Ἀπολυτίκιον εἰς τὸ Γενέθλιον τῆς θεοτόκου (Σεπτ. 8)

ἦχος δ'.

Ἡ γέννησίς σου, θεοτόκε, | χαρὰν ἐμήνυσε
πάσῃ τῇ οἰκουμένῃ·
ἐκ σοῦ γὰρ ἀνέτειλεν | ὁ ἥλιος τῆς δικαιοσύνης,
Χριστὸς ὁ θεὸς ἡμῶν·
καὶ λύσας τὴν κατάραν | ἔδωκε τὴν εὐλογίαν,
καὶ καταργήσας τὸν θάνατον
ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.

ια' Ἀπολυτίκιον εἰς τὸν Εὐαγγελισμὸν τῆς θεοτόκου.

ἦχος δ'.

Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον
καὶ τοῦ ἀπ' αἰῶνος μυστηρίου ἡ φανέρωσις·
ὁ υἱὸς τοῦ θεοῦ υἱὸς τῆς παρθένου γίνεται
καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται·
διὸ σὺν αὐτῷ τῇ θεοτόκῳ βοήσωμεν·
χαῖρε, κεχαριτωμένη· ὁ κύριος μετὰ σοῦ.

ιβ' Ἀπολυτίκιον εἰς τὸν ἅγιον Νικόλαον (Δεκ. 6)

ἦχος δ'.

Κανόνα πίστεως | καὶ εἰκόνα πραότητος,
ἐγκρατείας διδάσκαλον | ἀνέδειξέ σε τῇ ποίμνῃ σου
ἡ τῶν πραγμάτων ἀλήθεια·
διὰ τοῦτο ἐκτήσω | τῇ ταπεινώσει τὰ ὑψηλά,
τῇ πτωχείᾳ τὰ πλούσια·
πάτερ ἱεράρχα Νικόλαε,
πρέσβευε Χριστῷ τῷ θεῷ
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ιγ' Ἀπολυτίκιον εἰς τὸν ἅγιον Γεώργιον (Ἀπριλ. 23)

ἦχος δ'.

Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτὴς
καὶ τῶν πτωχῶν ὑπερασπιστής,
ἀσθενούντων ἰατρός, | βασιλέων ὑπέρμαχος,
τροπαιοφόρε μεγαλομάρτυς Γεώργιε,
πρέσβευε Χριστῷ τῷ θεῷ
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ιδ' Ἀπολυτίκιον εἰς Γρηγόριον τὸν θεολόγον (Ἰαν. 25)

ἦχος α'.

Ὁ ποιμενικὸς αὐλὸς τῆς θεολογίας σου
τὰς τῶν ῥητόρων ἐνίκησε σάλπιγγας·

ὡς γὰρ τὰ βάθη τοῦ πνεύματος ἐκζητήσαντι
καὶ τὰ κάλλη τοῦ φθέγματος προσετέθη σοι·
ἀλλὰ πρέσβευε Χριστῷ τῷ θεῷ, πάτερ Γρηγόριε,
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ιε′ Ἀπολυτίκιον τῆς Ἀναλήψεως (Πεντηκ. σελ. 150)

ἦχος πλ. β′.

Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ θεὸς ἡμῶν,
χαροποιήσας τοὺς μαθητὰς
τῇ ἐπαγγελίᾳ τοῦ ἁγίου πνεύματος,
βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας,
ὅτι σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ, | ὁ λυτρωτὴς τοῦ κόσμου.

ιθ′ Τροπάριον ἀναστάσιμον τοῦ Πάσχα (Πεντηκ. σελ. 1)

ἦχος πλ. α′.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν
θανάτῳ θάνατον πατήσας
καὶ τοῖς ἐν τοῖς μνήμασι
ζωὴν χαρισάμενος.

κα′ Σταυροθεοτοκίον

ἦχος δ′.

Σφαγήν σου τὴν ἄδικον, Χριστέ,
ἡ παρθένος βλέπουσα
ὀδυρομένη ἐβόα σοι·
τέκνον γλυκύτατον,
πῶς ἀδίκως πάσχεις;
πῶς τῷ ξύλῳ κρέμασαι
ὁ πᾶσαν γῆν κρεμάσας τοῖς ὕδασι;
μὴ λίπῃς μόνην με,
εὐεργέτα πολυέλεε,
τὴν μητέρα | καὶ δούλην σου, δέομαι.

ιϛ′ Κοντάκιον (Τριῳδ. σελ. 207)

ἦχος πλ. β′.

Ψυχή μου, ψυχή μου, | ἀνάστα, τί καθεύδεις;
τὸ τέλος ἐγγίζει | καὶ μέλλεις θορυβεῖσθαι·
ἀνάνηψον οὖν, | ἵνα φείσηταί σου Χριστὸς ὁ θεὸς
ὁ πανταχοῦ παρὼν | καὶ τὰ πάντα πληρῶν.

ιζ′ Κοντάκιον εἰς τὴν τοῦ Πάσχα κυριακὴν (Πεντηκ. σελ. 3)

ἦχος πλ. α′.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες, ἀθάνατε,
ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν
καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ θεός,
γυναιξὶ μυροφόροις | φθεγξάμενος· χαίρετε·
καὶ τοῖς σοῖς ἀποστόλοις | εἰρήνην δωρούμενος
ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

ΡΩΜΑΝΟΥ

ιη' κοντάκιον εἰς τὴν Χριστοῦ γέννησιν (Δεκ. 25)

ἦχος γ'.

Ἡ παρθένος σήμερον
τὸν ὑπερούσιον τίκτει,
καὶ ἡ γῆ τὸ σπήλαιον
τῷ ἀπροσίτῳ προσάγει·
ἄγγελοι μετὰ ποιμένων
δοξολογοῦσι·
μάγοι δὲ μετὰ ἀστέρος
ὁδοιποροῦσι·
δι' ἡμᾶς γὰρ ἐγεννήθη
παιδίον νέον, | ὁ πρὸ αἰώνων θεός.

ΙΔΙΟΜΕΛΑ ΑΔΕϹΠΟΤΑ.

α' Ἰδιόμελα εἰς τὴν μεγάλην Τρίτην (Τριῳδ. σελ. 353)

ἦχος α'.

Ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου
πῶς εἰσελεύσομαι ὁ ἀνάξιος;
ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν νυμφῶνα,
ὁ χιτών με ἐλέγχει, | ὅτι οὐκ ἔστι τοῦ γάμου,
καὶ δέσμιος ἐκβάλλομαι ὑπὸ τῶν ἀγγέλων·
καθάρισον, κύριε, τὸν ῥύπον τῆς ψυχῆς μου
καὶ σῶσόν με ὡς φιλάνθρωπος.

ἦχος β'.

Ὁ τῇ ψυχῆς ῥᾳθυμίᾳ νυστάξας
οὐ κέκτημαι, νυμφίε Χριστέ,
καιομένην λαμπάδα τὴν ἐξ ἀρετῶν,
καὶ νεάνισιν ὁμοιώθην μωραῖς,
ἐν καιρῷ τῆς ἐργασίας ῥεμβόμενος·
τὰ σπλάγχνα τῶν οἰκτιρμῶν σου
μὴ κλείσῃς μοι, δέσποτα·
ἀλλ' ἐκτινάξας μου τὸν ζοφερὸν
ὕπνον ἐξανάστησον
καὶ ταῖς φρονίμοις συνεισάγαγε παρ-
θένοις
εἰς νυμφῶνα τὸν σόν,
ὅπου ἦχος καθαρὸς ἑορταζόντων
καὶ βοώντων ἀπαύστως· κύριε, δόξα σοι.

β' Ἰδιόμελον εἰς τὰς Ὥρας τῆς μεγάλης Παρασκευῆς (Τριῳδ. σελ. 393)

ἦχος πλ. β'.

Σήμερον κρέμαται ἐπὶ ξύλου
ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας·
στέφανον ἐξ ἀκανθῶν
περιτίθεται ὁ τῶν ἀγγέλων βασι-
λεύς·
ψευδῆ πορφύραν περιβάλλεται
ὁ περιβάλλων τὸν οὐρανὸν ἐν
νεφέλαις·
ῥάπισμα κατεδέξατο
ὁ ἐν Ἰορδάνῃ ἐλευθερώσας τὸν
[Ἀδάμ·
ἥλοις προσηλώθη
ὁ νυμφίος τῆς ἐκκλησίας·
λόγχῃ ἐκεντήθη | ὁ υἱὸς τῆς παρθένου·
προσκυνοῦμέν σου τὰ πάθη, Χριστέ,
δεῖξον ἡμῖν
καὶ τὴν ἔνδοξόν σου ἀνάστασιν.

ιη. Hoc contakion magni poematis partem fuisse testatur Pitra L'hymnogr. p. 47
α' v. 5 ἐκβάλλομαι E: ἐκβαλοῦμαι Triod. — β'. Sophronio hoc idiomelon adsignat H — πορφύρα U — 9 προσηλοῦται H

γ'. Ἰδιόμελα τοῦ μεγάλου Σαββάτου
(Τριῳδ. cελ. 411)

ἦχος β'.

Cήμερον cυνέχει τάφος
τὸν cυνέχοντα παλάμῃ τὴν κτίcιν·
καλύπτει λίθος
τὸν καλύψαντα ἀρετῇ τοὺς οὐρανούς·
ὑπνοῖ ἡ Ζωὴ | καὶ Ἅιδης τρέμει
καὶ Ἀδὰμ τῶν δεcμῶν ἀπολύεται·
δόξα τῇ cῇ οἰκονομίᾳ,
δι' ἧc τελέcας πάντα cαββατιcμὸν αἰώ-
ἐδωρήcω ἡμῖν ὡς θεός, [νιον
τὴν παναγίαν ἐκ νεκρῶν cου ἀνά-
cταcιν.

ἦχος β'.

Τί τὸ ὁρώμενον θέαμα;
τίς ἡ παροῦcα κατάπαυcις;
ὁ βαcιλεὺς τῶν αἰώνων,
τὴν διὰ πάθους τελέcας οἰκονομίαν,
ἐν τάφῳ cαββατίζει,
καινὸν ἡμῖν παρέχων cαββατιcμόν·
αὐτῷ βοήcωμεν·
ἀνάcτα ὁ θεὸς κρίνων τὴν γῆν,
ὅτι cὺ βαcιλεύεις εἰς τοὺς αἰῶνας,
ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος.

ἦχος β'.

Δεῦτε, ἴδωμεν | τὴν Ζωὴν τῶν ἁπάντων
ἐν τάφῳ κειμένην,
ἵνα τοὺς ἐν τάφῳ κειμένους ζωοποι-
δεῦτε cήμερον [ήcῃ·
τὸν ἐξ Ἰούδα ὑπνοῦντα θεώμενοι
προφητικῶς αὐτῷ ἐκβοήcωμεν·
ἀναπεcὼν κεκοίμηcαι ὡς λέων·
τίς ἐγερεῖ cε, βαcιλεῦ;
ἀλλ' ἀνάcτηθι, cωτήρ, αὐτεξουcίως
ὁ δοὺς ἑαυτὸν | ὑπὲρ ἡμῶν ἑκου-
cίως· κύριε, δόξα cοι.

ἦχος πλ. β'.

Ἠιτήcατο Ἰωcὴφ | τὸ cῶμα τοῦ Ἰηcοῦ
καὶ ἀπέθετο ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ·
ἔδει γὰρ αὐτὸν ἐκ τάφου | ὡς ἐκ παcτάδος προελθεῖν·
ὁ cυντρίψας κράτος θανάτου
καὶ ἀνοίξας πύλας παραδείcου ἀνθρώποις, δόξα cοι.

ἦχος πλ. β'.

Τὴν cήμερον μυcτικῶς | ὁ μέγας Μωϋcῆς
προδιετυποῦτο λέγων·
καὶ εὐλόγηcεν ὁ θεὸς | τὴν ἡμέραν τὴν ἑβδόμην·
τοῦτο γάρ ἐcτιν | τὸ εὐλογημένον cάββατον·
αὕτη ἐcτὶν | ἡ τῆς καταπαύcεως ἡμέρα,
ἐν ᾗ κατέπαυcεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ
ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ·
διὰ τῆς κατὰ τὸν θάνατον οἰκονομίας
τῇ cαρκὶ cαββατίcας
καὶ εἰς ὃ ἦν | πάλιν ἐπανελθών,
διὰ τῆς ἀναcτάcεως
ἐδωρήcατο ἡμῖν | ζωὴν τὴν αἰώνιον,
ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

γ'. v. 8 ὡς θεός om. Triod. — 11 πανήγυρις E — 20 τῶν ἁπάντων E: ἡμῶν Triod — 21 τάφοις Triod. — 26 cωτὴρ om. Triod. — 33 Μωcῆς E — 39 υἱὸς τοῦ πατρός E

δ′. Ἰδιόμελον εἰc τὴν κυριακὴν τῆc Τυρινῆc (Τριῳδ. cελ. 64)

ἦχοc δ′.

Ἔλαμψεν ἡ χάριc cου, κύριε,
ἔλαμψεν ὁ φωτιcμὸc τῶν ψυχῶν ἡμῶν·
ἰδοὺ καιρὸc εὐπρόcδεκτοc, | ἰδοὺ καιρὸc μετανοίαc·
ἀποθώμεθα τὰ ἔργα τοῦ cκότουc
καὶ ἐνδυcώμεθα τὰ ὅπλα τοῦ φωτόc,
ὅπωc διαπλεύcαντεc | τὸ τῆc νηcτείαc μέγα πέλαγοc
εἰc τὴν τριήμερον ἀνάcταcιν | καταντήcωμεν
τοῦ κυρίου καὶ cωτῆροc ἡμῶν
Ἰηcοῦ Χριccοῦ | τοῦ cώζοντοc τὰc ψυχὰc ἡμῶν.

ε′. Ἰδιόμελον εἰc τὸ Πάcχα (Πεντηκ. cελ. 5)

ἦχοc πλ. α′.

Ἀναcτάcεωc ἡμέρα·
καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει
καὶ ἀλλήλουc περιπτυξώμεθα·
εἴπωμεν, ἀδελφοὶ, καὶ τοῖc μιcοῦcιν
ἡμᾶc· cυγχωρήcωμεν
πάντα τῇ ἀναcτάcει·
καὶ οὕτω βοήcωμεν·
Χριcτὸc ἀνέcτη ἐκ νεκρῶν,
θανάτῳ θάνατον πατήcαc
καὶ τοῖc ἐν τοῖc μνήμαcι
ζωὴν χαριcάμενοc.

ϛ′. Θρῆνοc εἰc τὴν μεγάλην Παραcκευήν.

ἦχοc πλ. α′.

Cὲ τὸν ἀναβαλλόμενον | τὸ φῶc ὥcπερ ἱμάτιον
καθελὼν Ἰωcὴφ ἀπὸ τοῦ ξύλου | cὺν Νικοδήμῳ
καὶ θεωρήcαc νεκρὸν, γυμνὸν, ἄταφον,
εὐcυμπάθητον θρῆνον ἀναλαβὼν | ὀδυρόμενοc ἔλεγεν·
οἴμοι, γλυκύτατε Ἰηcοῦ!
ὃν πρὸ μικροῦ ὁ ἥλιοc | ἐν cταυρῷ κρεμάμενον θεαcάμενοc
ζόφον περιεβάλλετο·
καὶ ἡ γῆ τῷ φόβῳ ἐκυμαίνετο,
καὶ διερρήγνυτο ναοῦ τὸ καταπέταcμα·
ἀλλ᾽ ἰδοὺ νῦν βλέπω cε
δι᾽ ἐμὲ ἑκουcίωc | ὑπελθόντα θάνατον·
πῶc cε κηδεύcω, θεέ μου; | ἢ πῶc cινδόcιν εἱλήcω;
ποίαιc χερcὶ δὲ προcψαύcω | τὸ cὸν ἀκήρατον cῶμα;
ἢ ποῖα ᾄcματα μέλψω | τῇ cῇ ἐξόδῳ, οἰκτίρμον;
μεγαλύνω τὰ πάθη cου, | ὑμνολογῶ καὶ τὴν ταφήν cου
cὺν τῇ ἀναcτάcει, κραυγάζων· | κύριε, δόξα cοι·

ϛ′. Brevioribus modulis carmen instruxit cod. E, prolixioribus cod. U; auctor naeniae in cod. U Θεοφάγνηc (an Θεοφάνηc?) audit.

ζ'. Ἰδιόμελον τῆς μεγάλης Δευτέρας (Τριῳδ. σελ. 346)

ἦχος α'.

Ἐρχόμενος ὁ κύριος | πρὸς τὸ ἑκούσιον πάθος
τοῖς ἀποστόλοις ἔλεγεν ἐν τῇ ὁδῷ·
Ἰδού, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα,
καὶ παραδοθήσεται | ὁ υἱὸς τοῦ ἀνθρώπου,
καθὼς γέγραπται περὶ αὐτοῦ·
δεῦτε οὖν καὶ ἡμεῖς | κεκαθαρμέναις διανοίαις
συμπορευθῶμεν αὐτῷ | καὶ συσταυρωθῶμεν
καὶ νεκρωθῶμεν δι' αὐτὸν | ταῖς τοῦ βίου ἡδοναῖς,
ἵνα καὶ συζήσωμεν αὐτῷ
καὶ ἀκούσωμεν βοῶντος αὐτοῦ·
οὐκέτι εἰς τὴν ἐπίγειον Ἱερουσαλὴμ | διὰ τὸ παθεῖν,
ἀλλὰ ἀναβαίνω πρὸς τὸν πατέρα μου
καὶ πατέρα ὑμῶν | καὶ θεόν μου καὶ θεὸν ὑμῶν·
καὶ συνανυψῶ ὑμᾶς | εἰς τὴν ἄνω Ἱερουσαλὴμ
ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

η'. Ἰδιόμελον τῆς μεγάλης Δευτέρας (Τριῳδ. σελ. 344)

ἦχος πλ. δ'.

Ἰδού, ὁ νυμφίος ἔρχεται | ἐν τῷ μέσῳ τῆς νυκτός·
καὶ μακάριος ὁ δοῦλος, | ὃν εὑρήσει γρηγοροῦντα,
ἀνάξιος δὲ πάλιν, | ὃν εὑρήσει ῥᾳθυμοῦντα·
βλέπε οὖν, ψυχή μου, | μὴ τῷ ὕπνῳ κατενεχθῇς,
ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς | καὶ τῆς βασιλείας ἔξω κλεισθῇς·
ἀλλὰ ἀνάνηψον κράζουσα·
ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ θεὸς ἡμῶν,
διὰ τῆς θεοτόκου ἐλέησον ἡμᾶς.

θ'. Ἰδιόμελον τῆς μεγάλης Πέμπτης (Τριῳδ. σελ. 364)

ἦχος πλ. δ'.

Ὅτε οἱ ἔνδοξοι μαθηταὶ
ἐν τῷ νιπτῆρι τοῦ δείπνου ἐφωτίζοντο,
τότε Ἰούδας ὁ δυσσεβὴς
φιλαργυρίαν νοσήσας ἐσκοτίζετο,
καὶ ἀνόμοις κριταῖς
σὲ τὸν δίκαιον κριτὴν παραδίδωσι·
βλέπε, χρημάτων ἐραστά,
τὸν διὰ ταῦτα ἀγχόνῃ χρησάμενον·
φεῦγε ἀκόρεστον ψυχὴν
τὴν διδασκάλῳ τοιαῦτα τολμήσασαν·
ὁ περὶ πάντας ἀγαθός, | κύριε, δόξα σοι.

ζ' v. 3 ἀναβαίνωμεν E — 3 Matth. XX 18. Luc. XVIII 31—33. — 13 καὶ πατέρα ὑμῶν om. E — η' v. 7 θεὸς ἡμῶν Pandecte: θεός Triod.

ι΄. Cτιχηρὰ ἰδιόμελα τοῦ Πάσχα (Πεντηκ. cελ. 5)
ἦχος πλ. α΄.

Πάσχα ἱερὸν ἡμῖν cήμερον ἀναδέδεικται,
πάcχα καινὸν ἅγιον, | πάcχα μυcτικόν,
πάcχα πανcεβάcμιον,
πάcχα, Χριcτὸς ὁ λυτρωτὴc,
πάcχα ἄμωμον,
πάcχα μέγα, πάcχα τῶν πιcτῶν·
πάcχα τὸ πύλαc ἡμῖν
τοῦ παραδείcου ἀνοῖξαν,
πάcχα πάνταc ἁγιάζον πιcτούc.

Δεῦτε ἀπὸ θέας γυναῖκες εὐαγγελίcτριαι
καὶ τῇ Cιὼν εἴπατε· | δέχου παρ' ἡμῶν
χαρᾶc εὐαγγέλια
τῆc ἀναcτάcεωc Χριcτοῦ,
τέρπου, χόρευε
καὶ ἀγάλλου, Ἱερουcαλήμ,
τὸν βαcιλέα Χριcτὸν
θεαcαμένη ἐκ τοῦ μνήματοc
ὡc νυμφίον προερχόμενον.

Αἱ μυροφόροι γυναῖκεc | ὄρθρου βαθέοc
ἐπιcτᾶcαι πρὸc τὸ μνῆμα
τοῦ Ζωοδότου
εὗρον ἄγγελον
ἐπὶ τοῦ λίθου καθήμενον,
καὶ αὐτὸc προcφθεγξάμενοc
αὐταῖc οὕτωc ἔλεγε·
τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν;
τί θρηνεῖτε τὸν ἄφθαρτον ὡc ἐν φθορᾷ;
ἀπελθοῦcαι κηρύξατε τοῖc ἑαυτοῦ μαθηταῖc.
Πάcχα τὸ τερπνόν, πάcχα κυρίου, πάcχα,
πάcχα πανcεβάcμιον | ἡμῖν ἀνέτειλε,
πάcχα, ἐν χαρᾷ ἀλλήλουc περιπτυξώμεθα·
ὦ πάcχα λύτρον λύπηc·
καὶ γὰρ ἐκ τάφου cήμερον,
ὥcπερ ἐκ παcτοῦ, ἐκλάμψαc Χριcτὸc
τὰ γύναια χαρᾶc ἔπληcε λέγων·
κηρύξατε ἀποcτόλοιc.

ια΄. Εὐλογητάρια ἀναcτάcιμα ψαλλόμενα τῷ μεγάλῳ Cαββάτῳ. (Τριῳδ. cελ. 407)
ἦχος πλ. α΄.
Εὐλογητὸc εἶ, κύριε, δίδαξόν με τὰ δικαιώματά cου.

Τῶν ἀγγέλων ὁ δῆμοc
κατεπλάγη, ὁρῶν cε
ἐν νεκροῖc λογιcθέντα,
τοῦ θανάτου δέ, cωτήρ,
τὴν ἰcχὺν καθελόντα
καὶ cὺν ἑαυτῷ | τὸν Ἀδὰμ ἐγείραντα
καὶ ἐξ ᾅδου πάνταc ἐλευθερώcαντα.

Εὐλογητὸc εἶ κ.

Τί τὰ μῦρα | cυμπαθῶc τοῖc δάκρυcιν,
ὦ μαθήτριαι, κιρνᾶτε;
ὁ ἀcτράπτων ἐν τῷ τάφῳ ἄγγελοc
προcεφθέγγετο ταῖc μυροφόροιc·
ἴδετε ὑμεῖc τὸν τάφον καὶ ἥcθητε·
ὁ cωτὴρ γὰρ ἐξανέcτη τοῦ μνήματοc.

Εὐλογητὸc εἶ κ.

Λίαν πρωῒ | μυροφόροι ἔδραμον
πρὸc τὸ μνῆμά cου θρηνολογοῦcαι·
ἀλλ' ἐπέcτη πρὸc αὐτὰc ὁ ἄγγελοc
καὶ εἶπε·
θρήνου ὁ καιρὸc πέπαυται· μὴ κλαίετε·
τὴν ἀνάcταcιν δὲ ἀποcτόλοιc εἴπατε.

Εὐλογητὸc εἶ κ.

Μυροφόροι γυναῖκεc
μετὰ μύρων ἐλθοῦcαι
πρὸc τὸ μνῆμά cου, cῶτερ, ἐνηχοῦντο,
ἀγγέλου τρανῶc
πρὸc αὐτὰc φθεγγομένου·
τί μετὰ νεκρῶν τὸν ζῶντα λογίζεcθε;
ὡc θεὸc γὰρ ἐξανέcτη τοῦ μνήματοc.

Τριαδικόν.

Προςκυνοῦμεν πατέρα
καὶ τὸν τούτου υἱόν τε
καὶ τὸ ἅγιον πνεῦμα,
τὴν ἁγίαν τριάδα | ἐν μιᾷ τῇ οὐςίᾳ
ςὺν τοῖς Cεραφὶμ,
κράζοντες τὸ ἅγιος, ἅγιος,
ἅγιος εἶ, κύριε.

Θεοτοκίον.

Ζωοδότην τεκοῦςα
ἐλυτρώςω, παρθένε,
τὸν Ἀδὰμ ἁμαρτίας,
χαρμονὴν δὲ τῇ Εὔᾳ
ἀντὶ λύπης παρέςχες·
ῥεύςαντα ζωῆς | ἴθυνε πρὸς ταύτην δὲ
ὁ ἐκ ςοῦ ςαρκωθεὶς θεὸς καὶ ἄνθρωπος.

CΩΦΡΟΝΙΟΥ

α'. Ἰδιόμελα τῶν Θεοφανείων (Ἰαν. 6)

ἦχος πλ. δ'.

Φωνὴ κυρίου ἐπὶ τῶν ὑδάτων· | βοᾷ λέγουςα·
δεῦτε λάβετε πάντες | πνεῦμα ςοφίας,
πνεῦμα ςυνέςεως, | πνεῦμα φόβου θεοῦ
τοῦ ἐπιφανέντος Χριςτοῦ.

Cήμερον τῶν ὑδάτων ἁγιάζεται | ἡ φύςις,
καὶ ῥήγνυται ὁ Ἰορδάνης | καὶ τῶν ἰδίων ναμάτων
ἐπέχει τὸ ῥεῦμα, | δεςπότην ὁρῶν ῥυπτόμενον.

Ὡς ἄνθρωπος ἐν ποταμῷ | ἦλθες, Χριςτὲ βαςιλεῦ·
καὶ δουλικὸν βάπτιςμα | λαβεῖν ςπεύδεις, ἀγαθὲ,
ὑπὸ τῶν τοῦ προδρόμου χειρῶν
διὰ τὰς ἁμαρτίας ἡμῶν, φιλάνθρωπε.

Πρὸς τὴν φωνὴν τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ
«ἑτοιμάςατε τὴν ὁδὸν τοῦ κυρίου»
ἦλθες, κύριε, | μορφὴν δούλου λαβὼν,
βάπτιςμα αἰτῶν | ὁ μὴ γνοὺς ἁμαρτίαν·
εἴδοςάν ςε ὕδατα | καὶ ἐφοβήθηςαν·
ςύντρομος γέγονεν ὁ πρόδρομος
καὶ ἐβόηςε λέγων·
πῶς φωτίςει ὁ λύχνος τὸ φῶς;
πῶς χειροθετήςει ὁ δοῦλος τὸν δεςπότην;
ἁγίαςον ἐμὲ | καὶ τὰ ὕδατα, ςωτὴρ,
ὁ αἴρων τοῦ κόςμου τὴν ἁμαρτίαν.

β'. Ἰδιόμελα εἰς τὰς Ὥρας τῶν Χριςτουγέννων (Δεκ. 25)

ἦχος πλ. δ'.

Βηθλεὲμ ἑτοιμάζου· | εὐτρεπιζέςθω ἡ φάτνη·
τὸ ςπήλαιον δεχέςθω· | ἡ ἀλήθεια ἦλθεν·

ια' v. 31 corruptus esse videtur et sententiam et numeros si spectes.
Sophronii carm. α' vv. 1—4 om. E — 13 Matth. III 3 — β' 1—7 primam certe strophum ab Sophronio compositam esse ed. Triod. testari videtur; auctoris nomen deest in E

ἡ ϲκιὰ παρέδραμε· | καὶ θεὸϲ ἐν ἀνθρώποιϲ
ἐκ παρθένου πεφανέρωται, | μορφωθεὶϲ τὸ καθ' ἡμᾶϲ
καὶ θεώϲαϲ τὸ πρόϲλημμα·
διὸ | Ἀδὰμ ἀνανεοῦται | ϲὺν τῇ Εὔᾳ κράζοντεϲ·
ἐπὶ γῆϲ εὐδοκία ἐπεφάνη | ϲῶϲαι τὸ γένοϲ ἡμῶν.

ἦχοϲ γ΄.

Νῦν προφητικὴ πρόρρηϲιϲ | πληρωθῆναι ἐπείγεται
μυϲτικῶϲ ἡ φάϲκουϲα·
καὶ ϲύ, Βηθλεὲμ γῆ Ἰούδα,
οὐδαμῶϲ ὑπάρχειϲ ἐλαχίϲτη ἐν τοῖϲ ἡγεμόϲι,
προευτρεπίζουϲα τὸ ϲπήλαιον·
ἐκ ϲοῦ γάρ μοι ἐξελεύϲεται
ἡγούμενοϲ τῶν ἐθνῶν διὰ ϲαρκὸϲ
ἐκ παρθένου κόρηϲ Χριϲτὸϲ ὁ θεόϲ,
ὃϲ ποιμανεῖ τὸν λαὸν αὐτοῦ, | τὸν νέον Ἰϲραήλ·
δῶμεν αὐτῷ ἅπαντεϲ μεγαλοϲύνην·

ἦχοϲ πλ. δ΄.

Τάδε λέγει Ἰωϲὴφ πρὸϲ τὴν παρθένον·
Μαρία, τί τὸ δρᾶμα τοῦτο, | ὃ ἐν ϲοὶ τεθέαμαι;
ἀπορῶ καὶ ἐξίϲταμαι | καὶ τὸν νοῦν καταπλήττομαι!
λάθρα τοίνυν ἀπ' ἐμοῦ | γενοῦ ἐν τάχει·
Μαρία, τί τὸ δρᾶμα τοῦτο, | ὃ ἐν ϲοὶ τεθέαμαι;
ἀντὶ τιμῆϲ αἰϲχύνην, | ἀντ' εὐφροϲύνηϲ τὴν λύπην,
ἀντὶ τοῦ ἐπαινεῖϲθαι | τὸν ψόγον μοι προϲήγαγεϲ·
οὐκ ἔτι φέρω λοιπὸν | τὸ ὄνειδοϲ ἀνθρώπων·
ὑπὸ γὰρ ἱερέων ἐκ τοῦ ναοῦ | ὡϲ ἄμεμπτον κυρίου ϲε παρέλαβον,
καὶ τί τὸ δρώμενον;

ΑΝΔΡΕΟΥ ΙΕΡΟϹΟΛΥΜΙΤΟΥ

Ἰδιόμελα εἰϲ τὴν Χριϲτοῦ γέννηϲιν (Δεκ. 25)

ἦχοϲ δ΄.

Εὐφραίνεϲθε δίκαιοι, | οὐρανοὶ ἀγαλλιᾶϲθε,
ϲκιρτήϲατε τὰ ὄρη | Χριϲτοῦ γεννηθέντοϲ·
παρθένοϲ καθέζεται | τὰ Χερουβὶν μιμουμένη,
βαϲτάζουϲα ἐν κόλποιϲ | θεὸν λόγον ϲαρκωθέντα·
ποιμένεϲ τὸν τεχθέντα δοξάζουϲι,
μάγοι τῷ δεϲπότῃ δῶρα προϲφέρουϲιν·
ἄγγελοι ἀνυμνοῦντεϲ λέγουϲιν·
ἀκατάληπτε κύριε, δόξα ϲοι.

---

3 ἐν om. E — 6 κράζουϲα EH — 10 Mich. V 2 — 17 ἅπαντεϲ in marg. add. E
Andreae carm. v. 5 θαυμάζουϲι E — 8–11 hanc stropham extremo loco collocat E

Ὁ πατὴρ ηὐδόκηςεν, | ὁ λόγος ςὰρξ ἐγένετο,
καὶ ἡ παρθένος ἔτεκεν | θεὸν ἐνανθρωπήςαντα·
ἀςτὴρ μηνύει, | μάγοι προςκυνοῦςιν,
ποιμένες θαυμάζουςι, | καὶ ἡ κτίςις ἀγάλλεται.

Θεοτόκε παρθένε, | ἡ τεκοῦςα τὸν ςωτῆρα,
ἀνέτρεψας τὴν πρώτην κατάραν τῆς Εὔας,
ὅτι μήτηρ γέγονας | τῆς εὐδοκίας τοῦ πατρὸς,
βαςτάζουςα ἐν κόλποις | θεὸν λόγον ςαρκωθέντα·
οὐ φέρει τὸ μυςτήριον ἔρευναν,
πίςτει μόνῃ τοῦτο πάντες δοξάζομεν,
κράζοντες μετὰ ςοῦ καὶ λέγοντες·
ἀνερμήνευτε κύριε, δόξα ςοι·

Δεῦτε ἀνυμνήςωμεν | τὴν μητέρα τοῦ ςωτῆρος
τὴν μετὰ τόκον πάλιν | ὀφθεῖςαν παρθένον·
χαίροις, πόλις ἔμψυχε | τοῦ βαςιλέως καὶ θεοῦ,
ἐν ᾗ Χριςτὸς οἰκήςας | ςωτηρίαν εἰργάςατο·
μετὰ τοῦ Γαβριὴλ ἀνυμνοῦμέν ςε,
μετὰ τῶν ποιμένων δοξάζομεν | κράζοντες·
θεοτόκε, πρέςβευε | τῷ ἐκ ςοῦ ςαρκωθέντι
ςωθῆναι ἡμᾶς.

ΓΕΡΜΑΝΟΥ

α΄. Ἰδιόμελον εἰς τὴν Χριςτοῦ γέννηςιν (Δεκ. 25)

ἦχος πλ. β΄.

Ὅτε καιρὸν | τῆς ἐπὶ γῆς παρουςίας ςου
πρώτη ἀπογραφὴ τῇ οἰκουμένῃ ἐγένετο,
τότε ἔμελλες τῶν ἀνθρώπων
ἀπογράψαςθαι τὰ ὀνόματα
τῶν πιςτευόντων τῷ τόκῳ ςου·
διὰ τοῦτο τὸ τοιοῦτον δόγμα
ὑπὸ Καίςαρος ἐξεφωνήθη·
τῆς γὰρ αἰωνίου ςου βαςιλείας
τὸ ἄναρχον ἐκαινουργήθη·
διό ςοι προςφέρομεν καὶ ἡμεῖς
ὑπὲρ τὴν χρηματικὴν φορολογίαν
ὀρθοδόξου πλουτιςμὸν θεολογίας
τῷ θεῷ καὶ ςωτῆρι τῶν ψυχῶν ἡμῶν.

β΄. Ἰδιόμελον εἰς Χριςτοῦ γέννηςιν (Δεκ. 25)

ἦχος β΄.

Δεῦτε ἀγαλλιαςώμεθα τῷ κυρίῳ,
τὸ παρὸν μυςτήριον ἐκδιηγούμενοι·
τὸ μεςότοιχον τοῦ φραγμοῦ διαλέλυται,
ἡ φλογίνη ῥομφαία τὰ νῶτα δίδωςι,
καὶ τὰ Χερουβὶμ παραχωρεῖ
τοῦ ξύλου τῆς ζωῆς·
κἀγὼ | τοῦ παραδείςου τῆς τρυφῆς
μεταλαμβάνω,

---

15 τῇ εὐδοκίᾳ Dan. — 26 δοξάςωμεν E
Germani carm. α΄. nomen melodi deest in cod. E — 3 ἀπογράφεςθαι Barth. — 8 τεκούςης ςου ἐκ. E — 11 πλουτιςμοῦ θεολογίαν E — β΄. nomen melodi deest in cod. E

οὗ προεξεβλήθην διὰ τῆϲ παρακοῆϲ·
ἡ γὰρ ἀπαράλλακτοϲ εἰκὼν τοῦ πατρόϲ,
ὁ χαρακτὴρ τῆϲ ἀϊδιότητοϲ αὐτοῦ,
μορφὴν δούλου λαμβάνει,
ἐξ ἀπειρογάμου μητρὸϲ προελθών,
οὐ τροπὴν ὑπομείναϲ·
ὃ γὰρ ἦν διέμεινε, | θεὸϲ ὢν ἀληθινόϲ·
καὶ ὃ οὐκ ἦν προϲέλαβεν,
ἄνθρωποϲ γενόμενοϲ διὰ φιλανθρωπίαν·
αὐτῷ βοήϲωμεν·
ὁ τεχθεὶϲ ἐκ παρθένου θεὸϲ
ἐλέηϲον ἡμᾶϲ.

γ΄. Ἰδιόμελον εἰϲ τὸν ἅγιον Δημήτριον (Ὀκτ. 26)
ἦχοϲ β΄.

Εἰϲ τὰ ὑπερκόϲμια ϲκηνώματα
τὸ πνεῦμά ϲου, Δημήτριε, μάρτυϲ Χριϲτοῦ,
Χριϲτὸϲ ὁ θεὸϲ | προϲήκατο ἀμώμητον·
ϲὺ γὰρ | τῆϲ τριάδοϲ γέγοναϲ ὑπέρμαχοϲ,
ἐν τῷ ϲταδίῳ ἀνδρείωϲ ἐναθλήϲαϲ,
ὡϲ ἀδάμαϲ ϲτερρόϲ·
λογχευθεὶϲ δὲ τὴν πλευρὰν
τὴν ἀκήρατόν ϲου, πανϲεβάϲμιε,
μιμούμενοϲ τὸν ἐπὶ ξύλου τανυϲθέντα,
εἰϲ ϲωτηρίαν παντὸϲ τοῦ κόϲμου
τῶν θαυμάτων εἴληφαϲ τὴν ἐνέργειαν,
ἀνθρώποιϲ παρέχων τὰϲ ἰάϲειϲ ἀφθόνωϲ·
διό ϲου ϲήμερον τὴν κοίμηϲιν ἑορτάζοντεϲ
ἐπαξίωϲ δοξάζομεν
τὸν ϲὲ δοξάϲαντα κύριον.

ΜΕΘΟΔΙΟΥ

Ἰδιόμελον εἰϲ Κωνϲταντῖνον καὶ Ἑλένην (Μαΐ. 21)
ἦχοϲ πλ. δ΄.

Ὁ τῶν ἀνάκτων ἄναξ καὶ θεόϲ,
ὁ πλουϲίαιϲ δωρεαῖϲ | κατακοϲμῶν τοὺϲ ἀξίουϲ,
αὐτὸϲ οὐρανόθεν, | ὥϲπερ Παῦλον τὸν ἀοίδιμον,
διὰ ϲημείου τοῦ ϲταυροῦ | ϲέ, Κωνϲταντῖνε, ἐζώγρηϲεν,
ἐν τούτῳ, φήϲαϲ, νίκα τοὺϲ ἐχθρούϲ ϲου·
ὃν ἀναζητήϲαϲ | ϲὺν μητρὶ θεόφρονι
καὶ εὑρών, ὡϲ ἐπόθειϲ,
τούτουϲ κατὰ κράτοϲ ἐτροπώϲω·
ϲὺν αὐτῇ οὖν ἱκέτευε | ὑπὲρ ὀρθοδόξων βαϲιλέων
καὶ τοῦ φιλοχρίϲτου ϲτρατοῦ
καὶ πάντων τῶν τὴν μνήμην ϲου τελούντων πιϲτῶϲ,
τὸν μόνον φιλάνθρωπον | λυτρωθῆναι πάϲηϲ ὀργῆϲ.

ΦΩΤΙΟΥ ΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

α΄. Ἰδιόμελον εἰϲ Μεθόδιον (Ἰουν. 14)
ἦχοϲ πλ. β΄.

Ἀϲτὴρ ἀνέτειλεν εὐϲεβείαϲ
ἀπὸ δυϲμῶν ἡλίου τοῦ φαινομένου

γ΄. Γερμανοῦ τοῦ πατριάρχου in marg. E — 2 μάρτυϲ ϲοφὲ Barth. — 5 καὶ ἐν ϲταδίῳ E — 9 τανυθέντα E — 13 ἑορτάζομεν ἐπαξίωϲ δοξάζοντεϲ E
Methodii nomen om. E — Photii nomen om. E

ὁ μέγας ἐν ἱεράρχαις Μεθόδιος·
καὶ τὴν ἀχλὺν διατμήξας τῶν κακοδόξων
κατέπαυσεν εἰς τὴν ὄντως ἀνατολὴν
τοῦ τῆς δικαιοσύνης ἡλίου,
Χριστοῦ τοῦ θεοῦ ἡμῶν·
κἀκεῖσε ταῖς ἀσωμάτοις | συναυλιζόμενος χορείαις
καὶ πρὸς τῷ θρόνῳ παρεστὼς τῆς τριάδος,
ὡς ὅσιος, | ὡς μάρτυς, | ὡς ἱερεύς, | ὡς πατριάρχης
πράξει καὶ θεωρίᾳ | ἡμῖν αἰτεῖται, τοῖς ἐν πίστει τελοῦσι
τὴν ἱερὰν αὐτοῦ μνήμην, | τὸ μέγα ἔλεος.

β΄. Ἰδιόμελον εἰς Μεθόδιον (Ἰουν. 14)
ἦχος δ΄.

Εὐφροσύνως σήμερον | ἡ ἐκκλησία τοῦ θεοῦ στολίζεται,
ἀγαλλομένη κράζουσα·
ἐλαμπρύνθη μου τὸ κάλλος | ὑπὲρ πᾶσαν πόλιν·
ἰδοὺ γὰρ τῶν ἀρχιερέων τὸ μέγα κειμήλιον,
ὁ ἔνδοξος Μεθόδιος, | τὴν πορείαν πρὸς οὐρανὸν ἐποιήσατο·
δεῦτε οὖν φιλέορτοι, | τῶν ὀρθοδόξων τὸ σύστημα,
χοροστατήσαντες περὶ τὴν θείαν λάρνακα,
ἰαμάτων πλημμύραν λαβόντες παρ᾿ αὐτῆς,
ἱκετεύσωμεν αἰτήσασθαι Χριστὸν τὸν θεὸν
τοῦ ῥυσθῆναι τὴν οἰκουμένην | ἀπὸ πάσης αἱρέσεως.

ΒΥΖΑΝΤΙΟΥ

α΄. Ἰδιόμελον εἰς Κωνσταντῖνον καὶ Ἑλένην (Μαΐ. 21)
ἦχος β΄.

Πλουσίων δωρεῶν τὰ κρείττονα
εἰληφὼς παρὰ θεοῦ, | ἄναξ κράτιστε,
Κωνσταντῖνε μέγιστε, | καλῶς ἐν τούτοις διέπρεψας·
καταυγασθεὶς γὰρ | ἀκτῖσι τοῦ παναγίου πνεύματος,
ὑπὸ Σιλβέστρου ἱερέως | διὰ τοῦ βαπτίσματος
ἐν βασιλεῦσιν ὤφθης ἀήττητος,
τὴν οἰκουμένην ὡς προῖκα | προικοδοτήσας τῷ κτίστῃ σου
καὶ πόλιν βασιλεύουσαν θεοσεβῆ·
διὸ ἱκετεύων μὴ παύσῃ Χριστῷ τῷ θεῷ
δωρηθῆναι ἅπασι | τοῖς τελοῦσι τὴν μνήμην σου,
ὡς παρρησίαν ἔχων, | ἁμαρτιῶν συγχώρησιν
καὶ τὸ μέγα ἔλεος.

β΄. nomen auctoris om. E — 2 καὶ κράζουσα Barth. — 7 ἅμα τῇ θείᾳ λάρνακι E — 9 ἱκετεύσωμεν om. E — αἰτήσασθε E
Byzantii carm. α΄ v. 8 θεοστεφῆ G — 9 Χριστὸν τὸν θεόν F

β'. Ἰδιόμελον εἰς μνήμην Βασιλείου τοῦ μεγάλου (Ἰαν. 1)

ἦχος β'.

Ὦ θεία καὶ ἱερὰ τῆς Χριστοῦ ἐκκλησίας μέλισσα,
Βασίλειε παμμακάριστε·
σὺ γὰρ τοῦ θείου πόθου τῷ κέντρῳ
σαυτὸν καθοπλίσας
τῶν θεοστυγῶν αἱρέσεων | τὰς βλασφημίας κατέτρωσας,
καὶ ταῖς ψυχαῖς τῶν πιστῶν
εὐσεβείας τὸν γλυκασμὸν ἐθησαύρισας·
καὶ νῦν τὸν θεῖον λειμῶνα
τῆς ἀκηράτου διερχόμενος νομῆς
μνημόνευε καὶ ἡμῶν, | παρεστὼς τὴν τριάδα τὴν ὁμοούσιον.

γ'. Ἰδιόμελον εἰς τὴν Μεταμόρφωσιν τοῦ Χριστοῦ (Αὐγ. 6)

ἦχος πλ. δ'.

Παρέλαβεν ὁ Χριστὸς
τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην
εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν
καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν·
καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ [ἥλιος,
τὰ δὲ ἱμάτια αὐτοῦ
ἐγένετο λευκὰ ὡς τὸ φῶς·
καὶ ὤφθησαν Μωϋσῆς καὶ Ἠλίας
μετ' αὐτοῦ συλλαλοῦντες·
καὶ νεφέλη φωτεινὴ | ἐπεσκίασεν αὐτούς·
καὶ ἰδοὺ φωνὴ ἐκ τῆς νεφέλης λέγουσα·
οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός,
ἐν ᾧ ηὐδόκησα, | αὐτοῦ ἀκούετε.

ΘΕΟΔΩΡΟΥ

α'. Ἰδιόμελον εἰς τὸν μεγαλομάρτυρα Ἀρτέμιον (Ὀκτ. 20)

ἦχος β'.

Τὸν νοερὸν φωστῆρα τῆς πίστεως
Ἀρτέμιον τιμήσωμεν,
ὅτι ἤλεγξε βασιλέα τὸν ἔχθιστον,
καὶ τῷ αἵματι τοῦ μαρτυρίου αὐτοῦ
τὴν ἐκκλησίαν θεὸς ἐπορφύρωσεν·
ὅθεν καὶ ἀπέλαβε
τῶν ἰαμάτων τὴν χάριν τὴν ἄφθονον
τοῦ ἰᾶσθαι τὰς νόσους
τῶν πιστῶς προστρεχόντων
ἐν τῇ σορῷ τῶν λειψάνων αὐτοῦ.

β'. Ἰδιόμελον εἰς Μιχαὴλ καὶ Γαβριὴλ (Νοεμ. 8)

ἦχος β'.

Τῆς ἀΰλου οὐσίας
τῶν νοερῶν δυνάμεων προστατεύοντες,
καὶ τῆς τρισηλίου δόξης ταῖς μαρμαρυγαῖς
φωτοδοτοῦντες τὴν οἰκουμένην,
ἀρχιστράτηγοι, ἀλήκτῳ φωνῇ
τὸν τρισάγιον ὕμνον ἐξᾴδετε·
διὸ πρεσβεύσατε
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

β' v. 5 φλασμίας E — 7 εὐσεβεία τὸν λογισμόν E — 8 τοὺς θείους λειμῶνας Barth. — γ'. Carmen, quale Menaea et codd. EFU secuti exhibemus, ἀναποδισμὸς in cod. U audit, unde concludas aliter ab aliis sententias carminis dispositas fuisse; melodia cod. E longe brevior est quam cod. U

Theodori carm. α' v. 9 λειψάνων σου E, quo probato supra ἀνέλαβες scribere debebis. — β'. τὴν ἄϋλον οὐσίαν E

γ'. Ἰδιόμελον εἰς Ἰωάννην τὸν Χρυσόστομον (Νοεμ. 13)
ἦχος β'.

Cὲ τὸν μέγαν ἀρχιερέα | καὶ ποιμένα,
τὸν ἄκακον καὶ ὅσιον,
τῆς μετανοίας τὸν κήρυκα,
τὸ χρυσίπνοον στόμα τῆς χάριτος,
ἀνευφημοῦντες πόθῳ δεόμεθα·
μετάδος ἡμῖν
τῶν πρεσβειῶν σου, πάτερ,
εἰς ἀντίληψιν τῶν ψυχῶν ἡμῶν.

δ'. Ἰδιόμελον εἰς Γεώργιον (Ἀπριλ. 23)
ἦχος δ'.

Τὸν νοερὸν ἀδάμαντα
τῆς καρτερίας, ἀδελφοί,
πνευματικῶς εὐφημήσωμεν,
Γεώργιον τὸν ἀοίδιμον μάρτυρα·
ὃν ὑπὲρ Χριστοῦ πυρούμενον
ἐχάλκευσαν κίνδυνοι,
καὶ ἐστόμωσαν βάσανοι,
καὶ ποικίλαι κολάσεις ἀνήλωσαν
σῶμα τὸ φύσει φθειρόμενον·
ἐνίκα γὰρ ὁ πόθος τὴν φύσιν,
διὰ θανάτου πείθων τὸν ἐραστὴν
διαβῆναι πρὸς τὸν ποθούμενον
Χριστὸν τὸν θεὸν
καὶ σωτῆρα τῶν ψυχῶν ἡμῶν.

ΕΦΡΑΙΜ ΚΑΡΙΑΣ

α'. Ἰδιόμελον εἰς Μιχαὴλ καὶ Γαβριήλ (Νοεμ. 8)
ἦχος δ'.

Τῆς ἡλιακῆς ἀκτῖνος τοῦ θείου φωτὸς
καταλαμπόμενοι ἀρχιστράτηγοι
τὰς τῶν ἀΰλων καταυγάζετε ταξιαρχίας·
ὡς φῶς λευχειμονοῦντες ἐν ὑψίστοις
τὸ πῦρ καταυγάζετε ἐν κόσμῳ
τῆς ἀπροσίτου θεότητος·
ὅθεν καὶ τὸν τρισάγιον ὕμνον
ἐν φλογεροῖς τοῖς χείλεσιν
ἀκαταπαύστως ᾄδετε·
ἅγιος, ἅγιος, ἅγιος εἶ
ὁ θεὸς ἡμῶν, δόξα σοι.

β'. Ἰδιόμελον εἰς τοὺς ἀποστόλους Πέτρον καὶ Παῦλον (Ἰουν. 29)
ἦχος πλ. β'.

Ἑορτὴ χαρμόσυνος | ἐπέφανε τοῖς πέρασι σήμερον,
ἡ πάνσεπτος μνήμη | τῶν σοφωτάτων ἀποστόλων
καὶ κορυφαίων Πέτρου καὶ Παύλου·
διὸ | καὶ Ῥώμη συγχαίρει χορεύουσα·
ἐν ᾠδαῖς καὶ ὕμνοις | ἑορτάσωμεν καὶ ἡμεῖς, ἀδελφοί,
τὴν πανσεβάσμιον ταύτην ἡμέραν,
βοῶντες πρὸς αὐτούς.
χαῖρε, | Πέτρε ἀπόστολε, | καὶ γνήσιε φίλε
τοῦ σοῦ διδασκάλου | Χριστοῦ τοῦ θεοῦ ἡμῶν·

γ'. v. 7 ἀντάμειψιν Barth. et var. lect. cod. E — δ'. ἦχ. δ' E: ἦχ. πλ. δ' U, melodia cod. E prorsus alia est ac cod. U — v. 2 Γεώργιον τόν EF: Γεώργιον ὑμνήσωμεν τόν U — 6 ἀνήλωσαν E: ἀνάλωσαν FU

Ephraimi α'. nomen auctoris om. E — β'. nomen melodi om. E — 1 ἐπέλαμψε Barth. — 6 πανσέβαστον E — ἡμέραν ἐκτελέσαντες χαῖρε E

χαῖρε, | Παῦλε παμφίλτατε, | καὶ κῆρυξ τῆς πίστεως
καὶ διδάσκαλε τῆς οἰκουμένης·
ὡς ἔχον παρρησίαν, ζεῦγος ἁγιόλεκτον,
Χριστὸν τὸν θεὸν ἡμῶν | ἱκετεύσατε
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

γ'. Ἰδιόμελον εἰς τὸν μάρτυρα Εὐστάθιον (Σεπτ. 20)
ἦχος πλ. β'.

Ἀδαμάντινε τὴν ψυχήν,
πῶς σε κατ' ἀξίαν ἐπαινέσωμεν;
τὴν γὰρ φύσιν ὑπερέβης·
χρημάτων καὶ παίδων | καὶ τῆς συμβίου στερούμενος
τὴν μακαρίαν ἐκείνην | καὶ ἀοίδιμον
φωνὴν τοῦ Ἰὼβ ἐξεβόησας·
ὁ κύριος ἔδωκεν, | ὁ κύριος ἀφείλετο·
ὡς τῷ κυρίῳ ἔδοξεν, | οὕτω καὶ ἐγένετο·
ἀλλ' ὃν ἠγάπησας θεὸν | καὶ ὃν θερμῶς ἐπεπόθησας
πάλιν σοι τοὺς φιλτάτους ἐδωρήσατο
συναθλητὰς γενέσθαι σοι προμηθευσάμενος·
μεθ' ὧν διὰ ποικίλων βασάνων
τὸ μακάριον τέλος διήνυσας·
αὐτοὺς καὶ συμπρεσβευτάς σου λαβόμενος,
καρτερόψυχε Εὐστάθιε,
δυσώπησον λυτρωθῆναι ἡμᾶς
τῶν ἀνομιῶν ἡμῶν.

ΚΑϹϹΙΑϹ

α'. Ἰδιόμελον εἰς τὴν Χριστοῦ γέννησιν (Δεκ. 25)
ἦχος β'.

Αὐγούστου μοναρχήσαντος ἐπὶ τῆς γῆς
ἡ πολυαρχία τῶν ἀνθρώπων ἐπαύσατο·
καὶ σοῦ ἐνανθρωπήσαντος ἐκ τῆς ἁγνῆς
ἡ πολυθεΐα τῶν εἰδώλων κατήργηται·
ὑπὸ μίαν βασιλείαν ἐγκόσμιον
αἱ πόλεις γεγένηνται·
καὶ εἰς μίαν δεσποτείαν θεότητος
τὰ ἔθνη ἐπίστευσαν·
ἀπεγράφησαν οἱ λαοὶ | τῷ δόγματι τοῦ Καίσαρος·
ἐπεγράφημεν οἱ πιστοὶ | ὀνόματι θεότητος
σοῦ τοῦ ἐνανθρωπήσαντος θεοῦ ἡμῶν·
μέγα σου τὸ ἔλεος, κύριε, δόξα σοι.

12 ἁγιόζευκτον E — γ'. nomen melodi om. E — 1 τῇ ψυχῇ E — 6 Iob I 21 — 13 πέμεινας E
Cassiae nomen om. E — 12 κύριε om. Barth.

β'. Ἰδόμελον εἰϲ τὸ γενέθλιον Ἰωάννου τοῦ Βαπτιϲτοῦ (Ἰουν. 24)

ἦχοϲ πλ. δ'.

Ἡϲαΐου νῦν τοῦ προφήτου ἡ φωνὴ
ϲήμερον ἐν τῇ τοῦ μείζονοϲ | προφητῶν κυήϲει
Ἰωάννου πεπλήρωται·
Ἰδού, γάρ φηϲιν, ἀποϲτελῶ | τὸν ἄγγελόν μου πρὸ προϲώπου ϲου,
ὃϲ καταϲκευάϲει τὴν ὁδόν ϲου·
οὗτοϲ οὖν, | ὡϲ τοῦ ἐπουρανίου βαϲιλέωϲ | ϲτρατιώτηϲ προδραμών,
ὡϲ ἀληθῶϲ εὐθείαϲ ἐποίει | τὰϲ τρίβουϲ τοῦ θεοῦ ἡμῶν,
ἄνθρωποϲ μὲν τὴν φύϲιν, | ἄγγελοϲ δὲ τὸν βίον ὑπάρχων·
ἁγνείαν γὰρ παντελῆ | καὶ ϲωφροϲύνην ἀϲπαϲάμενοϲ
εἶχε μὲν τὸ κατὰ φύϲιν, | ἔφυγε δὲ τὸ παρὰ φύϲιν,
ὑπὲρ φύϲιν ἀγωνιϲάμενοϲ·
αὐτὸν ἅπαντεϲ πιϲτοὶ | ἐν ἀρεταῖϲ μιμούμενοι
πρεϲβεύειν ὑπὲρ ἡμῶν δυϲωπήϲωμεν
εἰϲ τὸ ϲωθῆναι τὰϲ ψυχὰϲ ἡμῶν.

ΚΑΣΣΙΑΝΗΣ ΜΟΝΑΧΗΣ

Ἰδιόμελον εἰϲ τὴν μεγάλην Τετάρτην (Τριῳδ. ϲελ. 360)

ἦχοϲ πλ. δ'.

Κύριε, | ἡ ἐν πολλαῖϲ ἁμαρτίαιϲ περιπεϲοῦϲα γυνή,
τὴν ϲὴν | αἰϲθομένη θεότητα,
μυροφόρου ἀναλαβοῦϲα τάξιν,
ὀδυρομένη μύρον ϲοι | πρὸ τοῦ ἐνταφιαϲμοῦ κομίζει·
οἴμοι! λέγουϲα, | ὅτι νύξ μοι ὑπάρχει,
οἶϲτροϲ ἀκολαϲίαϲ | ζοφώδηϲ τε καὶ ἀϲέληνοϲ,
ἔρωϲ τῆϲ ἁμαρτίαϲ·
δέξαι μου τὰϲ πηγὰϲ τῶν δακρύων
ὁ νεφέλαιϲ διεξάγων | τῆϲ θαλάϲϲηϲ τὸ ὕδωρ·
κάμφθητί μοι | πρὸϲ τοὺϲ ϲτεναγμοὺϲ τῆϲ καρδίαϲ
ὁ κλίναϲ τοὺϲ οὐρανοὺϲ | τῇ ἀφράϲτῳ ϲου κενώϲει·
καταφιλήϲω τοὺϲ ἀχράντουϲ ϲου πόδαϲ,
ἀποϲμήξω τούτουϲ δὲ πάλιν
τοῖϲ τῆϲ κεφαλῆϲ μου βοϲτρύχοιϲ·
ὧν ἐν τῷ παραδείϲῳ Εὔα τὸ δειλινὸν
κρότον τοῖϲ ὠϲὶν ἠχηθεῖϲα | τῷ φόβῳ ἐκρύβη·
ἁμαρτιῶν μου τὰ πλήθη | καὶ κριμάτων ϲου ἀβύϲϲουϲ
τίϲ ἐξιχνιάϲει, ψυχοϲῶϲτα ϲωτήρ μου;
μή με τὴν ϲὴν δούλην παρίδηϲ
ὁ ἀμέτρητον ἔχων τὸ ἔλεοϲ.

β'. nomen auctoris om. E — v. 1 Malach. 3, 1 — 4 Ies. 40, 3 — 5 ὁδόν ϲου ἔμπροϲθέν ϲου E — 6 οὖν ὁ τοῦ Barth. — 8 τῇ φύϲει Barth. — 10 παρὰ τὴν φύϲιν E
Cassianae carm. v. 4 μύρα Triod. — 11 ἀφάτῳ Triod. — 19 an τὸν δειλινόν?

ΜΑΝΟΥΗΛ ΤΟΥ ΧΡΥϹΑΦΗ

Ἰδιόμελον εἰϲ μνήμην τῆϲ ἁγίαϲ Μαρίνηϲ (Ἰουλ. 17)

ἦχοϲ πλ. α΄.

Ἐπέϲτη ϲήμερον ἡ ϲεβάϲμιοϲ μνήμη ϲου,
Μαρίνα πολύαθλε,
ἐπέϲτη ϲήμερον ϲυγκαλοῦϲα τοὺϲ πιϲτοὺϲ
πρὸϲ ϲὴν θείαν πανήγυριν·
ἀθλητικὴν γὰρ ἀνδρείαν ἐνδειξαμένη
ἐβόαϲ τοῖϲ ἀνόμοιϲ ἐν τῷ ϲκάμματι·
ξεέϲθωϲαν ϲάρκεϲ μου, χεέϲθω καὶ τὸ αἷμα
καὶ ϲτρεβλούϲθωϲάν μου τὰ μέλη πάντα·
τὸν γὰρ Χριϲτὸν προϲκυνῶ, | οὐ θύω τοῖϲ εἰδώλοιϲ.

ἦχοϲ γ΄.

Τὴν νοητὴν χελιδόνα καὶ ὡραιοτάτην τρυγόνα,
τὴν ἁγνὴν περιϲτεράν,
τὴν κεχρυϲωμένην ταῖϲ τῶν ἀρετῶν πτέρυξι,
τὴν ἀναπτᾶϲαν εὐπετῶϲ πρὸϲ τὸν ἐπουράνιον νυμφίον Χριϲτόν,
Μαρίναν τὴν μάρτυρα ἀνευφημήϲωμεν
καὶ μακαρίϲωμεν.

ΛΕΟΝΤΟϹ ΤΟΥ ΒΑϹΙΛΕΩϹ

Ἑωθινά, ψαλλόμενα κατὰ κυριακὴν εἰϲ τοὺϲ αἴνουϲ.

ἦχοϲ α΄.

Εἰϲ τὸ ὄροϲ τοῖϲ μαθηταῖϲ ἐπειγομένοιϲ
διὰ τὴν χαμόθεν ἔπαρϲιν | ἐπέϲτη ὁ κύριοϲ·
καὶ προϲκυνήϲαντεϲ αὐτὸν | καὶ τὴν δοθεῖϲαν ἐξουϲίαν
πανταχοῦ διδαχθέντεϲ
εἰϲ τὴν ὑπ' οὐρανὸν ἐξαπεϲτέλλοντο,
κηρύξαι τὴν ἐκ νεκρῶν ἀνάϲταϲιν
καὶ τὴν εἰϲ οὐρανοὺϲ ἀποκατάϲταϲιν·
οἷϲ καὶ ϲυνδιαιωνίζειν | ὁ ἀψευδὴϲ ἐπηγγείλατο
Χριϲτὸϲ ὁ θεὸϲ | καὶ ϲωτὴρ τῶν ψυχῶν ἡμῶν.

Leontis in matutinis carminibus recognoscendis codd. DE usi sumus — v. 1 Matth. VIII 16—20. Marc. XVI 15. Ioan. XX 21—23 — 5 ἐξαποϲτέλλονται E

ἦχος β'.

Μετὰ μύρων προσελθούσαις
ταῖς περὶ τὴν Μαριὰμ γυναιξὶ
καὶ διαπορουμέναις, | πῶς ἔσται αὐταῖς τυχεῖν τοῦ ἐφετοῦ,
ὠράθη ὁ λίθος μετηρμένος
καὶ θεῖος νεανίας
καταστέλλων | τὸν θόρυβον αὐτῶν τῆς ψυχῆς·
ἠγέρθη, γάρ φησιν, | Ἰησοῦς ὁ κύριος·
διὸ κηρύξατε | τοῖς κήρυξιν αὐτοῦ μαθηταῖς
εἰς τὴν Γαλιλαίαν δραμεῖν
καὶ ὄψεσθαι αὐτὸν | ἀναστάντα ἐκ νεκρῶν,
ὡς ζωοδότην καὶ κύριον.

ἦχος γ'.

Τῆς Μαγδαληνῆς Μαρίας
τὴν τοῦ σωτῆρος εὐαγγελιζομένης
ἐκ νεκρῶν ἀνάστασιν | καὶ ἐμφάνειαν,
διαπιστοῦντες οἱ μαθηταὶ | ὠνειδίζοντο τὸ τῆς καρδίας σκληρόν·
ἀλλὰ τοῖς σημείοις | καθοπλισθέντες καὶ θαύμασι
πρὸς τὸ κήρυγμα ἀπεστέλλοντο.
καὶ σὺ μέν, κύριε, πρὸς τὸν ἀρχίφωτον
ἀνελήφθης πατέρα,
οἱ δὲ ἐκήρυττον | πανταχοῦ τὸν λόγον
τοῖς θαύμασι πιστούμενοι·
διὸ οἱ φωτισθέντες δι' αὐτῶν
δοξάζομέν σου | τὴν ἐκ νεκρῶν ἀνάστασιν,
φιλάνθρωπε κύριε.

ἦχος δ'.

Ὄρθρος ἦν βαθύς, | καὶ αἱ γυναῖκες ἦλθον
ἐπὶ τὸ μνῆμά σου, Χριστέ,
ἀλλὰ τὸ σῶμα οὐχ εὑρέθη
τὸ ποθούμενον αὐταῖς·
διὸ ἀπορουμέναις
οἱ ταῖς ἀστραπτούσαις | ἐσθήσεσιν ἐπιστάντες,
τί τὸν ζῶντα μετὰ τῶν νεκρῶν | ζητεῖτε, ἔλεγον·
ἠγέρθη, ὡς προεῖπε·
τί ἀμνημονεῖτε τῶν ῥημάτων αὐτοῦ;
οἷς πεισθεῖσαι | τὰ ὁραθέντα ἐκήρυττον,
ἀλλ' ἐδόκει λῆρος | τὰ εὐαγγέλια·
οὕτως ἦσαν ἔτι | νωθεῖς οἱ μαθηταί·
ἀλλ' ὁ Πέτρος ἔδραμε | καὶ ἰδὼν | ἐδόξασέ σου
πρὸς ἑαυτὸν τὰ θαυμάσια·

---

10 Matth. XXVIII 1—7. Marc. XVI 1—7. Luc. XXIV 1—12. Ioann. XX 1—18

ἦχος πλ. α΄.

Ὦ τῶν coφῶν cou | κριμάτων, Χριcτέ!
πῶc Πέτρῳ μὲν τοῖc ὀθονίοιc μόνοιc
ἔδωκαc ἐννοῆcαί cou τὴν ἀνάcταcιν;
Λουκᾷ δὲ καὶ Κλεόπᾳ | cυμπορευόμενοc ὡμίλειc,
καὶ ὁμιλῶν | οὐκ εὐθέωc ἑαυτὸν φανεροῖc·
διὸ καὶ ὀνειδίζῃ,
ὡc μόνοc παροικῶν ἐν Ἱερουcαλὴμ
καὶ μὴ μετέχων | τῶν ἐν τέλει βουλευμάτων αὐτοῖc·
ἀλλ᾽ ὁ πάντα | πρὸc τὸ τοῦ πλάcματοc
cυμφέρον οἰκονομῶν
καὶ τὰc περὶ coῦ προφητείαc ἀνέπτυξαc,
καὶ ἐν τῷ εὐλογεῖν τὸν ἄρτον
ἐγνώcθηc αὐτοῖc,
ὧν καὶ πρὸ τούτου αἱ καρδίαι
πρὸc γνῶcίν cou ἀνεφλέγοντο·
οἳ καὶ τοῖc μαθηταῖc cυνηθροιcμένοιc
ἤδη τρανῶc | ἐκήρυττόν cou τὴν ἀνάcταcιν,
δι᾽ ἧc ἐλέηcον ἡμᾶc.

ἦχος πλ. β΄.

Ἡ ὄντωc εἰρήνη cύ, Χριcτέ,
πρὸc ἀνθρώπουc θεοῦ | εἰρήνην τὴν cὴν διδοὺc
μετὰ τὴν ἔγερcιν μαθηταῖc,
ἐμφόβουc ἔδειξαc αὐτοὺc | δόξανταc πνεῦμα ὁρᾶν·
ἀλλὰ κατέcτειλαc | τὸν τάραχον αὐτῶν
δείξαc τὰc χεῖραc | καὶ τοὺc πόδαc cou·
πλὴν ἀπιcτούντων ἔτι | τῇ τῆc τροφῆc μεταλήψει
καὶ διδαχῶν ἀναμνήcει
διήνοιξαc αὐτῶν τὸν νοῦν | τοῦ cυνιέναι τὰc γραφάc·
οἷc καὶ τὴν πατρικὴν | ἐπαγγελίαν καθυποcχόμενοc
καὶ εὐλογήcαc αὐτοὺc | διέcτηc πρὸc οὐρανόν·
διὸ cὺν αὐτοῖc προcκυνοῦμέν cε,
κύριε, δόξα coι.

ἦχος βαρύc.

Ἰδού, cκοτία καὶ πρωΐ,
καὶ τί πρὸc τὸ μνημεῖον, Μαρία, ἕcτηκαc
πολὺ cκότοc ἔχουcα ταῖc φρεcίν;
ὑφ᾽ οὗ ποῦ τέθειται ζητεῖc ὁ Ἰηcοῦc·
ἀλλ᾽ ὅρα τοὺc cυντρέχονταc μαθητάc,

52 Marc. XVI 12. Luc. XXIV 13—35 — 56 αὐτῆc E — 67 coί DE — 70 Luc. XXIV 49 — 71 αὐτῶν τῆc ψυχῆc Oct. — 82 πολλὺν cκότον D πολὺν cκότοc E

πῶϲ τοῖϲ ὀθονίοιϲ καὶ τῷ ϲουδαρίῳ
τὴν ἀνάϲταϲιν ἐτεκμήραντο,
καὶ ἀνεμνήϲθηϲαν | τῆϲ περὶ τούτου γραφῆϲ·
μεθ' ὧν καὶ δι' ὧν | καὶ ἡμεῖϲ πιϲτεύϲαντεϲ
ἀνυμνοῦμέν ϲε | τὸν Ζωοδότην Χριϲτόν·

ἦχοϲ πλ. δ'.

Τὰ τῆϲ Μαρίαϲ δάκρυα | οὐ μάτην χεῖται θερμῶϲ·
ἰδοὺ γὰρ κατηξίωται | καὶ διδαχῶν τῶν ἀγγέλων
καὶ τῆϲ ὄψεωϲ αὐτοῦ τοῦ Ἰηϲοῦ·
ἀλλ' ἔτι πρόϲγεια φρονεῖ, | οἷα γυνὴ ἀϲθενήϲ·
διὸ καὶ ἀποπέμπεται | μὴ προϲψαῦϲαί ϲοι, Χριϲτέ·
ἀλλ' ὅμωϲ κήρυξ πέμπεται | τοῖϲ ϲοῖϲ μαθηταῖϲ,
οἷϲ εὐαγγέλια φέρουϲα
τὴν πρὸϲ τὸν πατρῷον κλῆρον | ἄνοδον ἀπαγγέλλει ϲου·
μεθ' ἧϲ ἀξίωϲον καὶ ἡμᾶϲ
τῆϲ ἐμφανείαϲ ϲου, δέϲποτα κύριε.

ἦχοϲ πλ. α'.

Ὡϲ ἐπ' ἐϲχάτων τῶν χρόνων | οὔϲηϲ ὀψίαϲ ϲαββάτου
ἐφίϲταϲαι τοῖϲ φίλοιϲ, Χριϲτέ,
καὶ θαύματι θαῦμα βεβαιοῖϲ,
τῇ κεκλειϲμένῃ εἰϲόδῳ τῶν θυρῶν
τὴν ἐκ νεκρῶν ϲου ἀνάϲταϲιν·
ἀλλ' ἔπληϲαϲ χαρᾶϲ τοὺϲ μαθητάϲ,
καὶ πνεύματοϲ ἁγίου μετέδωκαϲ αὐτοῖϲ,
καὶ ἐξουϲίαν ἔνειμαϲ | ἀφέϲεωϲ ἁμαρτιῶν,
καὶ τὸν Θωμᾶν οὐ κατέλιπεϲ
τῷ τῆϲ ἀπιϲτίαϲ | καταβαπτίζεϲθαι κλύδωνι·
διὸ παράϲχου καὶ ἡμῖν | γνῶϲιν ἀληθῆ
καὶ ἄφεϲιν πταιϲμάτων, | εὔϲπλαγχνε κύριε.

ἦχοϲ πλ. β'.

Μετὰ τὴν εἰϲ ᾅδου κάθοδον
καὶ τὴν ἐκ νεκρῶν ἀνάϲταϲιν
ἀθυμοῦντεϲ, ὡϲ εἰκόϲ,
ἐπὶ τῷ χωριϲμῷ ϲου, Χριϲτέ, οἱ μαθηταὶ
πρὸϲ ἐργαϲίαν ἐτράπηϲαν·
καὶ πάλιν πλοῖα καὶ δίκτυα,
καὶ ἄγρα οὐδαμοῦ·
ἀλλὰ ϲύ, ϲῶτερ, ἐμφανιϲθείϲ,

85 Luc. XXIV 12. Ioan. XX 1—10. — 90 χεῖνται E — 91 διδαϲκόντων ἀγγέλων E · 92 ὄψεωϲ τῆϲ ϲῆϲ, ὦ Ἰηϲοῦ Oct. — 94 Ioann. XX 17 — ϲοι om. DE — Χριϲτὸν E — ! ἔφηϲε . . . ἀπαγγέλλουϲα Oct. — 100 οὕτωϲ ὀψίαϲ DE — ϲαββάτων Oct. cf. Ioann. XX —29 — 119 Ioann. XXI 1—13

ὡc δεcπότηc πάντων,
δεξιοῖc τὰ δίκτυα | κελεύειc βαλεῖν·
καὶ ἦν ὁ λόγοc ἔργον εὐθὺc,
καὶ πλῆθοc τῶν ἰχθύων πολὺ
καὶ δεῖπνον ξένον | ἕτοιμον ἐν γῇ·
οὗ μεταcχόντων τότε cου τῶν μαθητῶν
καὶ ἡμᾶc νῦν νοητῶc καταξίωcον ἐντρυφῆcαι,
φιλάνθρωπε κύριε.

ἦχοc πλ. δ'.

Φανερῶν ἑαυτὸν | τοῖc μαθηταῖc ὁ cωτὴρ
μετὰ τὴν ἀνάcταcιν
Cίμωνι δέδωκε | τὴν τῶν προβάτων νομὴν,
εἰc ἀγάπηc ἀντέκτιcιν
τὴν τοῦ ποιμαίνειν φροντίδα αἰτῶν·
διὸ καὶ ἔλεγεν· | εἰ φιλεῖc με, Πέτρε,
ποίμαινε τὰ ἀρνία μου, | ποίμαινε τὰ πρόβατά μου·
ὁ δὲ εὐθέωc ἐνδεικνύμενοc τὸ φιλόcτοργον
περὶ τοῦ ἄλλου μαθητοῦ ἐπυνθάνετο·
ὧν ταῖc πρεcβείαιc, Χριcτὲ, τὴν ποίμνην cου διαφύλαττε
ἐκ λύκων λυμαινομένων αὐτήν.

Ἰδιόμελον (Πεντηκ. 187).
ἦχοc πλ. δ'.

Δεῦτε λαοὶ, | τὴν τριcυπόcτατον θεότητα προcκυνήcωμεν,
υἱὸν ἐν τῷ πατρὶ | cὺν ἁγίῳ πνεύματι·
πατὴρ γὰρ | ἀχρόνωc ἐγέννηcεν
υἱὸν cυναΐδιον καὶ cύνθρονον,
καὶ πνεῦμα ἅγιον ἦν ἐν τῷ πατρὶ
cὺν υἱῷ δοξαζόμενον·
μία δύναμιc, | μία οὐcία, μία θεότηc,
ἣν προcκυνοῦντεc πάντεc λέγομεν·
ἅγιοc ὁ θεὸc | ὁ τὰ πάντα δημιουργήcαc δι' υἱοῦ
cυνεργείᾳ τοῦ ἁγίου πνεύματοc·
ἅγιοc ἰcχυρὸc, | δι' οὗ | τὸν πατέρα ἐγνώκαμεν
καὶ τὸ πνεῦμα τὸ ἅγιον | ἐπεδήμηcεν ἐν κόcμῳ·
ἅγιοc ἀθάνατοc τὸ παράκλητον πνεῦμα,
τὸ ἐκ πατρὸc ἐκπορευόμενον
καὶ ἐν υἱῷ ἀναπαυόμενον·
τριὰc ἁγία, δόξα cοι.

---

120 ὁ δεcπότηc E — 128 cου cωτήρ Oct. — 130 Ioann. XXI 15—23 — cύccημον δέδωκε E — 130. 132 δέδωκαc . . . ἔλεγεc Oct. — 132 διό μοι ἔλ. E — με om. DE — Ἰδιόμελον Λέοντοc] nomen auctoris om. E

ΚΩΝCΤΑΝΤΙΝΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΕΞΑΠΟCΤΕΙΛΑΡΙΑ.

Τοῖc μαθηταῖc cυνέλθωμεν | ἐν ὄρει Γαλιλαίαc,
πίcτει Χριcτὸν θεάcαcθαι | λέγοντα ἐξουcίαν
λαβεῖν τῶν ἄνω καὶ κάτω· | μάθωμεν, πῶc διδάcκει
βαπτίζειν εἰc τὸ ὄνομα | τοῦ πατρὸc ἔθνη πάντα
καὶ τοῦ υἱοῦ
καὶ ἁγίου πνεύματοc, | καὶ cυνεῖναι
τοῖc μύcταιc, ὡc ὑπέcχετο, | ἕωc τῆc cυντελείαc.

Τὸν λίθον θεωρήcαcαι | ἀποκεκυλιcμένον
αἱ μυροφόροι ἔχαιρον· | εἶδον γὰρ νεανίcκον
καθήμενον ἐν τῷ τάφῳ, | καὶ αὐτὸc ταύταιc ἔφη·
Ἰδού, Χριcτὸc ἐγήγερται· | εἴπατε cὺν τῷ Πέτρῳ
τοῖc μαθηταῖc·
ἐν τῷ ὄρει φθάcατε | Γαλιλαίαc,
ἐκεῖ ὑμῖν ὀφθήcεται, | ὡc προεῖπε, τοῖc φίλοιc.

Ὅτι Χριcτὸc ἐγήγερται, | μή τιc διαπιcτείτω·
ἐφάνη τῇ Μαρίᾳ γάρ, | ἔπειτα καθωράθη
τοῖc εἰc ἀγρὸν ἀπιοῦcι· | μύcταιc δὲ πάλιν ὤφθη
ἀνακειμένοιc ἕνδεκα, | οὓc βαπτίζειν ἐκπέμψαc
εἰc οὐρανούc,
ὅθεν καταβέβηκεν, | ἀνελήφθη,
ἐπικυρῶν τὸ κήρυγμα | πλήθεcι τῶν cημείων·

Ταῖc ἀρεταῖc ἀcτράψαντεc | ἴδωμεν ἐπιcτάνταc
ἐν ζωηφόρῳ μνήματι | ἄνδραc ἐν ἀcτραπτούcαιc
ἐcθήcεcι μυροφόροιc | κλινούcαιc εἰc γῆν ὄψιν·
τοῦ οὐρανοῦ δεcπόζοντοc | ἔγερcιν διδαχθῶμεν
καὶ πρὸc ζωῆc
τὸ μνημεῖον δράμωμεν | cὺν τῷ Πέτρῳ
καὶ τὸ πραχθὲν θαυμάcαντεc | μείνωμεν Χριcτὸν βλέψαι.

Ἡ ζωὴ καὶ ὁδὸc Χριcτὸc | ἐκ νεκρῶν τῷ Κλεόπᾳ
καὶ τῷ Λουκᾷ cυνώδευcεν, | οἷcπερ καὶ ἐπεγνώcθη
εἰc Ἐμμαοὺc κλῶν τὸν ἄρτον· | ὧν ψυχαὶ καὶ καρδίαι
καιόμεναι ἐτύγχανον, | ὅτε τούτοιc ἐλάλει
ἐν τῇ ὁδῷ
καὶ γραφαῖc ἡρμήνευεν, | ἃ ὑπέcτη,
μεθ' ὧν «ἠγέρθη» κράζωμεν· | ὤφθη τε καὶ τῷ Πέτρῳ.

Constantini in carminibus cod. D unum adhibuimus — 62 ζωὴν ἐν μνημείῳ Oct.
35 κράξομεν D

Δεικνύων, ὅτι ἄνθρωπος, | cῶτερ, εἶ κατ' οὐcίαν,
ἐν μέcῳ cτὰc ἐδίδαcκεc, | ἀναcτὰc ἐκ τοῦ τάφου
καὶ 'βρώcεωc cυμμετέcχεc, | βάπτιcμα μετανοίαc·
εὐθὺc δὲ πρὸc οὐράνιον | ἀνελήφθηc πατέρα
καὶ μαθηταῖc
πέμπειν τὸν παράκλητον | ἐπηγγείλω,
ὑπέρθεε θεάνθρωπε· | δόξα τῇ cῇ ἐγέρcει.

Ὅτι ἦραν τὸν κύριον | τῆc Μαρίαc εἰπούcηc,
ἐπὶ τὸν τάφον ἔδραμον | Cίμων Πέτροc καὶ ἄλλοc
μύcτηc Χριcτοῦ, ὃν ἠγάπα· | ἔτρεχον δὲ οἱ δύο
καὶ εὗρον τὰ ὀθόνια | ἔνδον κείμενα μόνα,
καὶ κεφαλῆc
ἦν δὲ τὸ coυδάριον | χωρὶc τούτων·
διὸ πάλιν ἡcύχαcαν, | τὸν Χριcτὸν ἕωc εἶδον.

Δύο ἀγγέλουc βλέψαcα | ἔνδοθεν τοῦ μνημείου
Μαρία ἐξεπλήττετο, | καὶ Χριcτὸν ἀγνοοῦcα
ὡc κηπουρὸν ἐπηρώτα· | κύριε, ποῦ τὸ cῶμα
τοῦ Ἰηcοῦ μου τέθεικαc; | κλήcει δὲ τοῦτον γνοῦcα
εἶναι αὐτὸν
τὸν cωτῆρα ἤκουcε· | μή μου ἅπτου,
πρὸc τὸν πατέρα ἄπειμι, | εἰπὲ τοῖc ἀδελφοῖc μου.

Cυγκεκλειcμένων, δέcποτα, | τῶν θυρῶν ὡc εἰcῆλθεc,
τοὺc ἀποcτόλουc ἔπληcαc | πνεύματοc παναγίου
εἰρηνικῶc ἐμφυcήcαc· | οἷc δεcμεῖν τε καὶ λύειν
τὰc ἁμαρτίαc εἴρηκαc· | καὶ ὀκτὼ μεθ' ἡμέραc
τὴν cὴν πλευρὰν
τῷ Θωμᾷ ὑπέδειξαc | καὶ τὰc χεῖραc,
μεθ' οὗ βοῶμεν· κύριοc | καὶ θεὸc cὺ ὑπάρχειc.

Τιβεριάδοc θάλαccα | cὺν παιcὶ Ζεβεδαίου
Ναθαναὴλ τῷ Πέτρῳ τε | cὺν δυcὶν ἄλλοιc πάλαι
καὶ Θωμᾶν εἶχε πρὸc ἄγραν· | οἳ Χριcτοῦ τῇ προcτάξει
ἐν δεξιοῖc χαλάcαντεc | πλῆθοc εἷλκον ἰχθύων,
ὃν Πέτροc γνοὺc
πρὸc αὐτὸν ἐνήξατο· | οἷc τὸ τρίτον
φανεὶc καὶ ἄρτον ἔδειξε | καὶ ἰχθὺν ἐπ' ἀνθράκων.

Μετὰ τὴν θείαν ἔγερcιν | τρὶc τῷ Πέτρῳ, φιλεῖc με,
πυθόμενοc ὁ κύριοc | τῶν ἰδίων προβάτων
προβάλλεται ποιμενάρχην· | ὃc ἰδών, ὃν ἠγάπα

---

38 expectamus cυμμετέχων — 52 κηπωρόν D — 65 Πέτρῳ δέ D — 69 ἐνήχετο Oct.

ὁ Ἰηcοῦc, ἑπόμενον | ἤρετο τὸν δεcπότην·
οὗτοc δὲ τί;
ἐὰν θέλω, ἔφηcε, | μένειν τοῦτον,
ἕωc καὶ πάλιν ἔρχομαι, | τί πρὸc cέ, φίλε Πέτρε;

ΕΞΑΠΟCΤΕΙΛΑΡΙΑ ΑΔΕCΠΟΤΑ.

τῇ κυριακῇ τοῦ Πάcχα (Πεντηκ. cελ. 4)

ἦχοc β΄.

Cαρκὶ ὑπνώcαc ὡc θνητὸc | ὁ βαcιλεὺc καὶ κύριοc
τριήμεροc ἐξανέcτηc,
Ἀδὰμ ἐγείραc ἐκ φθορᾶc | καὶ καταργήcαc θάνατον·
Πάcχα τῆc ἀφθαρcίαc | τοῦ κόcμου cωτήριον.

τῇ μεγάλῃ Δευτέρᾳ (Τριῳδ. cελ. 346)

ἦχοc γ΄.

Τὸν νυμφῶνά cου βλέπω, | cωτήρ μου, κεκοcμημένον,
καὶ ἔνδυμα οὐκ ἔχω, | ἵνα εἰcέλθω ἐν αὐτῷ·
λάμπρυνόν μου τὴν cτολὴν τῆc ψυχῆc,
φωτοδότα, καὶ cῶcόν με.

μνήμη τοῦ Γεωργίου (Ἀπριλ. 23)

ἦχοc β΄.

Ἔαρ ἡμῖν ἐξέλαμψεν | ἡ λαμπρὰ τοῦ δεcπότου
καὶ θεία ἐξανάcταcιc, | πρὸc οὐράνιον πάcχα
ἐκ γῆc ἡμᾶc παραπέμπον· | ταύτῃ δὲ cυνεκλάμπει
τοῦ πανενδόξου μάρτυροc | Γεωργίου ἡ μνήμη,
ἡ φωταυγήc·
ἣν φαιδρῶc τελέcωμεν, | ἵνα θείαc
ἀξιωθῶμεν χάριτοc | πρὸc Χριcτοῦ τοῦ cωτῆροc.

τῶν Χριcτουγέννων (Δεκεμβ. 25)

ἦχοc α΄.

Ἐπεcκέψατο ἡμᾶc | ἐξ ὕψουc ὁ cωτὴρ ἡμῶν,
ἀνατολὴ ἀνατολῶν, | καὶ οἱ ἐν cκότει καὶ cκιᾷ
εὕρομεν τὴν ἀλήθειαν·
καὶ γὰρ ἐκ τῆc παρθένου | ἐτέχθη ὁ κύριοc.

ΑΝΑΤΟΛΙΟΥ

Στιχηρὰ ἀναστάσιμα ἐν τῷ ἑσπερινῷ τοῦ σαββάτου ψαλλόμενα.

α'. ἦχος β'.

Cὲ τὸν σταυρωθέντα καὶ ταφέντα
ἄγγελος ἐκήρυξε δεσπότην
καὶ ἔλεγε ταῖς γυναιξί·
δεῦτε ἴδετε, ὅπου ἔκειτο ὁ κύριος·
ἀνέστη γάρ, καθὼς εἶπεν, | ὡς παντο-
διό σε προσκυνοῦμεν [δύναμος·
τὸν μόνον ἀθάνατον,
Ζωοδότα Χριστέ, | ἐλέησον ἡμᾶς.

Ἐν τῷ σταυρῷ σου κατήργησας
τὴν τοῦ ξύλου κατάραν,
ἐν τῇ ταφῇ σου ἐνέκρωσας
τοῦ θανάτου τὸ κράτος,
ἐν δὲ τῇ ἐγέρσει σου
ἐφώτισας τὸ γένος τῶν ἀνθρώπων·
διὰ τοῦτό σοι βοῶμεν·
εὐεργέτα Χριστέ,
ὁ θεὸς ἡμῶν, δόξα σοί.

Ἠνοίγησάν σοι, κύριε,
φόβῳ πύλαι θανάτου,
πυλωροὶ δὲ ᾅδου | ἰδόντες σε ἔπτηξαν·
πύλας γὰρ χαλκᾶς συνέτριψας
καὶ μοχλοὺς σιδηροῦς συνέθλασας
καὶ ἐξήγαγες ἡμᾶς ἐκ σκότους
καὶ σκιᾶς θανάτου
καὶ τοὺς δεσμοὺς ἡμῶν διέρρηξας.

Τὸν σωτήριον ὕμνον
ᾄδοντες ἐκ στομάτων ἀναπέμψωμεν·
δεῦτε πάντες ἐν οἴκῳ κυρίου
προσπέσωμεν λέγοντες·
ὁ ἐπὶ ξύλου σταυρωθεὶς
καὶ ἐκ νεκρῶν ἀναστὰς
καὶ ὢν ἐν κόλποις πατρὸς
ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν.

β'. ἦχος δ'.

Δεῦτε ἀνυμνήσωμεν, λαοί,
τὴν τοῦ σωτῆρος τριήμερον ἔγερσιν,
δι' ἧς ἐλυτρώθημεν
τῶν τοῦ ᾅδου ἀλύτων δεσμῶν,
καὶ ἀφθαρσίαν καὶ ζωὴν
πάντες ἐλάβομεν, | κράζοντες·
ὁ σταυρωθεὶς καὶ ταφεὶς καὶ ἀναστὰς
σῶσον ἡμᾶς τῇ ἀναστάσει σου,
μόνε φιλάνθρωπε.

Ἄγγελοι καὶ ἄνθρωποι, σωτήρ,
τὴν σὴν ὑμνοῦσιν | τριήμερον ἔγερσιν,
δι' ἧς κατηυγάσθη
τῆς οἰκουμένης τὰ πέρατα,
καὶ τῆς δουλείας τοῦ ἐχθροῦ
πάντες ἐλυτρώθημεν, | κράζοντες·
Ζωοποιὲ παντοδύναμε σωτήρ,
σῶσον ἡμᾶς τῇ ἀναστάσει σου,
μόνε φιλάνθρωπε.

Πύλας χαλκᾶς συνέτριψας
καὶ μοχλοὺς συνέθλασας,
Χριστὲ ὁ θεός,
καὶ γένος ἀνθρώπων
πεπτωκὸς ἀνέστησας·
διὰ τοῦτο συμφώνως βοῶμεν·
ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν,
κύριε, δόξα σοι.

Κύριε, ἡ ἐκ πατρός σου γέννησις
ἄχρονος ὑπάρχει καὶ ἀΐδιος,
ἡ ἐκ παρθένου σάρκωσις
ἄφραστος ἀνθρώποις
καὶ ἀνερμήνευτος,

Codd. ED — α' v. 24 ἀναμέλψωμεν Oct. — 29 τοῦ πατρός Oct. — β' v. 5 κράζοντες sequenti versui D hoc loco, infra v. 13 DE praetexunt — vv. 9—16 post v. 30 collocatos habet D — 23 ὑπῆρχε D — 25 ἄφραστος ὑπάρχει καὶ D

καὶ ἡ εἰς ᾅδου κάθοδος
φοβερὰ διαβόλῳ
καὶ τοῖς ἀγγέλοις αὐτοῦ·
θάνατον γὰρ πατήσας | τριήμερος ἀνέστης,
ἀφθαρσίαν παρέχων ἀνθρώποις
καὶ τὸ μέγα ἔλεος.

γ'. ἦχος πλ. α'.

Ἑσπερινὴν προσκύνησιν
προσφέρομέν σοι τῷ ἀνεσπέρῳ φωτὶ,
τῷ ἐπὶ τέλει τῶν αἰώνων
ὡς ἐν ἐσόπτρῳ διὰ σαρκὸς
λάμψαντι τῷ κόσμῳ
καὶ μέχρις ᾅδου κατελθόντι
καὶ τὸ ἐκεῖσε σκότος λύσαντι,
καὶ τὸ φῶς τῆς ἀναστάσεως τοῖς ἔθνεσι
δείξαντι·
φωτοδότα κύριε, δόξα σοι.

Τὸν ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν
Χριστὸν δοξολογήσωμεν·
αὐτοῦ γὰρ ἐκ νεκρῶν ἀναστάντος
κόσμος ἐκ πλάνης σέσωσται·
χαίρει χορὸς ἀγγέλων·
φεύγει δαιμόνων πλάνη·
Ἀδὰμ πεσὼν ἀνίσταται·
διάβολος κατήργηται.

Οἱ τῆς κουστωδίας ἐνηχοῦντο
ὑπὸ τῶν παρανόμων·
καλύψατε Χριστοῦ τὴν ἔγερσιν
καὶ λάβετε ἀργύρια
καὶ εἴπατε, ὅτι ἡμῶν κοιμωμένων
ἐκ τοῦ μνημείου | ἐσυλήθη ὁ νεκρός·
τίς εἶδε; | τίς ἤκουσε νεκρὸν κλαπέντα
ποτέ,
μάλιστα ἐσμυρνισμένον καὶ γυμνὸν,
καταλιπόντα ἐν τῷ τάφῳ τὰ ἐντάφια;
μὴ πλανᾶσθε, Ἰουδαῖοι·
μάθετε τὰς ῥήσεις τῶν προφητῶν
καὶ γνῶτε, ὅτι αὐτός ἐστιν ἀληθῶς
ὁ λυτρωτὴς τοῦ κόσμου
καὶ παντοδύναμος.

Κύριε, ὁ τὸν ᾅδην σκυλεύσας
καὶ τὸν θάνατον πατήσας, σωτὴρ
ἡμῶν,
ὁ φωτίσας τὸν κόσμον
τῷ σταυρῷ τῷ τιμίῳ,
ἐλέησον ἡμᾶς.

δ'. ἦχος βαρύς.

Κἂν συνελήφθης, Χριστὲ, | ὑπὸ ἀνόμων ἀνδρῶν,
ἀλλὰ σύ μου εἶ θεὸς | καὶ οὐκ αἰσχύνομαι·
ἐμαστίχθης τὸν νῶτον, οὐκ ἀρνοῦμαι·
σταυρῷ προσηλώθης | καὶ οὐ κρύπτω·
εἰς τὴν ἔγερσίν σου καυχῶμαι·
ὁ γὰρ θάνατός σου ζωή μου·
παντοδύναμε καὶ φιλάνθρωπε | κύριε, δόξα σοι.

Δαυϊτικὴν προφητείαν ἐκπληρῶν
Χριστὸς μεγαλειότητα
ἐν Σιὼν τὴν οἰκείαν | μαθηταῖς ἐξεκάλυψεν,
αἰνετὸν δεικνὺς ἑαυτὸν | καὶ δοξαζόμενον ἀεὶ
σὺν πατρί τε καὶ πνεύματι ἁγίῳ,

γ'. v. 13 πλάνην E — 24 καὶ ἐν τῷ E var. lect. — ἐντάφια αὐτοῦ Oct. — 31 σταυρῷ sine τῷ Oct. — δ'. v. 10 ἀπεκάλυψεν D — 11 δοξαζόμενον αὐτόν E

πρότερον μὲν ἄcαρκον ὡc λόγον,
ὕcτερον δὲ δι' ἡμᾶc cεcαρκωμένον
καὶ νεκρωθέντα ὡc ἄνθρωπον,
καὶ ἀναcτάντα | κατ' ἐξουcίαν ὡc φιλάνθρωπον.

Κατῆλθεc ἐν τῷ ᾅδῃ, | Χριcτὲ, ὡc ἠβουλήθηc,
ἐcκύλευcαc τὸν θάνατον | ὡc θεὸc καὶ δεcπότηc
καὶ ἀνέcτηc τριήμεροc,
cυναναcτήcαc τὸν Ἀδὰμ
ἐκ τῶν τοῦ ᾅδου δεcμῶν | καὶ τῆc φθορᾶc,
κραυγάζοντα καὶ λέγοντα·
δόξα τῇ ἀναcτάcει cου, | μόνε φιλάνθρωπε.

Ἐν τάφῳ κατετέθηc | ὡc ὁ ὑπνῶν, κύριε,
καὶ ἀνέcτηc τριήμεροc | ὡc δυνατὸc ἐν ἰcχύϊ,
cυναναcτήcαc τὸν Ἀδὰμ
ἐκ τῆc φθορᾶc τοῦ θανάτου | ὡc παντοδύναμοc.

ε'. ἦχοc πλ. δ'.

Ὁ ἐκ θεοῦ πατρὸc λόγοc, | πρὸ τῶν αἰώνων γεννηθεὶc,
ἐπ' ἐcχάτων δὲ τῶν χρόνων
ὁ αὐτὸc ἐκ τῆc ἀπειρογάμου cαρκωθεὶc,
βουλήcει θάνατον | cταυρώcει ὑπέμεινε
καὶ τὸν πάλαι νεκρωθέντα | ἄνθρωπον ἔcωcε
διὰ τῆc ἑαυτοῦ ἀναcτάcεωc.

Τὴν ἐκ νεκρῶν cου ἀνάcταcιν | δοξολογοῦμεν, Χριcτὲ,
δι' ἧc ἠλευθέρωcαc | Ἀδαμιαῖον γένοc
ἐκ τῆc τοῦ ᾅδου τυραννίδοc
καὶ ἐδωρήcω τῷ κόcμῳ ὡc θεὸc
ζωὴν αἰώνιον | καὶ τὸ μέγα ἔλεοc.

Δόξα cοι, Χριcτὲ cωτὴρ, | υἱὲ θεοῦ μονογενὲc,
ὁ προcπαγεὶc ἐν τῷ cταυρῷ
καὶ ἀναcτὰc | ἐκ τάφου τριήμεροc.

Cὲ δοξάζομεν, κύριε, | τὸν ἑκουcίωc δι' ἡμᾶc
cταυρὸν ὑπομείναντα,
καὶ cὲ προcκυνοῦμεν, | παντοδύναμε cωτὴρ,
μὴ ἀπορρίψῃc ἡμᾶc | ἀπὸ τοῦ προcώπου cου,
ἀλλ' ἐπάκουcον | καὶ cῶcον ἡμᾶc
διὰ τῆc ἀναcτάcεώc cου, φιλάνθρωπε.

ε'. v. 4 cταύρωcιν θανάτου E Oct.

ϛ'. Ἰδιόμελον εἰς τὴν Χριστοῦ γέννησιν (Δεκ. 26)
ἦχος πλ. δ'.

Αἷμα καὶ πῦρ | καὶ ἀτμίδα καπνοῦ
τέρατα γῆς [ἃ] προεῖδεν Ἰωήλ·
αἷμα τὴν σάρκωσιν, | πῦρ τὴν θεότητα,
ἀτμίδα δὲ καπνοῦ | τὸ πνεῦμα τὸ ἅγιον,
τὸ ἐπελθὸν τῇ παρθένῳ | καὶ κόσμον εὐωδιάσαν·
μέγα τὸ μυστήριον | τῆς σῆς ἐνανθρωπήσεως,
κύριε, δόξα σοι.

ζ'. Ἰδιόμελον εἰς τὰ Θεοφάνεια (Ἰαν. 6)
ἦχος πλ. δ'.

Σήμερον ἡ κτίσις φωτίζεται·
σήμερον τὰ πάντα εὐφραίνεται,
τὰ οὐράνια ἅμα καὶ τὰ ἐπίγεια·
ἄγγελοι καὶ ἄνθρωποι συμμίγνυνται·
ὅπου γὰρ βασιλέως παρουσία,
καὶ ἡ τάξις παραγίνεται·
δράμωμεν τοίνυν ἐπὶ τὸν Ἰορδάνην·
ἴδωμεν πάντες τὸν Ἰωάννην,
πῶς βαπτίζει | κορυφὴν ἀχειροποίητον
καὶ ἀναμάρτητον·
διὸ ἀποστολικὴν φωνὴν προσάγοντες
συμφώνως βοήσωμεν·
ἐπεφάνη ἡ χάρις τοῦ θεοῦ,
ἡ σωτήριος πᾶσιν ἀνθρώποις,
καταυγάζουσα | καὶ παρέχουσα πιστοῖς τὸ μέγα ἔλεος.

η'. Ἰδιόμελον εἰς τὸ γενέθλιον Ἰωάννου τοῦ Βαπτιστοῦ (Ἰουν. 24)
ἦχος δ'.

Θεοῦ λόγου μέλλοντος
ἐκ παρθένου τίκτεσθαι,
ἄγγελος ἐκ πρεσβυτικῶν ὠδίνων
προέδραμεν,
ὁ μέγας ἐν γεννητοῖς γυναικῶν
καὶ προφήτου περισσότερος·
ἔδει γὰρ θείων πραγμάτων
παραδόξους εἶναι τὰς ἀρχάς,
παρ' ἡλικίαν τὸ γόνιμον
καὶ ἄνευ σπορᾶς σύλληψιν·
ὁ ποιῶν θαυμάσια εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

θ'. Ἰδιόμελον εἰς τὴν Μαρίαν Μαγδαληνήν (Ἰουλ. 26)
ἦχος πλ. β'.

Πρώτη κατιδοῦσα τὴν θείαν ἀνάστασιν
Μαρία Μαγδαληνὴ | τοῦ πρώτου τῶν ἀγαθῶν αἰτίου,
τοῦ τὴν ἡμετέραν εὐσπλάγχνως φύσιν θεώσαντος,
πρώτη καὶ εὐαγγελίστρια ἐδείχθης βοῶσα | τοῖς ἀποστόλοις·
τὴν ἀθυμίαν ἀποθέμενοι, | τὴν εὐθυμίαν ἀναλάβετε,
καὶ δεῦτε κατοπτεύσατε Χριστὸν | ἐξαναστάντα
καὶ κόσμῳ παρέχοντα τὸ μέγα ἔλεος.

ϛ' v. 2 Joel 2, 30 — ἃ uncinis inclusimus — ζ'. Nomen melodi deest in E — v. 2 εὐφραίνονται Barth. — 11 προσᾴδοντες Barth — η'. Nomen melodi deest in E — 2 στειρωτικῶν ὠδίνων προέρχεται Barth. — 8 σύλληψις Barth. — 9 σωτηρίαν ἡμῶν, δόξα σοι Barth. — θ'. Nomen melodi deest in E — 2 ἡ Μαγδαλ. Barth. — 7 κόσμου E

ι'. Ἰδιόμελον εἰς τὸν πρωτομάρτυρα Στέφανον (Δεκ. 27)
ἦχος β'.

Τῷ βασιλεῖ καὶ δεσπότῃ τοῦ παντὸς
τεχθέντι ἐπὶ γῆς | Στέφανος ὑπέρλαμπρος προσφέρεται,
οὐκ ἐκ λίθων τιμίων κατεσκευασμένος,
ἀλλ' ἐξ οἰκείων αἱμάτων διηνθισμένος·
ἀλλ', ὦ φιλομάρτυρες, δεῦτε
τὰ τῶν ᾀσμάτων | ἄνθη δρεψάμενοι
τὰς κεφαλὰς ἀναδησώμεθα
καὶ τοῖς ὕμνοις ἀναμέλποντες εἴπωμεν·
ὁ σοφίᾳ καταγλαϊσθεὶς | καὶ χάριτι τὴν ψυχὴν,
πρωτομάρτυς Χριστοῦ τοῦ θεοῦ,
αἴτησαι ἡμῖν εἰρήνην | καὶ τὸ μέγα ἔλεος.

ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

Στιχηρὰ ἀναστάσιμα ἐν τῷ ἑσπερινῷ τοῦ σαββάτου ψαλλόμενα.
α'. ἦχος α'.

Τὰς ἑσπερινὰς ἡμῶν εὐχὰς
πρόσδεξαι, ἅγιε, κύριε,
καὶ παράσχου ἡμῖν
ἄφεσιν ἁμαρτιῶν,
ὅτι μόνος εἶ ὁ δείξας
ἐν κόσμῳ τὴν ἀνάστασιν.

Κυκλώσατε, λαοὶ, Σιὼν
καὶ περιλάβετε αὐτὴν,
καὶ δότε δόξαν ἐν αὐτῇ
τῷ ἀναστάντι ἐκ νεκρῶν,
ὅτι αὐτός ἐστιν ὁ θεὸς ἡμῶν,
ὁ λυτρωσάμενος ἡμᾶς
ἐκ τῶν ἀνομιῶν ἡμῶν.

Δεῦτε, λαοὶ, ὑμνήσωμεν
καὶ προσκυνήσωμεν Χριστὸν,
δοξάζοντες αὐτοῦ
τὴν ἐκ νεκρῶν ἀνάστασιν,
ὅτι αὐτός ἐστιν ὁ θεὸς ἡμῶν,
ὁ ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ
τὸν κόσμον λυτρωσάμενος.

θεοτοκίον.

Τὴν παγκόσμιον δόξαν, | τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν
καὶ τὸν δεσπότην τεκοῦσαν, | τὴν ἐπουράνιον πύλην
ὑμνήσωμεν Μαρίαν τὴν παρθένον,
τῶν ἀσωμάτων τὸ ᾆσμα
καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα·
αὕτη γὰρ ἀνεδείχθη
οὐρανὸς | καὶ ναὸς τῆς θεότητος·

ι'. Nomen melodi deest in E — α'. Nomen Ioannis Damasceni et hic et infra deest D, quandoquidem tota Octoechus ad Ioannem Damascenum auctorem referebatur

αὕτη τὸ μεσότοιχον τῆς ἔχθρας καθελοῦσα
εἰρήνην ἀντεισῆξε | καὶ τὸ βασίλειον ἠνέῳξε·
ταύτην οὖν κατέχοντες | τῆς πίστεως τὴν ἄγκυραν
ὑπέρμαχον ἔχομεν | τὸν ἐξ αὐτῆς τεχθέντα κύριον·
θαρσεῖτε τοίνυν, θαρσεῖτε, λαὸς τοῦ θεοῦ·
καὶ γὰρ αὐτὸς πολεμήσει | τοὺς ἐχθροὺς ὡς φιλάνθρωπος.

β'. ἦχος δ'.

Τὸν ζωοποιόν σου σταυρὸν
ἀπαύστως προσκυνοῦντες, Χριστὲ ὁ θεὸς,
τὴν τριήμερόν σου ἀνάστασιν δοξάζομεν·
δι' αὐτῆς γὰρ ἀνεκαίνισας
τὴν καταφθαρεῖσαν τῶν ἀνθρώπων
φύσιν, παντοδύναμε,
καὶ τὴν εἰς οὐρανοὺς ἄνοδον
καθυπέδειξας ἡμῖν,
ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Τοῦ ξύλου τῆς παρακοῆς
τὸ ἐπιτίμιον ἔλυσας, σωτήρ·
τῷ ξύλῳ τοῦ σταυροῦ | ἑκουσίως προσηλωθεὶς
καὶ εἰς ᾅδου κατελθὼν, δυνατὲ,
τοῦ θανάτου τὰ δεσμὰ | ὡς θεὸς διέρρηξας·
διὸ προσκυνοῦμεν | τὴν ἐκ νεκρῶν σου ἀνάστασιν,
ἐν ἀγαλλιάσει βοῶντες·
παντοδύναμε κύριε, δόξα σοι.

Πύλας ᾅδου συνέτριψας, κύριε,
καὶ τῷ σῷ θανάτῳ | τοῦ θανάτου τὸ βασίλειον ἔλυσας·
γένος δὲ τὸ ἀνθρώπινον | ἐκ φθορᾶς ἠλευθέρωσας,
ζωὴν καὶ ἀφθαρσίαν | τῷ κόσμῳ δωρησάμενος
καὶ τὸ μέγα ἔλεος.

θεοτοκίον.

Ὁ διὰ σὲ θεοπάτωρ προφήτης Δαυῒδ
μελῳδικῶς περὶ σοῦ προανεφώνησε
τῷ μεγαλεῖά σοι ποιήσαντι·
παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου·
σὲ γὰρ μητέρα πρόξενον ζωῆς ἀνέδειξεν
ὁ ἀπάτωρ, ἐκ σοῦ | ἐνανθρωπῆσαι εὐδοκήσας θεὸς,
ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα

28 ταύτης D — 30 θαρσείτω τοίνου θαρσείτω Oct. — 31 ὡς παντοδύναμος Oct. — v. 2 ὁ θεός om. D — 8 ἀνεκαίνισας ἡμῖν D — 23 ὁ διὰ σέ DE Oct., sed D in margine scriptum habet γρ. ὁ διὰ σοῦ

φθαρεῖϲαν τοῖϲ πάθεϲι,
καὶ τὸ πλανηθὲν ὀρειάλητον εὑρὼν
πρόβατον, τοῖϲ ὤμοιϲ ἀναλαβὼν
τῷ πατρὶ προϲαγάγῃ,
καὶ τῷ ἰδίῳ θελήματι
ταῖϲ οὐρανίαιϲ ϲυνάψῃ δυνάμεϲι,
καὶ ϲώϲῃ, θεοτόκε, τὸν κόϲμον
Χριϲτὸϲ ὁ ἔχων τὸ μέγα καὶ πλούϲιον ἔλεοϲ.

γ΄. ἦχοϲ πλ. α΄.

Διὰ τοῦ τιμίου ϲου ϲταυροῦ, Χριϲτέ,
διάβολον ᾔϲχυναϲ,
καὶ διὰ τῆϲ ἀναϲτάϲεώϲ ϲου
τὸ κέντρον τῆϲ ἁμαρτίαϲ ἤμβλυναϲ
καὶ ἔϲωϲαϲ ἡμᾶϲ | ἐκ τῶν πυλῶν τοῦ θανάτου·
δοξάζομέν ϲε, μονογενέϲ.

Ὁ τὴν ἀνάϲταϲιν διδοὺϲ | τῷ γένει τῶν ἀνθρώπων
ὡϲ πρόβατον ἐπὶ ϲφαγὴν ἤχθη·
ἔφριξαν τοῦτον | οἱ ἄρχοντεϲ τοῦ ᾅδου,
καὶ ἐπήρθηϲαν πύλαι ὀδυνηραί·
εἰϲελήλυθε γὰρ | ὁ βαϲιλεὺϲ τῆϲ δόξηϲ Χριϲτόϲ,
λέγων τοῖϲ ἐν δεϲμοῖϲ· ἐξέλθετε,
καὶ τοῖϲ ἐν τῷ ϲκότει· ἀνακαλύπτεϲθε.

Μέγα θαῦμα! ὁ τῶν ἀοράτων κτίϲτηϲ,
διὰ φιλανθρωπίαν | ϲαρκὶ παθών,
ἀνέϲτη ὁ ἀθάνατοϲ·
δεῦτε, πατριαὶ τῶν ἐθνῶν,
τοῦτον προϲκυνήϲωμεν·
τῇ γὰρ αὐτοῦ εὐϲπλαγχνίᾳ
ἐκ πλάνηϲ ῥυϲθέντεϲ
ἐν τριϲὶν ὑποϲτάϲεϲιν | ἕνα θεὸν ὑμνεῖν μεμαθήκαμεν.

θεοτοκίον.

Ἐν τῇ ἐρυθρᾷ θαλάϲϲῃ | τῆϲ ἀπειρογάμου νύμφηϲ
εἰκὼν διεγράφη ποτέ·
ἐκεῖ Μωϋϲῆϲ | διαιρέτηϲ τοῦ ὕδατοϲ,
ἐνθάδε Γαβριὴλ | ὑπηρέτηϲ τοῦ θαύματοϲ·
τότε τὸν βυθὸν ἐπέζευϲεν | ἀβρόχωϲ Ἰϲραήλ,
νῦν δὲ τὸν Χριϲτὸν ἐγέννηϲεν | ἀϲπόρωϲ ἡ παρθένοϲ·
ἡ θάλαϲϲα | μετὰ τὴν πάροδον τοῦ Ἰϲραὴλ
ἔμεινεν ἄβατοϲ·

---

31 ὀρειάλωτον Oct.

ἡ ἄμεμπτοϲ | μετὰ τὴν κύηϲιν τοῦ Ἐμμανουὴλ
ἔμεινεν ἄφθοροϲ·
ὁ ὢν καὶ προὼν | καὶ φανεὶϲ ὡϲ ἄνθρωποϲ θεόϲ,
ἐλέηϲον ἡμᾶϲ.

δ'. Ἰδιόμελον εἰϲ τὴν Ὑπαπαντὴν τοῦ Χριϲτοῦ (Φεβ. 2)
ἦχοϲ πλ. β'.

Ἀνοιγέϲθω ἡ πύλη τοῦ οὐρανοῦ ϲήμερον·
ὁ γὰρ ἄναρχοϲ λόγοϲ τοῦ πατρόϲ,
ἀρχὴν λαβὼν χρονικήν, | μὴ ἐκϲτὰϲ τῆϲ αὐτοῦ θεότητοϲ,
ὑπὸ παρθένου ὡϲ βρέφοϲ τεϲϲαρακονθήμερον
μητρὸϲ ἑκὼν προϲφέρεται | ἐν ναῷ τῷ νομικῷ·
καὶ τοῦτον ἀγκάλαιϲ εἰϲδέχεται ὁ πρέϲβυϲ,
ἀπόλυϲον, κράζων, τὸν δοῦλον ὁ δεϲπότηϲ·
οἱ γὰρ ὀφθαλμοί μου | εἶδον τὸ ϲωτήριόν ϲου·
ὁ ἐλθὼν εἰϲ τὸν κόϲμον | ϲῶϲαι γένοϲ ἀνθρώπων·
κύριε, δόξα ϲοι.

ε'. Ἰδιόμελον εἰϲ τὸν ἀρχάγγελον Γαβριὴλ (Μαρτ. 26)
ἦχοϲ πλ. β'.

Ἀπεϲτάλη ἐξ οὐρανοῦ | Γαβριὴλ ὁ ἀρχάγγελοϲ,
εὐαγγελίϲαϲθαι | τῇ παρθένῳ τὴν ϲύλληψιν·
καὶ ἐλθὼν εἰϲ Ναζαρὲτ | ἐλογίζετο ἐν ἑαυτῷ
τὸ θαῦμα ἐκπληττόμενοϲ,
ὅτι πῶϲ | ὁ ἐν ὑψίϲτοιϲ ἀκατάληπτοϲ ὢν
ἐκ παρθένου τίκτεται!
ὁ ἔχων θρόνον τὸν οὐρανὸν | καὶ ὑποπόδιον τὴν γῆν
ἐν μήτρᾳ χωρεῖται γυναικόϲ!
ᾧ τὰ ἑξαπτέρυγα καὶ πολυόμματα
ἀτενίϲαι οὐ δύνανται,
λόγῳ μόνῳ, | ἐκ ταύτηϲ ϲαρκωθῆναι ηὐδόκηϲε·
θεοῦ ἐϲτι λόγοϲ ὁ παρών·
τί οὖν ἵϲταμαι | καὶ οὐ λέγω τῇ κόρῃ;
χαῖρε, κεχαριτωμένη· | ὁ κύριοϲ μετὰ ϲοῦ·
χαῖρε, ἁγνὴ παρθένε· | χαῖρε, νύμφη ἀνύμφευτε·
χαῖρε, μήτηρ τῆϲ ζωῆϲ· | εὐλογημένοϲ ὁ καρπὸϲ τῆϲ κοιλίαϲ ϲ

ϛ'. Ἰδιόμελον εἰϲ τὸν μάρτυρα Γεώργιον (Ἀπριλ. 23)
ἦχοϲ β'.

Νευέτω δίκαια, | ἔφηϲεν ὁ Ϲολομών,
τοῖϲ βροτοῖϲ τὰ βλέφαρα·

δ'. v. 7 ὁ δοῦλοϲ τῷ δεϲπότῃ Barth. — ε'. Ἰωάννου μοναχοῦ E — 7 τὸν om. Bar
— ϛ'. Ἰωάννου μοναχοῦ τοῦ Δαμαϲκηνοῦ E — v. 1 Paroim. X 10

ἐλεηθήcεται γὰρ παρὰ Χριcτοῦ τοῦ θεοῦ
ὁ βλέπων λεῖα, προηγόρευcεν·
εὐμαρῶc δὲ ταῦτα ἐνωτιcθεὶc,
ὦ πολύτλα Γεώργιε,
τοῦ δεcπότου ταῖc διδαχαῖc ἠκολούθηcαc,
καὶ ἀνόμοιc ἐκδοθεὶc ἐκαρτέρηcαc,
τῆc πλάνηc τὰ ὄργια | καταπτύcαc ὡc βέβηλα·
τὸ cῶμα γὰρ, ὃ παρέδωκαc | ὑπὲρ ἀγάπηc τοῦ κτίcαντοc,
ὅλον μεληδὸν κατετέμνετο·
καὶ ὁ Βελίαρ μᾶλλον | ὅλοc αἰcχυνθεὶc ἐτιτρώcκετο,
cτεφηφόρον cε ὁρῶν ἀκμαιότατον·
ὅθεν ἐν αὐλαῖc οἰκῶν τοῦ κυρίου cου
cὺν ταῖc ἄνω δυνάμεcι
πρέcβευε, ἀθλοφόρε, Χριcτῷ
cωθῆναι τὰc ψυχὰc ἡμῶν.

ΘΕΟΦΑΝΟΥC

α'. Ἰδιόμελον εἰc Κοcμᾶν καὶ Δαμιανὸν (Νοεμ. 1)
ἦχοc δ'.

Πηγὴν ἰαμάτων ἔχοντεc, | ἅγιοι ἀνάργυροι,
τὰc ἰάcειc παρέχετε | πᾶcι τοῖc δεομένοιc,
ὡc μεγίcτων δωρεῶν ἀξιωθέντεc
παρὰ τῆc ἀεννάου πηγῆc | τοῦ cωτῆροc Χριcτοῦ·
φηcὶ γὰρ πρὸc ὑμᾶc ὁ κύριοc
ὡc ὁμοζήλουc τῶν ἀποcτόλων·
Ἰδοὺ | δέδωκα ὑμῖν τὴν ἐξουcίαν
κατὰ πνευμάτων ἀκαθάρτων,
ὥcτε αὐτὰ ἐκβάλλειν | καὶ θεραπεύειν
πᾶcαν νόcον | καὶ πᾶcαν μαλακίαν·
διὸ τοῖc προcτάγμαcιν | αὐτοῦ καλῶc πολιτευcάμενοι
δωρεὰν ἐλάβετε, | δωρεὰν παρέχετε,
ἰατρεύοντεc τὰ πάθη
τῶν ψυχῶν καὶ τῶν cωμάτων ἡμῶν.

β'. Ἰδιόμελον εἰc τὸν Εὐαγγελιcμὸν τῆc θεοτόκου (Μαρτ. 25)
ἦχοc β'.

Τὸ ἀπ' αἰῶνοc μυcτήριον
ἀνακαλύπτεται cήμερον·

---

3 Paroim. XII 13 — 7 ταῖc om. E — 10 γὰρ δοὺc E — 14 ἐν om. E — 16 Χριcτοῦ E
α'. Θεοφάνουc καὶ Ἀνατολίου E — 7 Matth. X 1. Marc. VI 7. Luc. IX 1 — β'. Nomen Iodi deest in E

καὶ ὁ υἱὸϲ τοῦ θεοῦ | υἱὸϲ ἀνθρώπου γίνεται,
ἵνα τοῦ χείρονοϲ μεταλαβὼν
μεταδῷ μοι τοῦ βελτίονοϲ·
ἐψεύϲθη πάλαι Ἀδὰμ
καὶ θεὸϲ ἐπιθυμήϲαϲ | οὐ γέγονεν·
ἄνθρωποϲ γίνεται θεόϲ,
ἵνα θεὸν τὸν Ἀδὰμ ἀπεργάϲηται·
εὐφραινέϲθω ἡ κτίϲιϲ, | χορευέτω ἡ φύϲιϲ,
ὅτι ἀρχάγγελοϲ παρθένῳ
μετὰ δέουϲ παρίϲταται,
καὶ τὸ χαῖρε κομίζει | τῆϲ λύπηϲ ἀντίθετον·
ὁ διὰ ϲπλάγχνα ἐλέουϲ ἐνανθρωπήϲαϲ
θεὸϲ ἡμῶν, δόξα ϲοι.

γʹ. Ἰδιόμελον εἰϲ τὴν Κοίμηϲιν τῆϲ θεοτόκου (Αὐγ. 15)
ἦχοϲ πλ. αʹ.

Δεῦτε, φιλεόρτων τὸ ϲύϲτημα,
δεῦτε καὶ χορείαν ϲτηϲώμεθα·
δεῦτε καταϲτέψωμεν | ᾄϲμαϲι τὴν ἐκκληϲίαν
τῇ καταπαύϲει | τῆϲ κιβωτοῦ τοῦ θεοῦ·
ϲήμερον γὰρ οὐρανὸϲ | ὑφαπλοῖ τοὺϲ κόλπουϲ,
δεχόμενοϲ τὴν τετοκυῖαν | τὸν ἐν πᾶϲι μὴ χωρούμενον·
καὶ ἡ γῆ, τὴν πηγὴν τῆϲ ζωῆϲ
ἀποδιδοῦϲα, τὴν εὐλογίαν ϲτολίζεται καὶ εὐπρέπειαν·
ἄγγελοι χοροϲτατοῦϲι | ϲὺν ἀποϲτόλοιϲ,
περιδεῶϲ ἐνατενίζοντεϲ
ἐκ ζωῆϲ εἰϲ ζωὴν μεθιϲταμένηϲ
τῆϲ τεκούϲηϲ τὸν ἀρχηγὸν τῆϲ ζωῆϲ·
πάντεϲ προϲκυνήϲωμεν | αὐτὴν δεόμενοι·
ϲυγγενοῦϲ οἰκειότητοϲ | μὴ ἐπιλάθῃ, δέϲποινα,
τῶν πιϲτῶϲ ἑορταζόντων | τὴν παναγίαν ϲου κοίμηϲιν.

δʹ. Ϲτιχηρὰ νεκρώϲιμα κατὰ τοὺϲ ὀκτὼ ἤχουϲ.

Ἡ ἀκροϲτιχίϲ: Ϲοὺϲ, Χριϲτέ, δούλουϲ γράψον ἐν ζώντων βίβλῳ.

ἦχοϲ αʹ. κατὰ τὸ «Πανεύφημοι μάρτυρεϲ ἡμᾶϲ.»

Ϲοῦ, ϲῶτερ, δεόμεθα, | τῆϲ ϲῆϲ
γλυκείαϲ μεθέξεωϲ
τοὺϲ μεταϲτάνταϲ ἀξίωϲον
καὶ καταϲκήνωϲον

v. 3 θεοῦ καὶ υἱόϲ E — 13 χαῖρε χορεύει E — γʹ. Nomen melodi deest in E — v. 5 ἐφαπλοῖ Barth. — 6 τεξαμένην E — 8 ϲτολίζεται τὴν εὐπρ. E — 11 μεθιϲταμένην τὴν τεκοῦϲαν E — 14 οἰκειώϲεωϲ E — δʹ. Cod. D: Τὰ προϲόμοια τῶν ὀκτὼ ἤχων τὰ νεκρώϲιμα, ὧν ἡ ἀκρ. cui titulo in margine eiusdem codicis manu recentiore addita sunt haec: ταῦτα ψάλλεται εἰϲ τοὺϲ αἴνουϲ ἀπὸ ϲτίχου. Ed. Ven. Triodii a. 1869: Ἀπόϲτιχα τὰ ἑπόμενα Προϲόμοια Νεκρώϲιμα, ποίημα Θεοφάνουϲ, ὧν καὶ τῶν εἰϲ τοὺϲ λοιποὺϲ ἤχουϲ ἐν τοῖϲ ἄλλοιϲ ϲάββαϲι τοιούτων Προϲομοίων ὁμοῦ ἡ ἀκρ. et paulo supra: κατ' ἦχον ψαλλόμενα καθ' ὅλην τὴν ἁγίαν καὶ μεγάλην Τεϲϲαρακοϲτήν. — v. 3 ἀνάπαυϲον Triod.

ἐν cκηναῖc ἁγίων, | ἐν μοναῖc δικαίων cου,
ἐν τοῖc ἐπουρανίοιc cκηνώμαcι,
τῇ εὐcπλαγχνίᾳ cου
παρορῶν τὰ παραπτώματα
καὶ παρέχων | αὐτοῖc τὴν cυγχώρηcιν.

Οὐδεὶc ἀναμάρτητοc, | οὐδεὶc
τῶν ἀνθρώπων γέγονεν,
εἰ μὴ cὺ, μόνε ἀθάνατε·
διὸ τοὺc δούλουc cου,
ὡc θεὸc οἰκτίρμων, ἐν φωτὶ κατάταξον
cὺν ταῖc χοροcταcίαιc ἀγγέλων cου,
τῇ εὐcπλαγχνίᾳ cου
ὑπερβαίνων ἀνομήματα
καὶ παρέχων | αὐτοῖc τὴν ἀνάπαυcιν.

Ὑπὲρ τὰ ὁρώμενα | τὰ cὰ,
cῶτερ, ἐπαγγέλματα,
ἃ ὀφθαλμὸc οὐ τεθέαται
καὶ οὖc οὐκ ἤκουcε
καὶ ἐπὶ καρδίαν | οὐκ ἀνέβη πώποτε,
ὧν τῆc προcηνεcτάτηc μεθέξεωc
τυχεῖν εὐδόκηcον
τοὺc πρὸc cὲ μεταχωρήcανταc
καὶ παράcχου | ζωὴν τὴν αἰώνιον.

Cταυρῷ cου γηθόμενοι, | cταυρῷ
θαρροῦντεc οἱ δοῦλοί cου
πρὸc cὲ μετέcτηcαν, κύριε,
οἷc νῦν ἀντίλυτρον
τῶν δεινῶν πταιcμάτων | τὸν cταυρόν cου δώρηcαι
καὶ αἷμα τὸ χυθὲν ὑπὲρ κόcμου ζωῆc,
τῇ εὐcπλαγχνίᾳ cου
cυγχωρῶν τὰ πλημμελήματα
καὶ φωτίζων | φωτὶ τοῦ προcώπου [cου.

Χριcτὸν ἐκδυcώπηcον, | τὸν cὸν
τόκον, μητροπάρθενε,
τὴν τῶν πταιcμάτων cυγχώρηcιν
δοῦναι τοῖc δούλοιc cου,
τοῖc cὲ θεοτόκον | εὐcεβῶc κηρύξαcι
καὶ λόγῳ ἀληθεῖ δογματίcαcι,
καὶ τῆc λαμπρότητοc
τῶν ἁγίων καὶ φαιδρότητοc
ἀξιῶcαι | ἐν τῇ βαcιλείᾳ cου.

ἦχος β'.
κατὰ τὸ «Ὅτε ἐκ τοῦ ξύλου cε νεκρόν.»

Ῥύμην τοῦ θανάτου καὶ φθορὰν
coῦ τῷ ζωηφόρῳ θανάτῳ | καθεῖλεc, δέcποτα,
πᾶcι δὲ ἐπήγαcαc | ζωὴν αἰώνιον,
καὶ νεκρῶν ἐξανάcταcιν | θνητοῖc ἐδωρήcω·
ὅθεν cου δεόμεθα, | cῶτερ, ἀνάπαυcον
πίcτει τοὺc πρὸc cὲ μεταcτάνταc
καὶ τοῦ γλυκαcμοῦ τοῦ coῦ κάλλουc
τούτουc καταξίωcον, φιλάνθρωπε.

Ἵνα τοὺc ἀνθρώπουc κοινωνοὺc
θείαc βαcιλείαc ἐργάcῃ, | cταυρὸν ὑπέμειναc,
θάνατον ἑκούcιον | καταδεξάμενοc·
ἀλλὰ νῦν cου δεόμεθα, τῇ cῇ εὐπλαγχνίᾳ
μετόχουc ἀνάδειξον | τῆc βαcιλείαc cου

5 δικαίων ἐν μοναῖc ἁγίων Triod. — 9 τὴν ἀνάπαυcιν Triod. — 18 τὴν cυγχώρηcιν Triod. — 23 ἀνέβη δέcποτα D — 32 τῶν αὐτῶν Triod. — II 4 νεκροῖc Triod. — 7 καὶ τῆc ἀκηράτου cou δόξηc Triod. — 12 διὰ τοῦτο δεόμεθα Triod.

πίϲτει τοὺϲ πρὸϲ ϲὲ μεταϲτάνταϲ,
καὶ τῆϲ ἀθανάτου ϲου δόξηϲ
τούτουϲ καταξίωϲον, φιλάνθρωπε.

Ϲῶϲαι τὸ ϲὸν πλάϲμα βουληθεὶϲ,
τῆϲ οἰκονομίαϲ τὸ ὄντωϲ | βαθὺ μυϲτήριον
θέλων ἐξετέλεϲαϲ | ὡϲ ὑπεράγαθοϲ,
καὶ τιμῆϲ ἐξηγόραϲαϲ | τὸν ϲύμπαντα κόϲμον
αἵματι τιμίῳ ϲου· | διὸ δεόμεθα,
πίϲτει τοὺϲ πρὸϲ ϲὲ μεταϲτάνταϲ
μετὰ τῶν ἁγίων ἁπάντων
τῆϲ ἀπολυτρώϲεωϲ ἀξίωϲον.

Τρόμῳ τῷ φρικτῷ καὶ φοβερῷ
βήματι τῷ ϲῷ παρεϲτῶτεϲ | οἱ ἀπ᾽ αἰῶνοϲ νεκροὶ
ψῆφον ἀναμένουϲι | τὴν ϲὴν δικαίαν, ϲωτὴρ,
καὶ τὴν θείαν ἐκδέχονται | δικαιοκριϲίαν·
τότε φεῖϲαι, δέϲποτα | Χριϲτὲ, τῶν δούλων ϲου·
πίϲτει τοὺϲ πρὸϲ ϲὲ μεταϲτάνταϲ
καὶ τῆϲ ἀϊδίου τρυφῆϲ ϲου
καὶ μακαριότητοϲ ἀξίωϲον.

Εὔαϲ τῆϲ προμήτοροϲ, ἁγνὴ,
ϲὺ τὴν ὀφειλὴν ϲυλλαβοῦϲα, | Χριϲτὸν ἀπήτηϲαϲ,
τὸν τὴν ἀφθαρϲίαν τε | καὶ τὴν ἀνάϲταϲιν
τοῖϲ πιϲτοῖϲ χαριζόμενον | καὶ τῇ ἀθανάτῳ
δόξῃ καταϲτέφοντα | τοὺϲ ϲὲ δοξάζονταϲ·
ὃν νῦν δυϲωποῦϲα μὴ παύϲῃ,
τούτουϲ ἐν φωτὶ κατατάξαι
τῆϲ αὐτοῦ λαμπρότητοϲ, θεόνυμφε.

ἦχοϲ γ΄.
κατὰ τὸ «Τῷ τύπῳ τοῦ ϲταυροῦ.»

Δοξάζω τὸν ϲταυρόν ϲου τὸν τίμιον,
δι᾽ οὗ ζωὴ δεδώρηται | καὶ τρυφῆϲ ἡ ἀπόλαυϲιϲ
τοῖϲ ἐν πίϲτει καὶ πόθῳ ϲε ὑμνοῦϲι, | μόνε πολυέλεε·
διὸ βοῶμέν ϲοι, Χριϲτὲ ὁ θεόϲ·
τοὺϲ μεταϲτάνταϲ ἐξ ἡμῶν ἀνάπαυϲον,
ἔνθα πάντων ἐϲτὶν | εὐφραινομένων ἡ κατοικία ἐν ϲοί.

---

15 ἀϊδίου Triod. — 16 καὶ μακαριότητοϲ ἀξίωϲον Triod. — 19 χαίρων Triod. — αἵματοϲ τιμίου D — 23 καὶ τοῦ γλυκυτάτου ϲου κάλλουϲ· τούτουϲ καταξίωϲον φιλάνθρω Triod. — 29 ϲῶτερ Triod. — 30 τῶν .... μεταϲτάντων D — 34 θεόν Triod. — 36 χα ϲάμενον D — 37 ϲτεφανώϲαντα Triod.

Ὁ μόνος ἐλεήμων καὶ εὔcπλαγχνος,
ὁ ἔχων ἀκατάληπτον | ἀγαθότητος πέλαγος,
ὁ γινώςκων τὴν φύςιν τῶν ἀνθρώπων, | ἣν ἐδημιούργηςας,
cὲ ἱκετεύομεν, Χριςτὲ ὁ θεός·
τοὺς μεταςτάντας ἐξ ἡμῶν ἀνάπαυςον,
ἔνθα πάντων ἐςτὶν | εὐφραινομένων ἡ κατοικία ἐν coί.

Ὑπνώςας ἐν τῷ τάφῳ ὡς ἄνθρωπος,
δυνάμει ἀηττήτῳ cου | ὡς θεὸς ἐξανέςτηςας
τοὺς ἐν τάφοις ὑπνοῦντας, ἀςιγήτως | ὕμνον coι προςφέροντας·
διὸ βοῶμέν coι, Χριςτὲ ὁ θεός·
τοὺς μεταςτάντας ἐξ ἡμῶν ἀνάπαυςον,
ἔνθα πάντων ἐςτὶν | εὐφραινομένων ἡ κατοικία ἐν coί.

Λαμπάδα νοητήν cε, βαςτάζουςαν
τὸ φέγγος τῆς θεότητος | ὁμιλῆςαν παχύτητι
τῆς ἀνθρώπων οὐςίας, θεοτόκε, | πάντες ἐπιςτάμεθα·
τὸν cὸν δυςώπηςον υἱὸν καὶ θεόν,
τοὺς μεταςτάντας ἐξ ἡμῶν ἀνάπαυςον,
ἔνθα πάντων ἐςτὶν | εὐφραινομένων ἡ κατοικία ἐν coί.

ἦχος δ'.
κατὰ τὸ «Ἔδωκας cημείωςιν.»

Ὄντως φοβερώτατον | τὸ τοῦ θανάτου μυςτήριον!
πῶς ψυχὴ ἐκ τοῦ ςώματος
βιαίως χωρίζεται | ἐκ τῆς ἁρμονίας,
καὶ τῆς ςυμφυΐας | ὁ φυςικώτατος δεςμὸς
θείῳ βουλήματι ἀποτέμνεται;
διό cε ἱκετεύομεν· | τοὺς μεταςτάντας ἀνάπαυςον
ἐν ςκηναῖς τῶν δικαίων cου, | ζωοδότα φιλάνθρωπε.

Ὕπνος ἀναδέδεικται | τῶν πιςτευόντων ὁ θάνατος,
coῦ τεθέντος ἐν μνήματι,
τοῦ πάντων δεςπόζοντος | καὶ τὸ τοῦ θανάτου
κράτος λελυκότος | καὶ καταργήςαντος αὐτοῦ
τὴν δυναςτείαν τὴν πολυχρόνιον·
διό cε ἱκετεύομεν· τοὺς μεταςτάντας ἀνάπαυςον
ἐν ςκηναῖς τῶν δικαίων cου, | ζωοδότα φιλάνθρωπε.

Cὺ δικαιοςύνη τε | καὶ φωτιςμὸς ἡμῖν γέγονας
καὶ ψυχῶν ἀπολύτρωςις·

III v. 11. 17. 23 ἐν τρυφῇ ἀνάπαυςον D — 14 ἐξανάςτηςον D — 15 τάφῳ ὑμνοῦντας od. — 21 τῆς τῶν D — 23 ἀναπαῦςαι Triod. — IV 6 διὸ ςῶτερ τοὺς δούλους cου D — 4 ἁγίων Triod. — 12 πολυμήχανον D — 15 τε ἁγιαςμός Triod.

πατρὶ γὰρ προϲήγαγεϲ | δεδικαιωμένουϲ
καὶ λελυτρωμένουϲ, | ἀναδεξάμενοϲ ἡμῶν
τὸ ὀφειλόμενον ἐπιτίμιον·
καὶ νῦν ἐκδυϲωποῦμέν ϲε· τοὺϲ μεταϲτάνταϲ ἀνάπαυϲον
ἐν χαρᾷ καὶ φαιδρότητι, | εὐεργέτα ϲωτὴρ ἡμῶν.

Γένοϲ τὸ ἀνθρώπινον | πρὸϲ ἀφθαρϲίαν ἀνώλεθρον
ἐκ φθορᾶϲ ἀνακέκληται,
λουϲάμενον αἵματι | τῷ ἐκ τῆϲ πλευρᾶϲ ϲου,
ϲῶτερ, κενωθέντι, | ἐν ᾧ ἀπέπλυναϲ ἡμᾶϲ
τῆϲ παραβάϲεωϲ τοῦ προπάτοροϲ·
διό ϲε ἱκετεύομεν· τοὺϲ μεταϲτάνταϲ ἀνάπαυϲον
ἐν μοναῖϲ αἰωνίοιϲ ϲου, | ἐν χοροῖϲ τῶν μαρτύρων ϲου.

Ῥήϲεϲιν ἑπόμενοι | τῶν θεηγόρων, πανάμωμε,
θεοτόκον φρονοῦμέν ϲε·
θεὸν γὰρ ἐγέννηϲαϲ | ϲεϲωματωμένον
ἀπερινοήτωϲ, | τὸν λυτρωϲάμενον ἡμᾶϲ
τοὺϲ αἰχμαλώτουϲ τοῖϲ παραπτώμαϲιν·
ὃν καὶ νῦν ἐκδυϲώπηϲον, | τοὺϲ μεταϲτάνταϲ οἰκέταϲ ϲου
ταῖϲ οἰκείαιϲ ἐλλάμψεϲι | καταυγάϲαι, φιλάγαθε.

ἦχοϲ πλ. α'.
κατὰ τὸ «Χαίροιϲ ἀϲκητικῶν ἀληθῶϲ.»

Αἴγλῃ τοῦ ϲοῦ προϲώπου, Χριϲτέ,
τοὺϲ μεταϲτάνταϲ | ὡϲ οἰκτίρμων κατάταξον,
ϲκηνώϲαϲ | εἰϲ τόπον χλόηϲ, | ἐπὶ ὑδάτων τῆϲ ϲῆϲ
ἀκραιφνοῦϲ καὶ θείαϲ | ἀναπαύϲεωϲ,
ἐν τοῖϲ ὀρεκτοῖϲ κόλποιϲ | Ἀβραὰμ τοῦ προπάτοροϲ,
ἔνθα τὸ φῶϲ ϲου | καθαρὸν ἐπιφαίνεται
καὶ προχέουϲιν | αἱ πηγαὶ τῆϲ χρηϲτότητοϲ,
ἔνθα περιχορεύουϲι | τρανῶϲ ἀγαλλόμεναι
αἱ τῶν δικαίων χορεῖαι | περὶ τὴν ϲὴν ἀγαθότητα,
μεθ' ὧν κατατάξαι
τοὺϲ ἱκέταϲ ϲου παράϲχου | ὡϲ μόνοϲ εὔϲπλαγχνοϲ.

Ψάλλειν παναρμονίῳ φωνῇ
δοξολογοῦνταϲ | τὸ ϲὸν κράτοϲ εὐόδηϲον,
οἰκτίρμον, | τοὺϲ μεταϲτάνταϲ | ἐκ τῶν προϲκαίρων πρὸϲ ϲὲ
τὸν δεϲπότην πάντων | καὶ φιλάνθρωπον,

---

28 ϲκηναῖϲ Triod. — 35 πανάχραντε Triod. — V 3 ϲκηνῶϲαι Triod. — 6 καθαρῶϲ ἀ-φέρεται D — 9 τῶν ἀγγέλων Triod. — 11. 33 παράϲχου τὸ μέγα ἔλεοϲ Triod. — 12 ψάλ Triod. — 13 κράτοϲ εὐδόκηϲον Triod.

διδοὺϲ ὡραιότητι | τοῦ ϲοῦ κάλλουϲ ἐλλάμπεϲθαι
καὶ τῆϲ γλυκείαϲ | καὶ τερπνῆϲ μετουϲίαϲ ϲου
ἀπολαύειν τε | καὶ τρυφᾶν καθαρώτερον,
ἔνθα περὶ τὸν θρόνον ϲου | χορεύουϲιν ἄγγελοι
καὶ τῶν ἁγίων οἱ δῆμοι | χαρμονικῶϲ περιέπουϲι·
μεθ᾽ ὧν τοῖϲ ϲοῖϲ δούλοιϲ
τὴν ἀνάπαυϲιν παράϲχου | καὶ μέγα ἔλεοϲ.

Ὅπου τῶν προφητῶν οἱ χοροί,
τῶν ἀποϲτόλων | καὶ μαρτύρων τὰ τάγματα
καὶ πάντων | τῶν ἀπ᾽ αἰῶνοϲ | δικαιωθέντων τῷ ϲῷ
ϲωτηρίῳ πάθει | καὶ τῷ αἵματι,
δι᾽ οὗ ἐξηγόραϲαϲ | τὸν αἰχμάλωτον ἄνθρωπον,
ἐκεῖ τοὺϲ πίϲτει | κοιμηθένταϲ ἀνάπαυϲον,
ὡϲ φιλάνθρωποϲ | ϲυγχωρῶν τὰ ἐγκλήματα·
μόνοϲ γὰρ ἀναμάρτητοϲ | ἐν γῇ πεπολίτευϲαι,
ἅγιοϲ μόνοϲ καὶ μόνοϲ | ἐν τεθνεῶϲιν ἐλεύθεροϲ·
διὸ τοῖϲ ϲοῖϲ δούλοιϲ
τὴν ἀνάπαυϲιν παράϲχου | ὡϲ μόνοϲ εὔϲπλαγχνοϲ.

Νόμῳ τῆϲ ἁμαρτίαϲ ἡμᾶϲ
δεδουλωμένουϲ | ἠλευθέρωϲαϲ, δέϲποινα,
ἐν μήτρᾳ | τὸν νομοθέτην | καὶ βαϲιλέα ἡμῶν
ϲυλλαβοῦϲα μόνη, | μητροπάρθενε,
δι᾽ ὃν δικαιούμεθα | δωρεᾷ τε καὶ χάριτι·
ὃν νῦν δυϲώπει, | τὰϲ ψυχὰϲ τῶν ὑμνούντων ϲε
θεομήτορα | κατατάξαι ἐν βίβλῳ ζωῆϲ,
ὅπωϲ τῇ μεϲιτείᾳ ϲου | ϲωθέντεϲ, πανάμωμε,
τῆϲ τοῦ υἱοῦ ϲου εὐκταίαϲ | ἀπολυτρώϲεωϲ τύχωϲιν,
αὐτὸν προϲκυνοῦντεϲ
τὸν παρέχοντα τῷ κόϲμῳ | τὸ μέγα ἔλεοϲ.

ἦχοϲ πλ. β΄.
κατὰ τὸ «Ὅλην ἀποθέμενοι.»

Ἔχων ἀκατάληπτον | τὴν εἰϲ ἡμᾶϲ εὐπλαγχνίαν
καὶ πηγὴν ἀκένωτον | θεϊκῆϲ χρηϲτότητοϲ,
πολυέλεε,
τοὺϲ πρὸϲ ϲέ, δέϲποτα, | μεταβεβηκόταϲ
ἐν γῇ ζώντων καταϲκήνωϲον,

---

16 ὡραιότητοϲ Triod. — ἐκλάμπεϲθαι D — 21 τοὺϲ ϲοὺϲ δούλουϲ D — 23 ὁ χορόϲ
›d. — 25 πάντεϲ οἱ — δικαιωθέντεϲ Triod. — 29 ϲυγχωρῶν καὶ τὰ πταίϲματα Triod.
τοὺϲ ϲοὺϲ δούλουϲ D — 34 νόμου D — 35 πάναγνε Triod. — 36 νομοδότην Triod. —
.λέα θεόν Triod. — 38 δι᾽ οὗ Triod. — 42 τύχοιμεν Triod. — VI 1 fort.: ἀκατάληκτον

εἰϲ τὰ ϲκηνώματα | τὰ ἀγαπητὰ καὶ ποθούμενα,
κατάϲχεϲιν δωρούμενοϲ
τὴν διηνεκῶϲ διαμένουϲαν·
ϲὺ γὰρ ὑπὲρ πάντων | ἐξέχεαϲ τὸ αἷμά ϲου, ϲωτὴρ,
καὶ ζωηφόρῳ τιμήματι
κόϲμον ἐξηγόραϲαϲ.

Νέκρωϲιν ὑπέμειναϲ | ζωοποιὸν ἑκουϲίωϲ,
καὶ ζωὴν αἰώνιον | καὶ τρυφὴν ἀΐδιον
πιϲτοῖϲ δέδωκαϲ,
ἐν ᾗ κατάταξον | τοὺϲ κεκοιμημένουϲ
ἐπ' ἐλπίδι ἀναϲτάϲεωϲ,
τὰ τούτων πταίϲματα | πάντα ϲυγχωρῶν ἀγαθότητι,
ὡϲ μόνοϲ ἀναμάρτητοϲ,
μόνοϲ ἀγαθὸϲ καὶ φιλάνθρωποϲ,
ἵνα διὰ πάντων | ὑμνῆταί ϲου τὸ ὄνομα, Χριϲτὲ,
καὶ ϲεϲωϲμένοι δοξάζωμεν
τὴν φιλανθρωπίαν ϲου.

Ζώντων κυριεύοντα | θεαρχικῇ ἐξουϲίᾳ
καὶ νεκρῶν δεϲπόζοντα | ϲὲ, Χριϲτὲ, γινώϲκομεν,
πολυέλεε·
τοὺϲ πιϲτοὺϲ δούλουϲ ϲου | τοὺϲ πρὸϲ ϲὲ τὸν μόνον
εὐεργέτην ἐκδημήϲανταϲ
αὐτὸϲ ἀνάπαυϲον | ϲὺν τοῖϲ ἐκλεκτοῖϲ ϲου, φιλάνθρωπε,
ἐν τόπῳ ἀναψύξεωϲ,
ἐν ταῖϲ τῶν ἁγίων λαμπρότηϲι·
θελητὴϲ ἐλέουϲ | ὑπάρχειϲ γὰρ καὶ ϲώζειϲ ὡϲ θεὸϲ,
οὓϲ κατ' εἰκόνα ϲου ἔπλαϲαϲ,
μόνε πολυέλεε.

Ὤφθηϲ ἐνδιαίτημα | θεοπρεπὲϲ, παναγία,
καὶ θεὸν ἐχώρηϲαϲ | καὶ θεὸν ἐγέννηϲαϲ,
μητροπάρθενε,
ἐν δυϲὶ φύϲεϲιν, | ἐν δυϲὶν οὐϲίαιϲ,
ἐν μιᾷ δὲ ὑποϲτάϲει, ἁγνή·
αὐτὸν δυϲώπηϲον | τὸν μονογενῆ καὶ πρωτότοκον,
τὸν ϲὲ παρθένον ἄμωμον
καὶ μετὰ τὸν τόκον φυλάξαντα

9 Χριϲτέ Triod. — 11 ἠλευθέρωϲαϲ Triod. — 13 ζωὴν ἐπήγαϲαϲ Triod. — 15–17 ϲκηναῖϲ δέϲποτα ταῖϲ αἰωνιζούϲαιϲ. καὶ ἐν τόποιϲ ἀναπτύξεωϲ. αὐτοὺϲ κατάταξον. το κεκοιμημένουϲ ὡϲ εὔϲπλαγχνοϲ. καὶ μόνοϲ D — 23 θεαρχικῆϲ ἐξουϲίαϲ D — 24 δεϲπόζοντ D — γινώϲκοντεϲ ἱκετεύομεν D — 29 τόποιϲ Triod. — 35 Χριϲτὸν ἐγέννηϲαϲ D — ἀπειρόγαμε D — 38 μιᾷ τῇ ὑποϲτάϲει δέ D — 39 ἱκέτευε Triod.

ψυχὰϲ ἀναπαῦϲαι | τῶν πίϲτει κοιμηθέντων ἐξ ἡμῶν
ἐν ἀκηράτῳ φαιδρότητι
καὶ μακαριότητι.

ἦχοϲ βαρύϲ.
κατὰ τὸ «Καταφρονήϲαντεϲ.»

Νενεκρωμένοϲ ὡράθηϲ | ἐπὶ ϲταυροῦ, μόνε ἀθάνατε,
καὶ ἐν τῷ τάφῳ ὡϲ θνητὸϲ | ἐτέθηϲ, μακρόθυμε,
ἐκ φθορᾶϲ καὶ θανάτου | τοὺϲ ἀνθρώπουϲ λυτρούμενοϲ·
ἀλλ' ὡϲ πέλαγοϲ εὐϲπλαγχνίαϲ | ὑπάρχων ἀκένωτον
καὶ πηγὴ ἀγαθότητοϲ, | τὰϲ ψυχὰϲ τῶν ϲῶν δούλων
τῶν ἐξ ἡμῶν μεταϲτάντων ἀνάπαυϲον.

Τῷ ἀκηράτῳ ϲου κάλλει | καὶ γλυκαϲμῷ τῆϲ ὡραιότητοϲ
καὶ ταῖϲ τοῦ θείου ϲου φωτὸϲ | ἀκτῖϲιν ἐλλάμπεϲθαι
τοὺϲ πρὸϲ ϲὲ μεταϲτάνταϲ, | ἀγαθέ, καταξίωϲον
ἐν ἀΰλῳ φωτοχυϲίᾳ | τῆϲ φωτοφανείαϲ ϲου,
ϲὺν ἀγγέλοιϲ χορεύονταϲ | περὶ ϲὲ τὸν δεϲπότην
καὶ βαϲιλέα τῆϲ δόξηϲ καὶ κύριον.

Ὡϲ ἀδαπάνητον ἔχων | τῶν δωρεῶν [τὴν] μεγαλοπρέπειαν,
ὡϲ θηϲαυρὸϲ ἀνελλιπὴϲ | πλουϲίαϲ χρηϲτότητοϲ
τοὺϲ πρὸϲ ϲὲ μεταϲτάνταϲ | ὡϲ θεὸϲ καταϲκήνωϲον
ἐν τῇ χώρᾳ τῶν ἐκλεκτῶν ϲου, | ἐν τόπῳ ἀνέϲεωϲ,
ἐν τῷ οἴκῳ τῆϲ δόξηϲ ϲου, | ἐν τρυφῇ παραδείϲου,
ἐν τῷ [τῶν] παρθένων νυμφῶνι ὡϲ εὔϲπλαγχνοϲ.

Νόμου τὸ πλήρωμα τίκτειϲ, | τὸν λυτρωτὴν ϲάρκα γενόμενον·
οὐ γὰρ ἐγένετο τοῖϲ πρὶν | ἐν νόμῳ δικαίωϲιϲ·
δι' ἡμᾶϲ γὰρ ὁ Χριϲτὸϲ | ϲταυρωθεὶϲ ἐδικαίωϲεν·
ὡϲ οὖν ἔχουϲα παρρηϲίαν, | ὡϲ μήτηρ ἱκέτευε
τὸν υἱόν ϲου τὸν εὔϲπλαγχνον, | τὰϲ ψυχὰϲ ἀναπαῦϲαι
τῶν εὐϲεβῶϲ μεταϲτάντων, πανύμνητε.

ἦχοϲ πλ. δ'.
κατὰ τὸ «Ὢ τοῦ παραδόξου θαύματοϲ.»

Βαϲιλικῶϲ μοι ὑπέγραψαϲ | ἐλευθερίαν, βαφαῖϲ
ἐρυθραῖϲ τοὺϲ δακτύλουϲ ϲου | αἱματώϲαϲ, δέϲποτα,
καὶ φοινίξαϲ ϲῷ αἵματι·
καὶ νῦν ἐν πίϲτει | καθικετεύω ϲε,

---

42 κοιμηθέντων εὐϲεβῶϲ Triod. — VII 2 τῷ in codd. edd. omissum nos de coni. addimus — 13 τὴν uncinis inclusimus — 15 ἀγαθὲ καταξίωϲον. ἐν ἀύλῳ φωτοχυϲίᾳ ἐν τόποιϲ — 17 ἐν τρυφῇ παραδείϲου om. D — 18 τῶν eiiciendum significavimus — 19 δίχα γεν. — 21 Χριϲτὸϲ δέ D — 23 ϲου καὶ κύριον D — 24 τῶν ἐξ ἡμῶν μεταϲτάντων ὡϲ ϲπλαγχνοϲ D — VIII 2 τῶν δακτύλων D — 3 τῷ αἵματι Triod. — 4 καθικετεύομεν nisso ϲε D

τοῖϲ πρωτοτόκοιϲ | ϲου ϲυναρίθμηϲον
καὶ τῶν δικαίων ϲου | τῆϲ χαρᾶϲ ἀξίωϲον
ἐπιτυχεῖν
τοὺϲ μεταχωρήϲανταϲ | πρὸϲ ϲὲ τὸν εὔϲπλαγχνον.

Ἱεραρχήϲαϲ ὡϲ ἄνθρωποϲ, | ϲφαγαϲθεὶϲ ὡϲ ἀμνὸϲ,
προϲφορὰν προϲενήνοχαϲ | τῷ πατρὶ τὸν ἄνθρωπον,
τῆϲ φθορᾶϲ ἐξωνούμενοϲ·
τοὺϲ μεταϲτάνταϲ | οὖν ὡϲ φιλάνθρωποϲ
ἐν τῇ τῶν ζώντων | χώρᾳ κατάταξον,
ἔνθα οἱ χείμαρροι | τῆϲ τρυφῆϲ προχέονται,
ἔνθα πηγαὶ
τῆϲ ἀϊδιότητοϲ | ἀναβλυϲτάνουϲιν.

Βάθει ϲοφίαϲ ἀρρήτου ϲου | ὁροθετεῖϲ τὴν ζωὴν
καὶ προβλέπειϲ τὰ μέλλοντα | καὶ πρὸϲ βίον ἕτερον
μετοικίζειϲ τοὺϲ δούλουϲ ϲου·
οὓϲ προϲελάβου | τοίνυν κατάταξον
ἐπὶ ὑδάτων | τῆϲ ἀναπαύϲεωϲ,
ἐν τῇ λαμπρότητι | τῶν ἁγίων, κύριε,
ἔνθα φωνὴ
τῆϲ ἀγαλλιάϲεωϲ | καὶ τῆϲ αἰνέϲεωϲ.

Λόγοϲ ὑπάρχων ἀόρατοϲ, | ὁμοφυὴϲ τῷ πατρὶ
καὶ τῷ πνεύματι ϲύνθρονοϲ, | δι᾿ ἐμὲ τὸν ἄνθρωπον
ἐν ϲαρκὶ πεφανέρωϲαι·
ὡϲ ἐλεήμων | οὖν καὶ φιλάνθρωποϲ
τοὺϲ ἐκ τοῦ βίου | μεταφοιτήϲανταϲ
τῆϲ εὐπρεπείαϲ ϲου | καὶ τῆϲ ὡραιότητοϲ
ταῖϲ καλλοναῖϲ
τούτουϲ καταλάμπρυνον, | ζωαρχικώτατε.

Ὡϲ ϲυλλαβοῦϲα τὸν ἄναρχον | λόγον θεοῦ καὶ πατρὸϲ
μητρικῇ παρρηϲίᾳ ϲου | ἐκτενῶϲ ἱκέτευε
κατατάξαι τοὺϲ δούλουϲ ϲου,
ἔνθα χορεία | ἡ ἀκατάλυτοϲ
εὐφραινομένων | καὶ εὐφημούντων ϲε·
ἔνθα λαμπρότητεϲ | αἱ διαιωνίζουϲαι
καὶ ὁ γλυκὺϲ
ἦχοϲ ἑορτάζοντοϲ, | θεογεννήτρια.

---

8 μεταφοιτήϲανταϲ Triod. — 11 ἐξαιρούμενοϲ D — 14 προέρχονται Triod. — 15 ἐν πιϲτῶν D — 16 ἀναβλαϲτάνουϲιν D — 18 προβλ. τὸν θάνατον καὶ πρὸϲ κόϲμον D — ϲῶτερ κατ. D — 22 ἁγίων ϲύνταξον D — 23 ἔνθα φωτί D — 26 ϲύμμορφοϲ D — 28 ὡϲ φιλ. D — 33 θεοῦ καὶ θεόν D

ΡΩΜΑΝΟΥ ΤΟΥ ΜΕΛΩΔΟΥ

I

Ψαλμὸc τῶν ἁγίων ἀποcτόλων.

Ἡ ἀκροcτιχίc: «Τοῦ ταπεινοῦ Ῥωμανοῦ ὁ ψαλμόc.»

Ὁ cοφίcαc ὑπὲρ ῥήτοραc | τοὺc ἁλιεῖc,
Τοὺc ἀcφαλεῖc καὶ θεοφθόγγουc κήρυκαc,
τὴν κορυφὴν | τῶν μαθητῶν cου, κύριε,
προcελάβου εἰc ἀπόλαυcιν
τῶν ἀγαθῶν cου καὶ ἀνάπαυcιν·
τοὺc πόνουc γὰρ ἐκείνων | καὶ τὸν θάνατον
ἐδέξω ὑπὲρ πᾶcαν ὁλοκάρπωcιν,
ὁ μόνοc γινώcκων τὰ ἐγκάρδια.

Τράνωcόν μου τὴν γλῶτταν, cωτήρ μου,
πλάτυνόν μου τὸ cτόμα·
καὶ πληρώcαc αὐτὸ | κατάνυξον τὴν καρδίαν μου,
ἵνα οἷc λέγω ἀκολουθήcω,
καὶ ἃ δῆθεν διδάcκω | ποιήcω πρῶτοc·
πᾶc γὰρ ποιῶν | καὶ διδάcκων, φηcὶν, | οὗτοc μέγαc ἐcτίν.
ἐὰν οὖν λέγων μὴ πράττω,
ὡc χαλκὸc ἠχῶν λογιcθήcομαι·
διὸ λαλεῖν με τὰ δέοντα
καὶ ποιεῖν τὰ cυμφέροντα δώρηcαι,
ὁ μόνοc γινώcκων τὰ ἐγκάρδια.

Οὕτω ποτὲ καὶ οἱ μαθηταί cου,
ἐκτελέcαντεc πρῶτον
τὰ διδάγματά cου, | ἐδίδαcκον ἅπερ ἔπραττον,
πάcῃ δυνάμει ὁμοῦ κυροῦντεc
τῇ cῇ διδαcκαλίᾳ | τὴν πολιτείαν·
ἣν ὁ ὁρῶν | καὶ ζηλῶν, ὡc αὐτοὶ, | οὗτοc μέγαc ἐcτὶ
γυμνοῦcθαι τῶν ἐν τῷ βίῳ,
τῶν ἄνω φροντίζειν ἑκάcτοτε,
cταυρὸν βαcτάζειν ἐπ' ὤμοιcιν,

Longi psalmi praeludium Τοὺc ἀcφαλεῖc κ. τ. λ. et prima stropha Τράνωcόν μου κ. τ. λ. ficium diei festi duodecim apostolorum (30 Iun.) sub nomine κοντακίου et οἴκου recepta Repetivimus hoc carmen ex libro J. B. Pitrae Hymnographie de l'église grecque p. I quo de libro notitiam cod. Corsiniani hausimus; praeterea nobis carminis, cuius mo- ionem non cognovimus, versus restituentibus in eo acquiescendum esse censuimus, ut ntentiam et caesuram variatam secuti cola tertium et quartum, sextum et septimum, um nonum decimum singulas in periodos contraheremus. — 8 Reg. III. VIII 39. Pa- . II. VI 30. — 13 δῆθεν om. Barth. — 15 ἐὰν γὰρ λέγω καὶ μὴ Barth. — 17 λαλεῖν μοι 1. — 22 ἐδίδαξον Pitra typothetarum errore ut videtur — 23 fortasse ὁμοκυροῦντεc ad giam τοῦ ὁμολογεῖν finxit Romanus — 24 cῇ omissum in cod. add. Pitra

ἐντρυφᾷν τῷ θανεῖν, ὡς προσέταξας,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Ὕλῃ τοσαύτῃ τῶν ἐναρέτων
εὐκόσμων ὁ κατάλογος
[τῶν] ἀποστόλων, πιστοί, | πᾶσαν τὴν γῆν εὐωδίασε,
τὰ κλήματα τῆς Χριστοῦ ἀμπέλου,
τὸ γεώργιον τοῦ ἄνω | καλλιέργου·
οἱ πρὸ Χριστοῦ | ἁλιεῖς καὶ μετὰ | τὸν Χριστὸν ἁλιεῖς,
οἱ ἅλμῃ συνομιλοῦντες
καὶ γλυκὺ ῥῆμα νῦν ἐρευγόμενοι·
οἱ πρὶν ἰχθύας ἀγρεύοντες
τοὺς βροτοὺς νῦν θηρᾶν ἐδιδάχθησαν·
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Τούτους τοὺς ἄρνας ὁ ἀγελάρχης,
οὓς ἐσκόρπισε φόβος
ἐν καιρῷ τοῦ σταυροῦ, | συνήγαγε μετ' ἀνάστασιν·
στὰς γὰρ εἰς ὕψος ἐπὶ τοῦ ὄρους
ἐκελάδησε μέλος | γλυκὺ τῇ ποίμνῃ,
θάρσος διδοὺς | καὶ μικρόν, ὡς δειλοῖς, | αἰνιττόμενος
ἐβόα λέγων· θαρσεῖτε,
ἐγὼ μόνος τὸν κόσμον νενίκηκα·
ἐγὼ τοὺς λύκους ἐσκόρπισα·
μετ' ἐμοῦ ἦν οὐδείς, μόνος ἦν ἐγώ,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Ἄπιτε οὖν εἰς πάντα τὰ ἔθνη·
μετανοίας τὸν σπόρον
ἐμβαλόντες τῇ γῇ | διδασκαλίαις ἀρδεύσατε·
βλέπε μοι, Πέτρε, πῶς ἐκπαιδεύεις·
ἐννοῶν σου τὸ πταῖσμα, | συμπάθει πᾶσι,
μὴ αὐστηρῶς | δι' ἐκείνην τὴν κόρην | τὴν σείσασάν σε·
ἐάν σοι τύφος εἰσπέσῃ,
τῆς φωνῆς τοῦ ἀλέκτορος μνήσθητι
καὶ τῶν δακρύων μνημόνευε,
ὧν ἐγώ σε τοῖς ῥείθροις ἀπέπλυνα,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

---

29 τοῦ θανεῖν cod., emendavit Pitra — 32 εὐκόσμων de coni. reposuimus: εὐκομῶν cod. εὔκοσμος κατάλογος Pitra — 33 ἀποστόλων nos: τῶν ἀποστόλων cod. — 48 Ioann. XVI 33 Christum non post resurrectionem, sed antequam cruci affigeretur, haec vociferatum esse testatur — 49 τὸν eiecit Pitra, nos et in hac et tertia, quinta, sexta aliis strophis in initio versus anapaestum a poeta admissum esse iudicamus. — 51 ἤμην ἐγὼ Pitra — 54 Matth. XXVIII 19 et 20. Marc. XVI 15 et 16. Luc. XXIV 47 — 58 διὰ ἐκείνην Pitra

Πέτρε, φιλεῖς με; ποίει ἃ λέγω·
ποίμανόν μου τὴν ποίμνην
καὶ φίλει οὓς φιλῶ, | συμπάσχων τοῖς ἁμαρτάνουσιν,
μνησθεὶς μου τῆς πρὸς σὲ εὐσπλαγχνίας,
ὅτι τρὶς ἀρνησάμενόν | σ' ἐδεξάμην·
ἔχεις λῃστὴν | θυρωρὸν παραδείσου | θαρρύνοντά σε·
ἐκείνῳ πέμπε οὓς θέλεις·
δι' ὑμῶν πρὸς ἐμὲ ἀναστρέφει Ἀδὰμ
βοῶν· ὁ πλάστης παράσχες μοι
τὸν λῃστὴν πυλωρὸν καὶ κλειδοῦχον Κηφᾶν,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Ἴσχυέ μοι καὶ σύ, ὦ Ἀνδρέα!
ὥσπερ εὗρές με πρῶτος
εὑρεθεὶς παρ' ἐμοῦ, | εὑρὲ καὶ σὺ τὸν πλανώμενον·
μὴ ἐπιλάθῃ τῆς πρώτης τέχνης·
ἐξ αὐτῆς γάρ σε εἰς ταύτην | μεταπαιδεύσω·
ὡς πρὶν γυμνὸς | εἰς βυθὸν καὶ νυνὶ | πρὸς τὸν βίον γυμνός,
καλάμῳ πρὶν ἁλιεύων
σταυρῷ ἁλιεύειν διδάχθητι·
τῷ σκώληκι ἐδελέαζες,
τῇ σαρκί μου θηρᾷν παραγγέλλω σοι,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Νῦν δεῖξον ἔργον, ὦ Ἰωάννη!
νυνὶ μάθωσι πάντες,
ὡς οὐ μάτην τὸ πρὶν | ἀνέκλινά σε τῷ στήθει μου·
ποίησον αὔλακας τῇ πηγῇ μου,
ἧς τὰ νάματα ἤντλησεν | ἡ στοργή σου·
ὄρυξόν μοι | ὡς δικέλλῃ τῇ γλώττῃ | διέξοδον,
[καὶ] ἥξω ὡς, ἐὰν θέλῃς,
καὶ ποτίσας μεθύσω τὸν σπόρον σου·
ὡς κόκκους λόγους κατάβαλλε,
καὶ αὐξήσας πληθύνω τὰ λήϊά σου,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Οὕτω καὶ σύ, Ἰάκωβε, πράττε,
μὴ τὸ κήρυγμα λείψας,

---

4 Ioann. XXI 15—17 — 68 ἀρνησάμενόν σε ἐδεξάμην cod. aut ἀρνούμενον aut ἀρνη-
νον σ' ἐδεξάμην emendandum esse monuit Pitra, quarum emendationum altera et
or et accentibus accommodatior est — 70 ἐθέλεις cod. — 72 παράσχες Pitra: παρέ-
cod. — 76 Ioann. I 41 et 42. — 79 εἰς ταύτην σε cod., Pitra maluit αὐτῆς σ' εἰς ταύτην
) πρὶν Pitra: πρῴην cod. — 82 τῷ σταυρῷ cod., emendavit Pitra. — 88 Ioann.
23 — 91 τῇ σῇ Pitra, at in clausula legitimum creticum pro choriambo posuit poeta —
: ἂν ἐθέλῃς Pitra, ὡς ἐὰν θέλεις cod. — 93 καὶ eiecit Pitra — μεθύσω nos: μετύσω
— 95 πληθυνῶ Pitra contra accentuum concinnitatem.

Ζεβεδαίου μνηςθεὶς, | οὗ πρὶν ἐμὲ προετίμηςας·
οἶδας γὰρ, πῶς ἀφῆκας ἐν σκάφῃ
τὸν γενέτην, τὸν πλάστην | ἐμὲ ποθήσας·
πλήρωςόν μου | τὴν βουλὴν μετὰ τῶν | ὁμοδούλων σου·
μὴ πτήξῃς τοὺς ἐπιβούλους·
τὰς βουλὰς γὰρ αὐτῶν διεσκέδασα·
μαχαίραις σε ὅταν τέμνωσι,
νόει, τίς ὁ τῇ λόγχῃ νυγεὶς τὴν πλευρὰν,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Ὕπαγε, Φίλιππε, ἅμα τούτοις,
κήρυξόν με, ὡς βλέπεις
καὶ ἀκούεις μου νῦν· | μὴ τοῦ πατρός μου χωρίσῃς με,
μὴ εἴπῃς, ὅτι τὸν γόνον εἶδον,
τὸν δὲ τούτου γενέτην | οὐδ᾿ ὅλως εἶδον·
ἔδειξά σοι | ἐν ἐμοὶ τὸν πατέρα | κἀμὲ ἐν αὐτῷ·
οὐκ ἦλθον παρὲξ ἐκείνου·
ὃ γὰρ λέγει τελῶ· καὶ ὃ θέλω τελεῖ·
ἐν τῷ αὐτῷ ἐσμεν πνεύματι·
τούτου κήρυκα ῥήτορα πέμπω σε,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Ῥήματα τῆς τότε ἀπιστίας
διὰ πίστεως ἄρτι
ἀπαλείψας, Θωμᾶ, | κήρυξον, ὃν ἐψηλάφησας·
ἦλθε καιρὸς, ὃν ἀεὶ ἐπόθεις,
παρατάξασθαι δήμῳ | τῷ τῶν Ἑβραίων·
ἔχεις σαφῶς | τῆς ἐγέρσεώς μου | τὰ ἐνέχυρα·
τοὺς τύπους εἶδες τῶν ἥλων
καὶ τῆς λόγχης κατεῖδες τοὺς μώλωπας·
οὐκ ἔστι σοι λοιπὸν πρόφασις·
πᾶσαν γὰρ ἀφορμὴν περιήρουν σου,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Ὥσπερ τελώνης μεῖνον, Ματθαῖε,
καὶ τελώνει ἐκεῖνον
τὸν ἐχθρὸν τοῦ Ἀδὰμ, | ὥσπερ πρὶν τοὺς διοδεύοντας·
μὴ φείσῃ, ἕως ἂν ἀπολάβῃς
καὶ τὸν ἔσχατον κοδράντην | παρ᾿ ἐκείνου·

99 Marc. I 19 et 20. — 104 γὰρ eiecit Pitra — 110 Ioann. XIV 8—10. — 115 ὃ θ τελῶ· ὃ θέλω τελεῖ Pitra, numero ille quidem syllabarum observato sed prosodia negle sed nescio an ὃ γὰρ θέλει λέγω καὶ ὃ λέγω τελεῖ emendare praestet secundum Ioann. 10 — 119 Ioann. XX 19—29 — 125 τύπους nos ex Ioann. XX 25: τόπους Pitra — 126 eiecit Pitra — 128 περιήρουν nos: περιῆρον Pitra — 130 Matth. IX 9 — 132 ὥσπερ Pitra: ὡς πρὶν cod.

καὶ κάθου τηρῶν | τὴν ὁδὸν τὴν πρὸc ᾅδην | ἀπάγουcαν·
κἂν εὕρῃc τὸν ὀλετῆρα
ἀπὸ τῶν ἐμῶν ἐκπορευόμενον,
ἐπίcτηθι καὶ τελώνιcον
καὶ γυμνὸν τοῦτον δεῖξον, ὡc λέγω cοι
ὁ μόνοc γινώcκων τὰ ἐγκάρδια.

Μίαν φωνὴν ἀφίημι πᾶcιν,
ἵνα μὴ τὸν καθ' ἕνα
ἐκδιδάcκων κοπῶ, | ἅπαξ λαλῶ τοῖc ἁγίοιc μου·
πορευθέντεc εἰc πάντα τὸν κόcμον
μαθητεύcατε ἔθνη | καὶ βαcιλέαc·
πάντα γάρ μοι | παρεδόθη ὑπὸ | τοῦ γεννήcαντόc με,
τὰ ἄνω ἅμα τοῖc κάτω,
ὧν καὶ πρὶν λαβεῖν [τὴν] cάρκα ἐδέcποζον,
καὶ νῦν πάντων βεβαcίλευκα
καὶ ὑμᾶc ἱερὰν ἔχω cύγκλητον
ὁ μόνοc γινώcκων τὰ ἐγκάρδια.

Ἄπιτε οὖν εἰc πάντα τὰ ἔθνη·
μετανοίαc τὸν cπόρον
ἐμβαλόντεc τῇ γῇ | διδαcκαλίαιc ἀρδεύcατε·
τούτων δ' ἀκούcαντεc οἱ cυμμύcται
πρὸc ἀλλήλουc ἑώρων, | κινοῦντεc κάραc·
πόθεν ἡμῖν | ἡ φωνὴ καὶ ἡ γλῶττα | πρὸc πάνταc λαλεῖν;
ἰcχὺν δὲ τίc ἡμῖν δώcει
ἀντιcτῆναι λαοῖc καὶ τοῖc ἔθνεcιν,
. . . .,
. . . . ὡc προcέταξαc
ὁ μόνοc γινώcκων τὰ ἐγκάρδια;

Νῦν μὴ ταράccεcθε τῇ καρδίᾳ,
μὴ θολώcῃ τὰc φρέναc
ὑμῶν ὁ δυcμενήc· | ὡc νήπιοι μὴ λογίζεcθε,
γίνεcθε φρόνιμοι ὡcεὶ ὄφειc·
δι' ὑμᾶc γὰρ ὡc ὄφιc | ἐγὼ ὑψώθην·
μὴ ἑαυτοὺc | ἐκφοβοῦντεc τὸ | κήρυγμα λείψητε·

135 κάθου, quod ante Romanum dixisse Alexin et Diphilum grammaticus anonymus apud Bekkerum anecd. p. 100 testatur, Graeci iam vulgo usurpant; Pitra coniecturis locum sanissimum dilaceravit. — 136 κἂν Pitra: καὶ ἐὰν cod. — 137 ἐκ τῶν ἐμῶν Pitra. — 138 ἐπίcθητι Pitra — 144 Matth. XXVIII 19. Marc. XVI 19 — 148 τὴν uncinis inclusimus. — 159 τοῖc Pitra — 160 lacunam hunc in modum explevit Pitra: ἀγράμματοι καὶ ἀπαίδευτοι, ἁλιεῖc ἀcθενεῖc, sed ut alia mittam, dativum casum leges grammaticae postulant — 163 Ioann. XIV, cf. XV, XVI, XVII — 166 Matth. X 16 habet οἱ ὄφειc — 167 Ioann. III 14. — 168 τὸ addidimus. — λείψητε nos: λείψετε cod.

οὐ θέλω cθένει νικῆcαι,
διὰ τῶν ἀcθενῶν περιγίνομαι·
οὐ χαίρω τοῖc πλατωνίζουcι,
τὰ μωρὰ γὰρ τοῦ κόcμου ἠγάπηcα,
ὁ μόνοc γινώcκων τὰ ἐγκάρδια.

Ὅμωc ὑμῖν καὶ δύναμιν δώcω,
δύναμιν ἐν τῷ πίπτειν
ἀνιcτᾶcαν πολλοὺc | καὶ γλῶτταν δὲ τὴν cοφίζουcαν·
τόνοc ἡμῶν cοβεῖ Δημοcθένην,
ἡττῶνται Ἀθηναῖοι καὶ Γαλιλαίοιc·
παύcει λοιπὸν | γὰρ ὁ μέγαc Κηφᾶc, | ἐξαγγέλλων ἐμέ,
ἀμέτρουc λέξειc καὶ μύθουc,
ἀμαυροῖ τὸ ῥητὸν τοῦ μαραναθά·
ἡ Ναζαρὲτ δονεῖ Κόρινθον·
οἱ λαλοῦντεc ὑμεῖc, ὁ πείθων ἐγώ,
ὁ μόνοc γινώcκων τὰ ἐγκάρδια.

Ὕβρεcι πάνταc ὑμᾶc πλυνοῦcι
φυλακαῖc ἐμβαλόντεc,
καὶ δεcμοῦντεc πικρῶc | τοῖc ἄρχουcι παραδώcουcιν·
ἀλλ' ὀρφανοὺc ὑμᾶc οὐκ ἐάcω·
μεθ' ὑμῶν γάρ εἰμι | μέχρι cυντελείαc·
ὅταν κριταῖc | παραcτῆτε, ὑμῶν | με ὄψεcθε μέcον·
δεcμεῖcθε καὶ cυνδεcμοῦμαι·
cὺν ἐμοί, δι' ἐμὲ πάντα πάcχετε·
ὑμεῖc τὴν γνώμην προτείνατε,
ὡc κἀγὼ δι' ὑμῶν ἀγωνίζομαι,
ὁ μόνοc γινώcκων τὰ ἐγκάρδια.

Ὅτε δὲ ἤκουcαν τῶν ῥημάτων
τοῦ cοφοῦ διδαcκάλου
οἱ cοφοὶ μαθηταί, | πρὸc ταῦτα ἀνταπεκρίθηcαν·
πάντα cκληρὰ ἡμῖν ἐπηγγείλω
καὶ δειλίαc ἀνάμεcτά τε | καὶ θανάτου·
τοῦτο δὲ νῦν | ἐνομίζομεν φεύγειν | κολλώμενοί cου·
καὶ ἄρτι τοῖc cκληροτέροιc
παραδίδωc ἡμᾶc ὁ cωτὴρ ἡμῶν·
ἐκάλεcαc εἰc ἀνάπαυcιν

---

172 Paulus ad Corinth. I 1, 27 — μῶρα Pitra contrariis modis — 176 ἀνιcτῶcαν co emendavit Pitra. — 177 τόνοc] τόμοc cod., quod defendit Pitra — 179 παύει suspicat Pitra — γὰρ ὁ μέγαc nos, Pitra ex parte praeeunte, numerorum explendorum causa ad dimus. — 186 ἐμβαλόντεc nos: ἐμβάλλοντεc Pitra — 201 exspectes κολλώμενοί cοι ut κο λώμενοc τῇ πόρνῃ apud Paulum ad Cor. I 6, 16 — 203 παραδίδῃc cod. — 204 ὁ καλέc Pitra contra modorum concinnitatem.

καὶ ἰδοὺ προαλείφεις εἰς ἄθλησιν,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Ψῆφος ὑμᾶς καλεῖ πρὸς ἀγῶνας·
ὁ κανὼν τῆς ἀγάπης
ἀπαιτεῖ παρ' ὑμῶν | φιλίας ἔργον ἐνδείξασθαι·
πάθετε ὑπὲρ ἐμοῦ, ὡς φίλοι,
ὡς κἀγὼ ὑπὲρ φίλων | καὶ μὴ ὀφείλων·
χρέος οὐδὲν | οὐχ εὑρέθη καλοῦν | με πρὸς θάνατον·
ἀλλ' ὅμως κατεδεξάμην
καὶ σταυρὸν ὡς χρεώστης ὑπέμεινα·
τὸ πατρικὸν ὑμῶν δάνειον
ὁ ἀνεύθυνος θέλων ἀπέδωκα,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Ἄπιτε οὖν εἰς πάντα τὸν κόσμον·
μετανοίας τὸν σπόρον
ἐμβαλόντες τῇ γῇ, | διδασκαλίαις ἀρδεύσατε·
βλέπετε, μή τις μετανοήσας
ἔξω τῆς ὑμετέρας | σαγήνης μείνῃ·
χαίρω γὰρ τοῖς | ἐπιστρέφουσιν, ὡς | οἴδατε καὶ ὑμεῖς·
ὡς εὐθὺς καὶ ὁ προδούς με
εἰς ἐμὲ μετὰ πρᾶσιν ὑπέστρεφε,
κἀγὼ αὐτοῦ τὸ ἁμάρτημα
ἐξαλείψας ὑμῖν τοῦτον ἥνωσα,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Λύπην μισήσατε καὶ δειλίαν·
αὕτη γὰρ παραπέμπει
τῷ θανάτῳ πολλούς, | ὡς ὁ Ἰούδας ἀπέδειξεν·
οἴδατε, πῶς ἀγχόνης σχοινίον
ἡ ἀπόγνωσις ἔπλεξε | τῷ προδότῃ·
ὅμως κενὴ | καὶ ἐν τούτῳ ἡ τοῦ | διαβόλου παγίς·
μικρὸν γὰρ καὶ ἀποτίσει
ἀντὶ τοῦ Σκαριώτου τὸν Κίλικα,
ἀντὶ δολίου τὸν δόκιμον,
ἀντὶ πράτου τὸν Παῦλον κομίσομαι,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Μύσται μου φίλοι καὶ ἀδελφοί μου·
μύστας γὰρ ὑμᾶς λέγω,

212 ἐμὲ coniecit Pitra, sed ipsis accentibus poetam in clausula periodi creticum pose docemur — 224 εὐθὺς nos: εἴθοις cod. m. pr. εἴθ' εἰς cod. m. sec. Pitra — 231 ὁ 'Ιούδας ἀπέδειξεν nos: τὸν 'Ιούδαν ἀπέδειξεν cod. — 236 τοῦ expulit Pitra — 237 τοῦ δολίου cod., emendavit Pitra

οὐχὶ δούλους λοιπόν, | υἱοὺς καὶ συγκληρονόμους μου·
φωστῆρες τῆς οἰκουμένης ὅλης
καὶ ἐμοῦ τοῦ ἡλίου | φαιδραὶ ἀκτῖνες,
τῶν θησαυρῶν | τῶν ἐμῶν οἱ πιστοὶ | κλειδοφύλακες,
μεσῖται τῶν δωρουμένων
παρ' ἐμοῦ τῷ 'Αδὰμ ὑποστρέφοντι,
οἱ στύλοι τῆς ἐκκλησίας μου,
οὓς ἐγὼ ἐκ θαλάσσης ἀνήγαγον,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Οὕτω κηρύξατέ με τῷ κόσμῳ,
φανεροῦντες ὃ πέλω·
καὶ μισοῦντες λοιπὸν | παραβολὰς καὶ αἰνίγματα
εἴπατε, ὅτι θεὸς ὑπάρχω
καὶ ἀνέκφραστος δούλου | μορφὴν ἔλαβον·
δείξατε, πῶς | τὰς πληγὰς τῆς σαρκὸς | ᾠκειούμην ἑκών·
θεὸς ὤν, καίπερ μὴ θνήσκων,
σὺν τῷ σώματι ἦλθον εἰς θάνατον·
καὶ ὁ ταφεὶς ὡς κατάκριτος
ἐξεπόρθουν τὸν Ἅιδην ὡς κύριος,
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Σώσατε οὖν ἐν τούτοις τὸν κόσμον,
βαπτίζοντες εἰς ὄνομα
πατρός τε καὶ υἱοῦ | καὶ τοῦ ἁγίου πνεύματος.
Τούτοις τοῖς λόγοις κραταιωθέντες
οἱ ἀπόστολοι ἔλεγον | πρὸς τὸν πλάστην·
σὺ εἶ θεὸς | προαιώνιος καὶ | ἀτελεύτητος.
σὲ ἕνα κύριον γνόντες
ἅμα τῷ σῷ πατρὶ καὶ τῷ πνεύματι
κηρύσσομεν, ὡς προσέταξας·
σὺ γενοῦ μεθ' ἡμῶν καὶ ὑπὲρ ἡμῶν
ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

II

Στιχηρὰ προσόμοια εἰς τὰ προεόρτια τῶν Χριστουγέννων (Δεκ. 20)

ἦχος πλ. β'.

Αἱ ἀγγελικαὶ | προπορεύεσθε δυνάμεις·
οἱ ἐν Βηθλεὲμ | ἑτοιμάσατε τὴν φάτνην·
ὁ λόγος γὰρ γεννᾶται· | ἡ σοφία προέρχεται·
δέχου ἀσπασμὸν ἡ ἐκκλησία·

---

254 fort. ὑπάρχων — 255 ἀνεκφράστως coni. Pitra — 256 οἰκειούμην cod. — 263 secundum tertio versu ita cohaeret, ut prioris extrema syllaba partem insequentis numeri efficiat — 264 παναγίου dubitanter proposuit Pitra — 268 καὶ σὲ cod., particulam καὶ eiiciendam esse intellexit Pitra — 270 κηρύξομεν de coni. scripsit Pitra

εἰς τὴν χαρὰν τῆς θεοτόκου | λαοὶ εἴπωμεν·
εὐλογημένος ὁ ἐλθὼν | θεὸς ἡμῶν· δόξα σοι.

Ἀνίσχει ὁ ἀστὴρ | Ἰακὼβ ἐν τῷ σπηλαίῳ·
δεῦτε καὶ ἡμεῖς | προεόρτια τελοῦντες
συνδράμωμεν τοῖς μάγοις, | τοῖς ποιμέσι συνέλθωμεν·
ἴδωμεν θεὸν ἐν τοῖς σπαργάνοις·
ἴδωμεν παρθένον γαλουχοῦσαν· | φρικτὸν θέαμα!
ὁ βασιλεὺς τοῦ Ἰσραὴλ | Χριστὸς παραγίνεται.

Βουνοὶ γλυκασμὸν | σταλαξάτωσαν· ἰδοὺ γὰρ
ἥκει ὁ θεός, | ἐκ Θαιμὰν ἔθνη ἡττᾶσθε·
ἀγάλλεσθε προφῆται, | πατριάρχαι σκιρτήσατε·
ἄνθρωποι χορεύσατε ἐνθέως·
ὁ ἰσχυρὸς καὶ μέγας ἄρχων | Χριστὸς τίκτεται·
ὁ βασιλεὺς τῶν οὐρανῶν | ἐν γῇ παραγίνεται.

Γῆθεν ἀνυψῶν | τοὺς βροτοὺς ὁ πλάστης ἥκει,
τὴν βασιλικὴν | καινουργῶν αὖθις εἰκόνα·
συγχάρητε, τῶν ἄνω | αἱ δυνάμεις, ὑμνήσατε·
ἔχθρας τὸ μεσότοιχον ἐλύθη·
ἦλθεν ᾧ ἀπέκειτο· θεὸς γὰρ | βροτὸς γίνεται·
ὁ βασιλεὺς τοῦ Ἰσραὴλ | Χριστὸς παραγίνεται.

Δεῦτε, οἱ πιστοί, | ὑπαντήσωμεν τῷ κτίστῃ,
ἥκοντι εἰς γῆν | ἐκ παρθένου ἀνατεῖλαι·
ἁγνείᾳ λαμπρυνθῶμεν, | ἀρεταῖς ἀπαστράψωμεν·
τρόμῳ καὶ χαρᾷ ἑτοιμασθῶμεν
Χριστὸν ἰδέσθαι βρεφωθέντα | νοὸς ὄμμασιν,
ἡμᾶς θεοῦντα τοὺς βροτοὺς | ἄκρᾳ ἀγαθότητι.

Ἐγγίζει ὁ Χριστός· | Βηθλεὲμ προετοιμάζου·
ἤδη τῶν ἐθνῶν | τὸ σωτήριον αὐγάζει·
εὐτρέπισον τὴν φάτνην, | τοὺς ποιμένας συνάγαγε,
κάλεσον τοὺς μάγους ἐκ Περσίδος·
αἱ στρατιαὶ τῶν ἀσωμάτων | νοῶν κράζουσιν·
ὁ βασιλεὺς τῶν οὐρανῶν | Χριστὸς παραγίνεται.

Ζῆλός τε καὶ πῦρ | καταφάγεταί σε, ἄφρων,
πλάνε ἀληθῶς | καὶ τοῦ νόμου συκοφάντα·
Ἰδοὺ γὰρ ἡ παρθένος, | Ἡσαΐας ὡς ἔφησεν,
ἔσχεν ἐν γαστρὶ καὶ ἐπὶ φάτνης

---

7 primum versiculum anacrusi auctum retinere quam articulum ὁ in altera et sexta strophа delere malui; item quinto versui secundae et quartae strophae una syllaba praefixa est.

ἀνακλινεῖ τὸν βαcιλέα· | διὸ ἅπαντεc
οἱ ἐξ Ἰούδα τῆc φυλῆc | δυνάcται ἐκλείψουcιν.

CEPΓIOY

ἀκάθιcτοc ὕμνοc τῆc θεοτόκου (Τριῳδ. cελ. 281—287)
κοντάκιον. ἦχοc πλ. δ'.

Τῇ ὑπερμάχῳ cτρατηγῷ τὰ νικητήρια,
ὡc λυτρωθεῖcα τῶν δεινῶν, εὐχαριcτήρια
ἀναγράφω cοι ἡ πόλιc cου, θεοτόκε·
ἀλλ' ὡc ἔχουcα τὸ κράτοc ἀπροcμάχητον
ἐκ παντοίων με κινδύνων ἐλευθέρωcον,
ἵνα κράζω cοι· χαῖρε, νύμφη ἀνύμφευτε.

Οἱ οἶκοι τοῦ ἀκαθίcτου ὕμνου κατ' ἀλφάβητον.

Ἄγγελοc πρωτοcτάτηc | οὐρανόθεν ἐπέμφθη
εἰπεῖν τῇ θεοτόκῳ τὸ «χαῖρε»·
καὶ cὺν τῇ ἀcωμάτῳ φωνῇ
cωματούμενόν cε θεωρῶν, κύριε,
ἐξίcτατο καὶ ἵcτατο, | κραυγάζων πρὸc αὐτὴν τοιαῦτα·
χαῖρε, δι' ἧc ἡ χαρὰ ἐκλάμψει·
χαῖρε, δι' ἧc ἡ ἀρὰ ἐκλείψει·
χαῖρε, τοῦ πεcόντοc Ἀδὰμ ἡ ἀνάκληcιc·
χαῖρε, τῶν δακρύων τῆc Εὔαc ἡ λύτρωcιc·
χαῖρε, ὕψοc δυcανάβατον | ἀνθρωπίνοιc λογιcμοῖc·
χαῖρε, βάθοc δυcθεώρητον | καὶ ἀγγέλων ὀφθαλμοῖc·
χαῖρε, ὅτι ὑπάρχειc | βαcιλέωc καθέδρα·
χαῖρε, ὅτι βαcτάζειc | τὸν βαcτάζοντα πάντα·
χαῖρε, ἀcτὴρ ἐμφαίνων τὸν ἥλιον·
χαῖρε, γαcτὴρ ἐνθέου cαρκώcεωc·
χαῖρε, δι' ἧc νεουργεῖται ἡ κτίcιc·
χαῖρε, δι' ἧc βρεφουργεῖται ὁ κτίcτηc·
χαῖρε, νύμφη ἀνύμφευτε.

Βλέπουcα ἡ ἁγία | ἑαυτὴν ἐν ἁγνείᾳ
φηcὶ τῷ Γαβριὴλ θαρcαλέωc·
τὸ παράδοξόν cου τῆc φωνῆc
δυcπαράδεκτόν μου τῇ ψυχῇ φαίνεται·
ἀcπόρου γὰρ cυλλήψεωc | τὴν κύηcιν πῶc λέγειc κράζων·
Ἀλληλούϊα.

Codd. FG usi sumus in contakio et primo vico Sergii hymni recognoscendis — 2 μεθ' ἧc F — προcκυνεῖται ὁ πλάcτηc FG

Γνῶϲιν ἄγνωϲτον γνῶναι | ἡ παρθένοϲ ζητοῦϲα
ἐβόηϲε πρὸϲ τὸν λειτουργοῦντα·
ἐκ λαγόνων ἁγνῶν υἱὸν
πῶϲ ἐϲτι τεχθῆναι δυνατόν; λέξον μοι·
πρὸϲ ἣν ἐκεῖνοϲ ἔφηϲεν ἐν φόβῳ, | πλὴν κραυγάζων οὕτω·
χαῖρε, βουλῆϲ ἀπορρήτου μύϲτιϲ·
χαῖρε, ϲιγῆϲ δεομένων πίϲτιϲ·
χαῖρε, τῶν θαυμάτων Χριϲτοῦ τὸ προοίμιον·
χαῖρε, τῶν δογμάτων αὐτοῦ τὸ κεφάλαιον·
χαῖρε, κλίμαξ ἐπουράνιε, | ᾗ κατέβη ὁ θεόϲ·
χαῖρε, γέφυρα μετάγουϲα | τοὺϲ ἐκ γῆϲ πρὸϲ οὐρανόν·
χαῖρε, τὸ τῶν ἀγγέλων | πολυθρύλλητον θαῦμα·
χαῖρε, τὸ τῶν δαιμόνων | πολυθρήνητον τραῦμα·
χαῖρε, τὸ φῶϲ ἀρρήτωϲ γεννήϲαϲα·
χαῖρε, τὸ «πῶϲ» μηδένα διδάξαϲα·
χαῖρε, ϲοφῶν ὑπερβαίνουϲα γνῶϲιν·
χαῖρε, πιϲτῶν καταυγάζουϲα φρέναϲ·
χαῖρε, νύμφη ἀνύμφευτε.

Δύναμιϲ τοῦ ὑψίϲτου | ἐπεϲκίαϲε τότε
πρὸϲ ϲύλληψιν τῇ ἀπειρογάμῳ·
καὶ τὴν εὔκαρπον ταύτηϲ νηδὺν
ὡϲ ἀγρὸν ὑπέδειξεν ἡδὺν ἅπαϲι
τοῖϲ θέλουϲι θερίζειν ϲωτηρίαν | ἐν τῷ ψάλλειν οὕτωϲ·
Ἀλληλούϊα.

Ἔχουϲα θεοδόχον | ἡ παρθένοϲ τὴν μήτραν
ἀνέδραμε πρὸϲ τὴν Ἐλιϲάβετ·
τὸ δὲ βρέφοϲ ἐκείνηϲ εὐθὺϲ
ἐπιγνοὺν τὸν ταύτηϲ ἀϲπαϲμὸν ἔχαιρε
καὶ ἅλμαϲιν ὡϲ ᾄϲμαϲιν | ἐβόα πρὸϲ τὴν θεοτόκον·
χαῖρε, βλαϲτοῦ ἀμαράντου κλῆμα·
χαῖρε, καρποῦ ἀκηράτου κτῆμα·
χαῖρε, γεωργὸν γεωργοῦϲα φιλάνθρωπον·
χαῖρε, φυτουργὸν τῆϲ ζωῆϲ ἡμῶν φύουϲα·
χαῖρε, ἄρουρα βλαϲτάνουϲα | εὐφορίαν οἰκτιρμῶν·
χαῖρε, τράπεζα βαϲτάζουϲα | εὐθηνίαν ἱλαϲμῶν·
χαῖρε, ὅτι λειμῶνα | τῆϲ τρυφῆϲ ἀναθάλλειϲ·
χαῖρε, ὅτι λιμένα | τῶν ψυχῶν ἑτοιμάζειϲ·
χαῖρε, δεκτὸν πρεϲβείαϲ θυμίαμα·
χαῖρε, παντὸϲ τοῦ κόϲμου ἐξίλαϲμα·
χαῖρε, θεοῦ πρὸϲ θνητοὺϲ εὐδοκία·

---

40 ᾗ coniectura reposuimus: δι' ἧϲ Triod.

χαῖρε, θνητῶν πρὸϲ θεὸν παρρηϲία·
χαῖρε, νύμφη ἀνύμφευτε.

Ζάλην ἔνδοθεν ἔχων | λογιϲμῶν ἀμφιβόλων
ὁ ϲώφρων Ἰωϲὴφ ἐταράχθη,
πρὸϲ τὴν ἄγαμόν ϲε θεωρῶν
καὶ κλεψίγαμον ὑπονοῶν, ἄμεμπτε·
μαθὼν δὲ ϲου τὴν ϲύλληψιν | ἐκ πνεύματοϲ ἁγίου ἔφη·
Ἀλληλούϊα.

Ἤκουϲαν οἱ ποιμένεϲ | τῶν ἀγγέλων ὑμνούντων
τὴν ἔνϲαρκον Χριϲτοῦ παρουϲίαν·
καὶ δραμόντεϲ ὡϲ πρὸϲ ποιμένα
θεωροῦϲι τοῦτον ὡϲ ἀμνὸν ἄμωμον
ἐν τῇ γαϲτρὶ Μαρίαϲ βοϲκηθέντα, | ἣν ὑμνοῦντεϲ εἶπον·
χαῖρε, ἀμνοῦ καὶ ποιμένοϲ μήτηρ·
χαῖρε, αὐλὴ λογικῶν προβάτων·
χαῖρε, ἀοράτων ἐχθρῶν ἀμυντήριον·
χαῖρε, παραδείϲου θυρῶν ἀνοικτήριον·
χαῖρε, ὅτι τὰ οὐράνια | ϲυναγάλλεται τῇ γῇ·
χαῖρε, ὅτι τὰ ἐπίγεια | ϲυγχορεύει οὐρανοῖϲ·
χαῖρε, τῶν ἀποϲτόλων | τὸ ἀϲίγητον ϲτόμα·
χαῖρε, τῶν ἀθλοφόρων | τὸ ἀνίκητον θάρϲοϲ·
χαῖρε, ϲτερρὸν τῆϲ πίϲτεωϲ ἔρειϲμα·
χαῖρε, λαμπρὸν τῆϲ χάριτοϲ γνώριϲμα·
χαῖρε, δι᾽ ἧϲ ἐγυμνώθη ὁ ᾅδηϲ·
χαῖρε, δι᾽ ἧϲ ἐνεδύθημεν δόξαν·
χαῖρε, νύμφη ἀνύμφευτε.

Θεοδρόμον ἀϲτέρα | θεωρήϲαντεϲ μάγοι
τῇ τούτου ἠκολούθηϲαν αἴγλῃ·
καὶ ὡϲ λύχνον κρατοῦντεϲ αὐτὸν,
δι᾽ αὐτοῦ ἠρεύνων κραταιὸν ἄνακτα·
καὶ φθάϲαντεϲ τὸν ἄφθαϲτον | ἐχάρηϲαν, αὐτῷ βοῶντεϲ·
Ἀλληλούϊα.

Ἴδον παῖδεϲ Χαλδαίων | ἐν χερϲὶ τῆϲ παρθένου
τὸν πλάϲαντα χειρὶ τοὺϲ ἀνθρώπουϲ·
καὶ δεϲπότην νοοῦντεϲ αὐτὸν,
εἰ καὶ δούλου ἔλαβε μορφὴν, ἔϲπευϲαν
τοῖϲ δώροιϲ θεραπεῦϲαι καὶ | βοῆϲαι τῇ εὐλογημένῃ·
χαῖρε, ἀϲτέροϲ ἀδύτου μήτηρ·
χαῖρε, αὐγὴ μυϲτικῆϲ ἡμέραϲ·
χαῖρε, τῆϲ ἀπάτηϲ τὴν κάμινον ϲβέϲαϲα·
χαῖρε, τῆϲ τριάδοϲ τοὺϲ μύϲταϲ φωτίζουϲα·

χαῖρε, τύραννον ἀπάνθρωπον | ἐκβαλοῦϲα τῆϲ ἀρχῆϲ·
    χαῖρε, κύριον φιλάνθρωπον | ἐπιδείξαϲα Χριϲτόν·
χαῖρε, ἡ τῆϲ βαρβάρου | λυτρουμένη θρηϲκείαϲ·
    χαῖρε, ἡ τοῦ βορβόρου | ῥυομένη τῶν ἔργων·
χαῖρε, πυρὸϲ προϲκύνηϲιν παύϲαϲα·
    χαῖρε, φλογὸϲ παθῶν ἀπαλλάττουϲα·
χαῖρε, πιϲτῶν ὁδηγὲ ϲωφροϲύνηϲ·
    χαῖρε, παϲῶν γενεῶν εὐφροϲύνη·
        χαῖρε, νύμφη ἀνύμφευτε.

Κήρυκεϲ θεοφόροι | γεγονότεϲ οἱ μάγοι
    ὑπέϲτρεψαν εἰϲ τὴν Βαβυλῶνα,
ἐκτελέϲαντέϲ ϲου τὸν χρηϲμὸν
    καὶ κηρύξαντέϲ ϲε τὸν Χριϲτὸν ἅπαϲιν,
ἀφέντεϲ τὸν Ἡρώδην ὡϲ ληρώδη, | μὴ εἰδότα ψάλλειν·
        Ἀλληλούϊα.

Λάμψαϲ ἐν τῇ Αἰγύπτῳ | φωτιϲμὸν ἀληθείαϲ
    ἐδίωξαϲ τοῦ ψεύδουϲ τὸ ϲκότοϲ·
τὰ γὰρ εἴδωλα ταύτηϲ, ϲωτήρ,
    μὴ ἐνέγκαντά ϲου τὴν ἰϲχὺν πέπτωκεν·
οἱ τούτων δὲ ῥυϲθέντεϲ | ἐβόων πρὸϲ τὴν θεοτόκον·
χαῖρε, ἀνόρθωϲιϲ τῶν ἀνθρώπων·
    χαῖρε, κατάπτωϲιϲ τῶν δαιμόνων·
χαῖρε, τῆϲ ἀπάτηϲ τὴν πλάνην πατήϲαϲα·
    χαῖρε, τῶν εἰδώλων τὸν δόλον ἐλέγξαϲα·
χαῖρε, θάλαϲϲα ποντίϲαϲα | Φαραὼ τὸν νοητόν·
    χαῖρε, πέτρα ἡ ποτίϲαϲα | τοὺϲ διψῶνταϲ τὴν ζωήν·
χαῖρε, πύρινε ϲτύλε | ὁδηγῶν τοὺϲ ἐν ϲκότει·
    χαῖρε, ϲκέπη τοῦ κόϲμου, | πλατυτέρα νεφέληϲ·
χαῖρε, τροφὴ τοῦ μάννα διάδοχε·
    χαῖρε, τρυφῆϲ ἁγίαϲ διάκονε·
χαῖρε, ἡ γῆ τῆϲ ἐπαγγελίαϲ·
    χαῖρε, ἐξ ἧϲ ῥέει μέλι καὶ γάλα·
        χαῖρε, νύμφη ἀνύμφευτε.

Μέλλοντεϲ Ϲυμεῶνοϲ | τοῦ παρόντοϲ αἰῶνοϲ
    μεθίϲταϲθαι τοῦ ἀπατεῶνοϲ,
ἐπεδόθηϲ ὡϲ βρέφοϲ αὐτῷ,
    ἀλλ᾿ ἐγνώϲθηϲ τούτῳ καὶ θεὸϲ τέλειοϲ·
διόπερ ἐξεπλάγη ϲου | τὴν ἄπειρον ϲοφίαν κράζων·
        Ἀλληλούϊα.

---

142 fort. ἡ γαῖα vel ἡ γῆ ἡ

Νέαν ἔδειξε κτίϲιν | ἐμφανίϲαϲ ὁ κτίϲτηϲ
ἡμῖν τοῖϲ ὑπ' αὐτοῦ γενομένοιϲ,
ἐξ ἀϲπόρου βλαϲτήϲαϲ γαϲτρὸϲ
καὶ φυλάξαϲ ταύτην, ὥϲπερ ἦν, ἄφθορον,
ἵνα τὸ θαῦμα βλέποντεϲ | ὑμνήϲωμεν αὐτὴν βοῶντεϲ·
χαῖρε, τὸ ἄνθοϲ τῆϲ ἀφθαρϲίαϲ·
χαῖρε, τὸ ϲτέφοϲ τῆϲ ἐγκρατείαϲ·
χαῖρε, ἀναϲτάϲεωϲ τύπον ἐκλάμπουϲα·
χαῖρε, τῶν ἀγγέλων τὸν βίον ἐμφαίνουϲα·
χαῖρε, δένδρον ἀγλαόκαρπον, | ἐξ οὗ τρέφονται πιϲτοί·
χαῖρε, ξύλον εὐϲκιόφυλλον, | ὑφ' οὗ ϲκέπονται πολλοί·
χαῖρε, κυοφοροῦϲα | ὁδηγὸν πλανωμένοιϲ·
χαῖρε, ἀπογεννῶϲα | λυτρωτὴν αἰχμαλώτοιϲ·
χαῖρε, κριτοῦ δικαίου δυϲώπηϲιϲ·
χαῖρε, πολλῶν πταιόντων ϲυγχώρηϲιϲ·
χαῖρε, ϲτολὴ τῶν γυμνῶν παρρηϲίαϲ·
χαῖρε, ϲτοργὴ πάντα πόθον νικῶϲα·
χαῖρε, νύμφη ἀνύμφευτε.

Ξένον τόκον ἰδόντεϲ | ξενωθῶμεν τοῦ κόϲμου,
τὸν νοῦν εἰϲ οὐρανὸν μεταθέντεϲ·
διὰ τοῦτο γὰρ ὁ ὑψηλὸϲ θεὸϲ
ἐπὶ γῆϲ ἐφάνη ταπεινὸϲ ἄνθρωποϲ,
βουλόμενοϲ ἑλκύϲαι πρὸϲ τὸ ὕψοϲ | τοὺϲ αὐτῷ βοῶνταϲ·
Ἀλληλούϊα.

Ὅλοϲ ἦν ἐν τοῖϲ κάτω | καὶ τῶν ἄνω οὐδ' ὅλωϲ
ἀπῆν ὁ ἀπερίγραπτοϲ λόγοϲ·
ϲυγκατάβαϲιϲ γὰρ θεϊκή,
οὐ μετάβαϲιϲ δὲ τοπικὴ γέγονε,
καὶ τόκοϲ ἐκ παρθένου θεολήπτου | ἀκουούϲηϲ ταῦτα·
χαῖρε, θεοῦ ἀχωρήτου χώρα·
χαῖρε, ϲεπτοῦ μυϲτηρίου θύρα·
χαῖρε, τῶν ἀπίϲτων ἀμφίβολον ἄκουϲμα·
χαῖρε, τῶν πιϲτῶν ἀναμφίβολον καύχημα·
χαῖρε, ὄχημα πανάγιον | τοῦ ἐπὶ τῶν Χερουβίμ·
χαῖρε, οἴκημα πανάριϲτον | τοῦ ἐπὶ τῶν Ϲεραφίμ·
χαῖρε, ἡ τἀναντία | εἰϲ ταὐτὸ ἀγαγοῦϲα·
χαῖρε, ἡ παρθενίαν | καὶ λοχείαν ζευγνῦϲα·
χαῖρε, δι' ἧϲ ἐλύθη παράβαϲιϲ·
χαῖρε, δι' ἧϲ ἠνοίχθη παράδειϲοϲ·
χαῖρε, ἡ κλεὶϲ τῆϲ Χριϲτοῦ βαϲιλείαϲ·

---

171 θεόϲ] duabus syllabis versus abundat.

χαῖρε, ἐλπὶc ἀγαθῶν αἰωνίων·
χαῖρε, νύμφη ἀνύμφευτε·

Πᾶcα φύcιc ἀγγέλων | κατεπλάγη τὸ μέγα
τῆc cῆc ἐνανθρωπήcεωc ἔργον·
τὸν ἀπρόcιτον γὰρ ὡc θεὸν
ἐθεώρει πᾶcι προcιτὸν ἄνθρωπον,
ἡμῖν μὲν cυνδιάγοντα, | ἀκούοντα δὲ παρὰ πάντων· [οὕτωc]
Ἀλληλούϊα.

Ῥήτοραc πολυφθόγγουc | ὡc ἰχθύαc ἀφώνουc
ὁρῶμεν ἐπὶ cοί, θεοτόκε·
ἀποροῦcι γὰρ λέγειν τό· «πῶc
καὶ παρθένοc μένειc καὶ τεκεῖν ἴcχυcαc·»
ἡμεῖc δὲ τὸ μυcτήριον θαυμάζοντεc | πιcτῶc βοῶμεν·
χαῖρε, cοφίαc θεοῦ δοχεῖον·
χαῖρε, προνοίαc αὐτοῦ ταμεῖον·
χαῖρε, φιλοcόφουc ἀcόφουc δεικνύουcα·
χαῖρε, τεχνολόγουc ἀλόγουc ἐλέγχουcα·
χαῖρε, ὅτι ἐμωράνθηcαν | οἱ δεινοὶ cυζητηταί·
χαῖρε, ὅτι ἐμαράνθηcαν | οἱ τῶν μύθων ποιηταί·
χαῖρε, τῶν Ἀθηναίων | τὰc πλοκὰc διαcπῶcα·
χαῖρε, τῶν ἁλιέων | τὰc cαγήναc πληροῦcα·
χαῖρε, βυθοῦ ἀγνοίαc ἐξέλκουcα·
χαῖρε, πολλοὺc ἐν γνώcει φωτίζουcα·
χαῖρε, ὁλκὰc τῶν θελόντων cωθῆναι·
χαῖρε, λιμὴν τῶν τοῦ βίου πλωτήρων·
χαῖρε, νύμφη ἀνύμφευτε.

Cῶcαι θέλων τὸν κόcμον | ὁ τῶν ὅλων κοcμήτωρ
πρὸc τοῦτον αὐτεπάγγελτοc ἦλθε·
καὶ ποιμὴν ὑπάρχων ὡc θεὸc
δι' ἡμᾶc ἐφάνη καθ' ἡμᾶc ἄνθρωποc·
ὁμοίῳ γὰρ τὸ ὅμοιον καλέcαc | ὡc θεὸc ἀκούει·
Ἀλληλούϊα.

Τεῖχοc εἶ τῶν παρθένων, | θεοτόκε παρθένε,
καὶ πάντων τῶν εἰc cὲ προcτρεχόντων·
ὁ γὰρ τοῦ οὐρανοῦ καὶ τῆc γῆc
κατεcκεύαcέ cε ποιητήc, ἄχραντε,
οἰκήcαc ἐν τῇ μήτρᾳ cου | καὶ πάνταc cοι προcφωνεῖν διδάξαc·
χαῖρε, ἡ cτήλη τῆc παρθενίαc·
χαῖρε, ἡ πύλη τῆc cωτηρίαc·

201 fort. λέγοντεc· πῶc — 227 fort. φωνεῖν

χαῖρε, ἀρχηγὲ νοητῆc ἀναπλάcεωc·
χαῖρε, χορηγὲ θεϊκῆc ἀγαθότητοc·
χαῖρε· cὺ γὰρ ἀνεγέννηcαc | τοὺc cυλληφθένταc αἰcχρῶc·
χαῖρε· cὺ γὰρ ἐνουθέτηcαc | τοὺc cυληθένταc τὸν νοῦν.
χαῖρε, ἡ τὸν φθορέα | τῶν φρενῶν καταργοῦcα·
χαῖρε, ἡ τὸν cπορέα | τῆc ἁγνείαc τεκοῦcα·
χαῖρε, παcτὰc ἀcπόρου νυμφεύcεωc·
χαῖρε, πιcτοὺc κυρίῳ ἁρμόζουcα·
χαῖρε, καλὴ κουροτρόφε παρθένων·
χαῖρε, ψυχῶν νυμφοcτόλε ἁγίων·
χαῖρε, νύμφη ἀνύμφευτε.

Ὕμνοc ἅπαc ἡττᾶται, | cυνεκτείνεcθαι cπεύδων
τῷ πλήθει τῶν πολλῶν οἰκτιρμῶν cου·
ἰcαρίθμουc γὰρ [τῇ] ψάμμῳ ᾠδὰc
ἂν προcφέρωμέν coι, βαcιλεῦ ἅγιε,
οὐδὲν τελοῦμεν ἄξιον, | ὧν δέδωκαc ἡμῖν [τοῖc coì] βοῶcιν·
Ἀλληλούϊα.

Φωτοδόχον λαμπάδα | τοῖc ἐν cκότει φανεῖcαν
ὁρῶμεν τὴν ἁγίαν παρθένον·
τὸ γὰρ ἄϋλον ἅπτουcα φῶc
ὁδηγεῖ πρὸc γνῶcιν θεϊκὴν ἅπανταc,
αὐγῇ τὸν νοῦν φωτίζουcα, κραυγῇ δὲ τιμωμένη ταύτῃ·
χαῖρε, ἀκτὶc νοητοῦ ἡλίου·
χαῖρε, βολὶc τοῦ ἀδύτου φέγγουc·
χαῖρε, ἀcτραπὴ τὰc ψυχὰc καταλάμπουcα·
χαῖρε, ὡc βροντὴ τοὺc ἐχθροὺc καταπλήττουcα·
χαῖρε, ὅτι τὸν πολύφωτον | ἀνατέλλειc φωτιcμόν·
χαῖρε, ὅτι τὸν πολύρρυτον | ἀναβλύζειc ποταμόν·
χαῖρε, τῆc κολυμβήθραc | ζωγραφοῦcα τὸν τύπον·
χαῖρε, τῆc ἁμαρτίαc | ἀναιροῦcα τὸν ῥύπον·
χαῖρε, λουτὴρ ἐκπλύνων cυνείδηcιν·
χαῖρε, κρατὴρ κιρνῶν ἀγαλλίαcιν·
χαῖρε, ὀcμὴ τῆc Χριcτοῦ εὐωδίαc·
χαῖρε, ζωὴ μυcτικῆc εὐωχίαc·
χαῖρε, νύμφη ἀνύμφευτε.

Χάριν δοῦναι θελήcαc | ὀφλημάτων ἀρχαίων
ὁ πάντων χρεωλύτηc ἀνθρώπων,
ἐπεδήμηcε δι' ἑαυτοῦ
πρὸc τοὺc ἀποδήμουc τῆc αὐτοῦ χάριτοc·

---

244 τῇ et 245 τοῖc coì expellenda esse numeri arguunt — 251 ταῦτα Triod.

καὶ ϲχίϲαϲ τὸ χειρόγραφον | ἀκούει παρὰ πάντων οὕτωϲ·
Ἀλληλούϊα.

Ψάλλοντέϲ ϲου τὸν τόκον | ἀνυμνοῦμέν ϲε πάντεϲ
ὡϲ ἔμψυχον ναόν, θεοτόκε·
ἐν τῇ ϲῇ γὰρ οἰκήϲαϲ γαϲτρὶ
ὁ ϲυνέχων πάντα τῇ χειρὶ κύριοϲ
ἡγίαϲεν, ἐδόξαϲεν, | ἐδίδαξε βοᾷν ϲοι πάνταϲ·
χαῖρε, ϲκηνὴ τοῦ θεοῦ καὶ λόγου·
χαῖρε, ἁγία ἁγίων μείζων.
χαῖρε, κιβωτὲ χρυϲωθεῖϲα τῷ πνεύματι·
χαῖρε, θηϲαυρὲ τῆϲ ζωῆϲ ἀδαπάνητε·
χαῖρε, τίμιον διάδημα | βαϲιλέων εὐϲεβῶν·
χαῖρε, καύχημα ϲεβάϲμιον | ἱερέων εὐλαβῶν.
χαῖρε, τῆϲ ἐκκληϲίαϲ | ὁ ἀϲάλευτοϲ πύργοϲ·
χαῖρε, τῆϲ βαϲιλείαϲ | τὸ ἀπόρθητον τεῖχοϲ·
χαῖρε, δι' ἧϲ ἐγείρονται τρόπαια·
χαῖρε, δι' ἧϲ ἐχθροὶ καταπίπτουϲι·
χαῖρε, χρωτὸϲ τοῦ ἐμοῦ θεραπεία·
χαῖρε, ψυχῆϲ τῆϲ ἐμῆϲ ϲωτηρία·
χαῖρε, νύμφη ἀνύμφευτε.

Ὦ πανύμνητε μῆτερ, | ἡ τεκοῦϲα τὸν πάντων
ἁγίων ἁγιώτατον λόγον,
δεξαμένη τὴν νῦν προϲφοράν,
ἀπὸ πάϲηϲ ῥῦϲαι ϲυμφορᾶϲ ἅπανταϲ
καὶ τῆϲ μελλούϲηϲ λύτρωϲαι κολάϲεωϲ | τοὺϲ ϲυμβοῶνταϲ·
Ἀλληλούϊα.

ΑΝΔΡΕΟΥ ΚΡΗΤΗϹ

I

Τοῦ μεγάλου κανόνοϲ τὸ πρῶτον τμῆμα ψαλλόμενον τῇ β' τῆϲ α' ἑβδομάδοϲ τῶν νηϲτειῶν· ἐν τῷ ἀποδείπνῳ (Τριῴδ. ϲελ. 80)

ἦχοϲ πλ. β'.

ᾠδὴ α'.

Βοηθὸϲ καὶ ϲκεπαϲτὴϲ | ἐγένετό μοι εἰϲ ϲωτηρίαν·
οὗτόϲ μου θεόϲ, | καὶ δοξάζω αὐτόν·
θεὸϲ τοῦ πατρόϲ μου, | καὶ ὑψώϲω αὐτόν·
ἐνδόξωϲ γὰρ δεδόξαϲται.

1 Exod. XV 2 — 3 verbum monosyllabum in altero membro excidisse videtur

Πόθεν ἄρξωμαι θρηνεῖν | τὰς τοῦ ἀθλίου μου βίου πράξεις;
ποίαν ἀπαρχὴν | ἐπιθήσω, Χριστέ,
τῇ νῦν θρηνῳδίᾳ; | ἀλλ' ὡς εὔσπλαγχνός μοι δὸς
παραπτωμάτων ἄφεσιν.

Δεῦρο τάλαινα ψυχή, | σὺν τῇ σαρκί σου τῷ κτίστῃ πάντων
ἐξομολογοῦ | καὶ ἀπόσχου λοιπὸν
τῆς πρὶν ἀλογίας | καὶ προσάγαγε θεῷ
ἐν μετανοίᾳ δάκρυα.

Τὸν πρωτόπλαστον Ἀδὰμ | τῇ παραβάσει παραζηλώσας
ἔγνων ἐμαυτὸν | γυμνωθέντα θεοῦ
καὶ τῆς ἀϊδίου | βασιλείας καὶ τρυφῆς
διὰ τὰς ἁμαρτίας μου.

Οἴμοι τάλαινα ψυχή! | τί ὡμοιώθης τῇ πρώτῃ Εὔᾳ;
εἶδες γὰρ κακῶς | καὶ ἐτρώθης πικρῶς
καὶ ἥψω τοῦ ξύλου | καὶ ἐγεύσω προπετῶς
τῆς παραλόγου βρώσεως.

Ἀντὶ Εὔας αἰσθητῆς | ἡ νοητή μοι κατέστη Εὔα,
ὁ ἐν τῇ σαρκὶ | ἐμπαθὴς λογισμός,
δεικνὺς τὰ ἡδέα | καὶ γευόμενος ἀεὶ
τῆς πικρᾶς καταπόσεως.

Ἐπαξίως τῆς Ἐδὲμ | προεξερρίφη ὡς μὴ φυλάξας
μίαν σου, σωτήρ, | ἐντολὴν ὁ Ἀδάμ·
ἐγὼ δὲ τί πάθω, | ἀθετῶν διὰ παντὸς
τὰ ζωηρά σου λόγια;

Ὑπερούσιε τριὰς | ἡ ἐν μονάδι προσκυνουμένη,
ἆρον τὸν κλοιὸν | ἀπ' ἐμοῦ τὸν βαρὺν
τὸν τῆς ἁμαρτίας | καὶ ὡς εὔσπλαγχνός μοι δὸς
δάκρυα κατανύξεως.

Θεοτόκε, ἡ ἐλπὶς | καὶ προστασία τῶν σε ὑμνούντων,
ἆρον τὸν κλοιὸν | ἀπ' ἐμοῦ τὸν βαρὺν
τὸν τῆς ἁμαρτίας | καὶ ὡς δέσποινα ἁγνὴ
μετανοοῦντα δέξαι με.

ᾠδὴ β'.

Πρόσεχε, | οὐρανέ, καὶ λαλήσω | καὶ ἀνυμνήσω Χριστὸν
τὸν ἐκ παρθένου σαρκὶ | ἐπιδημήσαντα.

Πρόσεχε, | οὐρανέ, καὶ λαλήσω· | γῆ, ἐνωτίζου φωνῆς
μετανοούσης θεῷ | καὶ ἀνυμνούσης αὐτόν.

---

25 Genes. III 23—24 — 37 Deuteronom. XXXII 1

Πρόϲχεϲ μοι | ὁ θεὸϲ ὁ ϲωτήρ μου | ἵλεῳ ὄμματί ϲου
καὶ δέξαι μου τὴν θερμὴν | ἐξομολόγηϲιν.

Ἡμάρτηκα | ὑπὲρ πάνταϲ ἀνθρώπουϲ, | μόνοϲ ἡμάρτηκά ϲοι·
ἀλλ' οἴκτειρον ὡϲ θεόϲ, | ϲῶτερ, τὸ ποίημά ϲου.

Μορφώϲαϲ μου | τὴν τῶν παθῶν ἀμορφίαν | ταῖϲ φιληδόνοιϲ ὁρμαῖϲ
ἐλυμηνάμην τοῦ νοῦ | τὴν ὡραιότητα.

Ζάλη με | τῶν κακῶν περιέχει, | εὔϲπλαγχνε κύριε·
ἀλλ' ὡϲ τῷ Πέτρῳ κἀμοὶ | τὴν χεῖρα ἔκτεινον.

Ἐϲπίλωϲα | τὸν τῆϲ ϲαρκόϲ μου χιτῶνα | καὶ κατερρύπωϲα
τὸ κατ' εἰκόνα, ϲωτὴρ, | καὶ καθ' ὁμοίωϲιν.

Ἠμαύρωϲα | τῆϲ ψυχῆϲ τὸ ὡραῖον | ταῖϲ τῶν παθῶν ἡδοναῖϲ
καὶ ὅλωϲ ὅλον τὸν νοῦν | χοῦν ἀπετέλεϲα.

Διέρρηξα | [νῦν] τὴν ϲτολήν μου τὴν πρώτην, | ἥν ἐξυφάνατό μοι
ὁ πλαϲτουργὸϲ ἐξ ἀρχῆϲ | καὶ ἔνθεν κεῖμαι γυμνόϲ.

Ἐνδέδυμαι | διερρηγμένον χιτῶνα, | ὃν ἐξυφάνατό μοι
ὁ ὄφιϲ τῇ ϲυμβουλῇ, | καὶ καταιϲχύνομαι.

Τὰ δάκρυα | τὰ τῆϲ πόρνηϲ, οἰκτίρμον, | κἀγὼ προβάλλομαι·
ἱλάϲθητί μοι, ϲωτὴρ, | τῇ εὐϲπλαγχνίᾳ ϲου.

Προϲέβλεψα | τοῦ φυτοῦ τὸ ὡραῖον | καὶ ἠπατήθην τὸν νοῦν
καὶ ἄρτι κεῖμαι γυμνὸϲ | καὶ καταιϲχύνομαι.

Ἐτέκταινον | ἐπὶ [τὸν] νῶτόν μου πάντεϲ | οἱ ἀρχηγοὶ τῶν κακῶν,
μακρύνοντεϲ κατ' ἐμοῦ | τὴν ἀνομίαν αὐτῶν.

Ἕνα ϲε | ἐν τριϲὶ τοῖϲ προϲώποιϲ | θεὸν ἁπάντων ὑμνῶ,
τὸν πατέρα καὶ [τὸν] υἱὸν | καὶ πνεῦμα τὸ ἅγιον.

Ἄχραντε | θεοτόκε παρθένε, | μόνη πανύμνητε,
ἱκέτευε ἐκτενῶϲ | εἰϲ τὸ ϲωθῆναι ἡμᾶϲ.

ᾠδὴ γʹ.

Ἐπὶ τὴν ἀϲάλευτον, Χριϲτὲ, | πέτραν τῶν ἐντολῶν ϲου
τὴν ἐκκληϲίαν ϲου ϲτερέωϲον.

Πῦρ παρὰ κυρίου ποτὲ | κύριοϲ ἐπιβρέξαϲ
τὴν γῆν Σοδόμων πρὶν κατέφλεξεν.

Εἰϲ τὸ ὄροϲ ϲώζου, ψυχή, | ὥϲπερ ὁ Λὼτ ἐκεῖνοϲ,
καὶ εἰϲ Σηγὼρ προαναϲώθητι.

---

53 νῦν rectius abiici significamus — 55 duas primas syllabas verbi διερρηγμένον synaloephe coniungas — 69 Genes. XIX 24—25 — 71 Genes. XIX 30

Φεῦγε ἐμπρηςμόν, ὦ ψυχή, | φεῦγε Cοδόμων καῦcιν,
φεῦγε φθορὰν θείας φλογώcεωc.

Ἥμαρτόν coι μόνοc ἐγώ, | ἥμαρτον ὑπὲρ πάνταc,
Χριcτὲ cωτήρ, μὴ ὑπερίδῃc με.

Cὺ εἶ ὁ ποιμὴν ὁ καλόc· | ζήτηcόν με τὸν ἄρνα,
καὶ πλανηθέντα μὴ παρίδῃc με.

Cὺ εἶ ὁ γλυκὺc Ἰηcοῦc, | cὺ εἶ ὁ πλαcτουργόc μου·
ἐν coί, cωτήρ, δικαιωθήcομαι.

Ἐξομολογοῦμαί coι, cωτήρ· | ἥμαρτόν coι ἀμέτρωc·
ἀλλ' ἄνεc, ἄφεc μοι ὡc εὔcπλαγχνοc.

Ὦ τριὰc μονὰc ὁ θεόc, | cῶcον ἡμᾶc ἐκ πλάνηc
καὶ πειραcμῶν καὶ περιcτάcεων.

Χαῖρε θεοδόχε γαcτήρ, | χαῖρε θρόνε κυρίου,
χαῖρε ἡ μήτηρ τῆc ζωῆc ἡμῶν.

ᾠδὴ δ'.

Ἀκήκοεν ὁ προφήτηc | τὴν ἔλευcίν cου, κύριε,
καὶ ἐφοβήθη,
ὅτι μέλλειc ἐκ παρθένου τίκτεcθαι
καὶ ἀνθρώποιc δείκνυcθαι καὶ ἔλεγεν·
ἀκήκοα τὴν ἀκοήν cου | καὶ ἐφοβήθην·
δόξα τῇ δυνάμει cου, κύριε.

Τὰ ἔργα cου μὴ παρίδῃc, | τὸ πλάcμα cου μὴ παρόψῃ,
δικαιοκρῖτα,
εἰ καὶ μόνοc ἥμαρτον ὡc ἄνθρωποc
ὑπὲρ πάντα ἄνθρωπον, φιλάνθρωπε,
ἀλλ' ἔχειc ὡc κύριοc πάντων | τὴν ἐξουcίαν
ἀφιέναι ἁμαρτήματα.

Ἐγγίζει, ψυχή, τὸ τέλοc, | ἐγγίζει καὶ οὐ φροντίζειc,
οὐχ ἑτοιμάζῃ·
ὁ καιρὸc cυντέμνει, διανάcτηθι·
ἐγγὺc ἐπὶ θύραιc ὁ κριτήc ἐcτιν·
ὡc ὄναρ, ὡc ἄνθοc ὁ χρόνοc | τοῦ βίου τρέχει·
τί μάτην ταραττόμεθα;

Ἀνάνηψον, ὦ ψυχή μου, | τὰc πράξειc cου, ἃc εἰργάcω,
ἀναλογίζου,
καὶ ταύταιc ἐπ' ὄψεcι προcάγαγε
καὶ cταγόναc cτάλαξον δακρύων cου·

87 Prec. Abac. 1 et 2 — 92 hirmi extremus versus parum cum tropariis conspirat

εἰπὲ παρρηϲίᾳ τὰϲ πράξειϲ, | τὰϲ ἐνθυμήϲειϲ
Χριϲτῷ καὶ δικαιώθητι.

Οὐ γέγονεν ἐν τῷ βίῳ | ἁμάρτημα οὐδὲ πρᾶξιϲ,
οὐδὲ κακία,
ἣν ἐγώ, ϲωτήρ, οὐκ ἐπλημμέληϲα
κατὰ νοῦν καὶ λόγον καὶ προαίρεϲιν,
καὶ θέϲει καὶ γνώμῃ καὶ πράξει | ἐξαμαρτήϲαϲ
ὡϲ ἄλλοϲ οὐδεὶϲ πώποτε.

Ἐντεῦθεν καὶ κατεκρίθην, | ἐντεῦθεν κατεδικάϲθην
ἐγὼ ὁ τάλαϲ
ὑπὸ τῆϲ οἰκείαϲ ϲυνειδήϲεωϲ,
ἧϲ οὐδὲν ἐν [τῷ] κόϲμῳ βιαιότερον·
κριτά, λυτρωτά μου καὶ γνῶϲτα, | φεῖϲαι καὶ ῥῦϲαι
καὶ ϲῶϲόν με τὸν δείλαιον.

Ἡ κλίμαξ, ἣν εἶδε πάλαι | ὁ μέγαϲ ἐν πατριάρχαιϲ,
δεῖγμα, ψυχή μου,
πρακτικῆϲ ὑπάρχει ἐπιβάϲεωϲ,
γνωϲτικῆϲ τυγχάνει ἀναβάϲεωϲ·
εἰ θέλειϲ οὖν πράξει καὶ γνώϲει | καὶ θεωρίᾳ
βιοῦν, ἀνακαινίϲθητι.

Τὸν καύϲωνα τῆϲ ἡμέραϲ | ὑπέμεινε δι' ἔνδειαν
ὁ πατριάρχηϲ
καὶ τὸν παγετὸν τῆϲ νυκτὸϲ ἤνεγκε,
καθ' ἡμέραν κλέμματα ποιούμενοϲ,
ποιμαίνων, πυκτεύων, δουλεύων, | ἵνα τὰϲ δύο
γυναῖκαϲ εἰϲαγάγηται.

Γυναῖκάϲ μοι δύο νόει | τὴν πρᾶξίν τε καὶ τὴν γνῶϲιν
ἐν θεωρίᾳ·
τὴν μὲν Λείαν πρᾶξιν, ὡϲ πολύτεκνον,
τὴν Ῥαχὴλ δὲ γνῶϲιν, ὡϲ πολύπονον·
καὶ γὰρ ἄνευ πόνων οὐ πρᾶξιϲ, | οὐ θεωρία,
ψυχή, κατορθωθήϲεται.

Ἀμέριϲτον τῇ οὐϲίᾳ, | ἀϲύγχυτον τοῖϲ προϲώποιϲ
θεολογῶ ϲε,
τὴν τριαδικὴν μίαν θεότητα
ὡϲ ὁμοβαϲίλειον καὶ ϲύνθρονον·
βοῶ ϲοι τὸ ᾆϲμα τὸ μέγα, | τὸ ἐν ὑψίϲτοιϲ
τριϲϲῶϲ ὑμνολογούμενον.

123 Genes. XXVIII 13 — 129 Genes. XXIX 15—30.

Καὶ τίκτεις καὶ παρθενεύεις | καὶ μένεις δι' ἀμφοτέρων
φύσει παρθένος·
ὁ τεχθεὶς καινίζει νόμους φύσεως,
ἡ νηδὺς δὲ κύει μὴ λοχεύουσα·
θεὸς ὅπου θέλει, νικᾶται | φύσεως τάξις·
ποιεῖ γὰρ ὅσα βούλεται.

ᾠδὴ ε΄.

Ἐκ νυκτὸς ὀρθρίζοντα, φιλάνθρωπε, | φώτισον, δέομαι,
καὶ ὁδήγησον κἀμὲ | ἐν τοῖς προστάγμασί σου
καὶ δίδαξόν με, σωτήρ, | ποιεῖν τὸ θέλημά σου.

Ἐν νυκτὶ τὸν βίον μου διῆλθον ἀεί· | σκότος γὰρ γέγονε
καὶ βαθεῖά μοι ἀχλὺς | ἡ νὺξ τῆς ἁμαρτίας·
ἀλλ' ὡς ἡμέρας υἱόν, σωτήρ, | ἀνάδειξόν με.

Τὸν Ῥουβὶμ μιμούμενος ὁ τάλας ἐγὼ | ἔπραξα ἄθεσμον
καὶ παράνομον βουλὴν | κατὰ θεοῦ ὑψίστου,
μιάνας κοίτην ἐμὴν | ὡς τοῦ πατρὸς ἐκεῖνος.

Ἐξομολογοῦμαί σοι, Χριστὲ βασιλεῦ· | ἥμαρτον, ἥμαρτον
ὡς οἱ πρὶν τὸν Ἰωσὴφ | ἀδελφοὶ πεπρακότες
τὸν τῆς ἁγνείας καρπὸν | καὶ τὸν τῆς σωφροσύνης·

Ὑπὸ τῶν συγγόνων ἡ δικαία ψυχὴ | δέδοτο, πέπρατο
εἰς δουλείαν, ὁ γλυκὺς | εἰς τύπον τοῦ κυρίου,
αὐτὴ δὲ ὅλη, ψυχή, | ἐπράθης τοῖς κακοῖς σου.

Ἰωσὴφ τὸν δίκαιον καὶ σώφρονα νοῦν | μίμησαι, τάλαινα
καὶ ἀδόκιμε ψυχή, | καὶ μὴ ἀκολασταίνου
ταῖς παρανόμοις ὁρμαῖς | ἀεὶ παρανομοῦσα.

Εἰ καὶ λάκκῳ ᾤκησε ποτὲ Ἰωσήφ, | δέσποτα κύριε,
ἀλλ' εἰς τύπον τῆς ταφῆς | καὶ τῆς ἐγέρσεώς σου·
ἐγὼ δὲ τί σοι ποτὲ | τοιοῦτο προσενέγκω;

Σέ, τριάς, δοξάζομεν τὸν ἕνα θεόν, | ἅγιος, ἅγιος,
ἅγιος εἶ ὁ πατήρ, | ὁ υἱὸς καὶ τὸ πνεῦμα,
ἁπλῆ οὐσία, μονὰς | ἀεὶ προσκυνουμένη.

Ἐκ σοῦ ἠμφιέσατο τὸ φύραμά μου, | ἄφθορε ἄνανδρε,
μητροπάρθενε, θεὸς | ὁ κτίσας τοὺς αἰῶνας
καὶ ἥνωσεν ἑαυτῷ | τὴν τῶν ἀνθρώπων φύσιν.

---

153 Jes. XXVI 9. — 159 Genes. XXXV 22. — 163 Genes. XXXVII 28. — 168 Genes. XXXIX 12 — 171 Genes. XXXVII 24

ᾠδὴ ϛʹ.

Ἐβόηϲα ἐν ὅλῃ καρδίᾳ μου | πρὸϲ τὸν οἰκτίρμονα θεὸν
καὶ ἐπήκουϲέ μου ἐξ ᾅδου κατωτάτου
καὶ ἀνήγαγεν ἐκ φθορᾶϲ | τὴν ζωήν μου.

Τὰ δάκρυα, ϲωτὴρ, τῶν ὀμμάτων μου | καὶ τοὺϲ ἐκ βάθουϲ ϲτεναγμοὺϲ
καθαρῶϲ προϲφέρω, βοώϲηϲ τῆϲ καρδίαϲ,
ὁ θεὸϲ ἡμάρτηκά ϲοι, | ἱλάϲθητί μοι·

Ἐξένευϲαϲ, ψυχὴ, τοῦ κυρίου ϲου, | ὥϲπερ Δαθὰν καὶ Ἀβειρών·
ἀλλὰ φεῖϲαι, κράξον, ἐξ ᾅδου κατωτάτου,
ἵνα μὴ τὸ χάϲμα τῆϲ γῆϲ | ϲε ϲυγκαλύψῃ.

Ὡϲ δάμαλιϲ, ψυχὴ, παροιϲτρήϲαϲα | ἐξωμοιώθηϲ τῷ Ἐφραίμ·
ὡϲ δορκὰϲ ἐκ βρόχων ἀνάϲωϲον τὸν βίον,
πτερωθεῖϲα πράξει καὶ νῷ | καὶ θεωρίᾳ.

Ἡ χεὶρ ἡμᾶϲ Μωϲέωϲ πιϲτώϲεται, | ψυχὴ, πῶϲ δύναται θεὸϲ
λεπρωθέντα βίον λευκᾶναι καὶ καθάραι,
καὶ μὴ ἀπογνῷϲ ϲεαυτὴν, | κἂν ἐλεπρώθηϲ.

Τριάϲ εἰμι ἁπλῆ, ἀδιαίρετοϲ, | διαιρετὴ προϲωπικῶϲ
καὶ μονὰϲ ὑπάρχω τῇ φύϲει ἡνωμένη,
ὁ πατήρ, φηϲι, καὶ υἱὸϲ | καὶ θεῖον πνεῦμα.

Ἡ μήτρα ϲου θεὸν ἡμῖν ἔτεκε | μεμορφωμένον καθ᾽ ἡμᾶϲ·
ἀλλ᾽ ὡϲ κτίϲτην πάντων δυϲώπει, θεοτόκε,
ἵνα ταῖϲ πρεϲβείαιϲ ταῖϲ ϲαῖϲ | δικαιωθῶμεν.

ᾠδὴ ζʹ.

Ἡμάρτομεν, ἠνομήϲαμεν, | ἠδικήϲαμεν ἐνώπιόν ϲου,
οὐδὲ ϲυνετηρήϲαμεν, οὐδὲ | ἐποιήϲαμεν,
καθὼϲ ἐνετείλω ἡμῖν·
ἀλλὰ μὴ παραδώῃϲ ἡμᾶϲ εἰϲ τέλοϲ,
ὁ τῶν πατέρων θεόϲ.

Ἡμάρτηκα, ἐπλημμέληϲα | καὶ ἠθέτηϲα τὴν ἐντολήν ϲου·
ὅτι ἐν ἁμαρτίαιϲ προήχθην | καὶ προϲέθηκα
τοῖϲ μώλωψι τραῦμα ἐμοί·
ἀλλ᾽ αὐτόϲ με ἐλέηϲον ὡϲ εὔϲπλαγχνοϲ,
ὁ τῶν πατέρων θεόϲ.

Τὰ κρύφια τῆϲ καρδίαϲ μου | ἐξηγόρευϲά ϲοι τῷ κριτῇ μου·
ἴδε μου τὴν ταπείνωϲιν, ἴδε | καὶ τὴν θλίψιν μου
καὶ πρόϲχεϲ τῇ κρίϲει μου νῦν·

---

180 Jon. II 3. — 186 Numeri XVI 31—33. — 189 Paralip. II. XXX 18. — 192 Exod. IV 6 et 7. — 208 fort. τραῦμα ἐμοῦ

καὶ αὐτόϲ με ἐλέηϲον ὡϲ εὔϲπλαγχνοϲ,
ὁ τῶν πατέρων θεόϲ.

Ϲαοὺλ ποτε, ὡϲ ἀπώλεϲε | τοῦ πατρὸϲ αὐτοῦ, ψυχή, τὰϲ ὄνουϲ,
πάρεργον τὸ βαϲίλειον εὗρε | πρὸϲ ἀνάρρηϲιν·
ἀλλ' ὅρα, μὴ λάθῃϲ ϲαυτὴν
τὰϲ κτηνώδειϲ ὀρέξειϲ ϲου προκρίνουϲα
τῆϲ βαϲιλείαϲ Χριϲτοῦ.

Δαυῒδ ποτε ὁ πατρόθεοϲ | εἰ καὶ ἥμαρτε διττῶϲ, ψυχή μου,
βέλει μὲν τοξευθεὶϲ τῆϲ μοιχείαϲ, | τῷ δὲ δόρατι
ἁλοὺϲ τῆϲ τοῦ φόνου ποινῆϲ·
ἀλλ' αὐτὴ τὰ βαρύτερα τῶν ἔργων νοϲεῖϲ
ταῖϲ κατὰ γνώμην ὁρμαῖϲ.

Ϲυνῆψε μὲν ὁ Δαυῒδ ποτε | ἀνομήματι τὴν ἀνομίαν·
φόνῳ γὰρ τὴν μοιχείαν ἐκίρνα, | τὴν μετάνοιαν
εὐθὺϲ παραδείξαϲ διπλῆν·
ἀλλ' αὐτὴ πονηρότερα εἰργάϲω, ψυχή,
μὴ μεταγνοῦϲα θεῷ.

Δαυῒδ ποτε ἀνεϲτήλωϲε | ϲυγγραψάμενοϲ ὡϲ ἐν εἰκόνι
ὕμνον, δι' οὗ τὴν πρᾶξιν ἐλέγχει, | ἣν εἰργάϲατο,
κραυγάζων· ἐλέηϲόν με·
ϲοὶ γὰρ μόνῳ ἐξήμαρτον τῷ πάντων θεῷ·
αὐτὸϲ καθάριϲόν με.

Τριὰϲ ἁπλῆ, ἀδιαίρετε, | ὁμοούϲιε, μονὰϲ ἁγία,
φῶτα καὶ φῶϲ, καὶ ἅγια τρία | καὶ ἓν ἅγιον
ὑμνεῖται θεὸϲ ἡ τριάϲ·
ἀλλ' ἀνύμνηϲον, δόξαϲον ζωὴν καὶ ζωάϲ,
ψυχή, τὸν πάντων θεόν.

Ὑμνοῦμέν ϲε, εὐλογοῦμέν ϲε, | προϲκυνοῦμέν ϲε, θεογεννῆτορ,
ὅτι τῆϲ ἀχωρίϲτου τριάδοϲ | ἀπεκύηϲαϲ
τὸν ἕνα υἱὸν καὶ θεόν,
καὶ αὐτὴ προηνέῳξαϲ ἡμῖν τοῖϲ ἐν γῇ
τὰ ἐπουράνια.

ᾠδὴ η'.

Ὃν ϲτρατιαὶ οὐρανῶν δοξάζουϲι | καὶ φρίττει τὰ Χερουβὶμ
καὶ τὰ Ϲεραφίμ, πᾶϲα πνοὴ καὶ κτίϲιϲ
ὑμνεῖτε, εὐλογεῖτε | καὶ ὑπερυψοῦτε
εἰϲ πάνταϲ τοὺϲ αἰῶναϲ.

---

216 Reg. I, IX. — 221 Reg. II, XI. — 231 Psalm. L.

Ἡμαρτηκότα, ϲωτὴρ, ἐλέηϲον, | διέγειρόν μου τὸν νοῦν
πρὸϲ ἐπιϲτροφὴν, | δέξαι μετανοοῦντα,
οἰκτείρηϲον βοῶντα· | ἥμαρτόν ϲοι, ϲῶϲον·
ἠνόμηϲα, ἐλέηϲόν με.

Ὁ διφρηλάτηϲ Ἠλίαϲ ἅρματι | ταῖϲ ἀρεταῖϲ ἐπιβὰϲ
ὡϲ εἰϲ οὐρανὸν | ἤγετο ὑπεράνω
ποτὲ τῶν ἐπιγείων· | τούτου οὖν, ψυχή μου,
τὴν ἄνοδον ἀναλογίζου.

Ὁ Ἐλιϲϲαῖόϲ ποτε δεξάμενοϲ | τὴν μηλωτὴν Ἠλιοὺ
ἔλαβε διπλῆν | χάριν παρὰ κυρίου·
αὐτὴ δὲ, ὦ ψυχή μου, | ταύτηϲ οὐ μετέϲχεϲ
τῆϲ χάριτοϲ δι' ἀκραϲίαν.

Τοῦ Ἰορδάνου τὸ ῥεῖθρον πρότερον | τῇ μηλωτῇ Ἠλιοὺ
δι' Ἐλιϲϲαιὲ | ἔϲτη ἔνθα καὶ ἔνθα·
αὐτὴ δὲ, ὦ ψυχή μου, | ταύτηϲ οὐ μετέϲχεϲ
τῆϲ χάριτοϲ δι' ἀκραϲίαν.

Ἡ Ϲωμανῖτιϲ ποτὲ τὸν δίκαιον | ἐξένιϲεν, ὦ ψυχὴ,
γνώμῃ ἀγαθῇ, | ϲὺ δὲ οὐκ εἰϲῳκίϲω,
οὐ ξένον, οὐχ ὁδίτην· | ὅθεν τοῦ νυμφῶνοϲ
ῥιφήϲῃ ἔξω θρηνῳδοῦϲα.

Τοῦ Γιεζῆ ἐμιμήϲω, τάλαινα, | τὴν γνώμην τὴν ῥυπαρὰν
πάντοτε, ψυχή· | οὗ τὴν φυλαργυρίαν
ἀπόθου κἂν ἐν γήρει, | φεῦγε τῆϲ γεέννηϲ
τὸ πῦρ, ἐκϲτᾶϲα τῶν κακῶν ϲου.

Ἄναρχε πάτερ, υἱὲ ϲυνάναρχε, | παράκλητε ἀγαθὲ,
πνεῦμα τὸ εὐθὲϲ, | λόγου θεοῦ γεννῆτορ,
πατρὸϲ ἀνάρχου λόγε, | πνεῦμα ζῶν καὶ κτίζον,
τριὰϲ μονὰϲ ἐλέηϲόν με.

Ὡϲ ἐκ βαφῆϲ ἁλουργίδοϲ, ἄχραντε, | ἡ νοητὴ πορφυρὶϲ,
τοῦ Ἐμμανουὴλ | ἔνδον ἐν τῇ γαϲτρί ϲου
ἡ ϲὰρξ ϲυνεξυφάνθη· | ὅθεν θεοτόκον
ἐν ἀληθείᾳ ϲε τιμῶμεν.

ᾠδὴ θ'.

Ἀϲπόρου ϲυλλήψεωϲ | ὁ τόκοϲ ἀνερμήνευτοϲ,
μητρὸϲ ἀνάνδρου | ἄφθοροϲ ἡ κύηϲιϲ·
θεοῦ γὰρ ἡ γέννηϲιϲ | καινοποιεῖ τὰϲ φύϲειϲ·

---

254 Reg. IV, II 11 et 12 — 258 ibid. 14. — 263 δι' Ἐλιϲϲαίου ne tentes, modi versiili prohibent — 266 Reg. IV, IV 8 — 270 Reg. IV, IV 27. — 272 an γήρᾳ? — 273 ἐκϲτᾶϲα Triod.

διό ϲε πᾶϲαι αἱ γενεαὶ | ὡϲ θεόνυμφον μητέρα
  ὀρθοδόξωϲ μεγαλύνομεν.

Ὁ νοῦϲ τετραυμάτιϲται, | τὸ ϲῶμα μεμαλάκιϲται,
  νοϲεῖ τὸ πνεῦμα, | ὁ λόγοϲ ἠϲθένηϲεν,
ὁ βίοϲ νενέκρωται, | τὸ τέλοϲ ἐπὶ θύραιϲ·
διό μοι, τάλαινα ψυχή, | τί ποιήϲειϲ, ὅταν ἔλθῃ
  ὁ κριτὴϲ ἀνερευνῆϲαι τὰ ϲά;

Μωϲέωϲ παρήγαγον, | ψυχή, τὴν κοϲμογένεϲιν
  καὶ ἐξ ἐκείνου | πᾶϲαν ἐνδιάθετον
γραφὴν ἱϲτοροῦϲάν ϲοι | δικαίουϲ καὶ ἀδίκουϲ·
ὧν τοὺϲ δευτέρουϲ, ὦ ψυχή, | ἐμιμήϲω, οὐ τοὺϲ πρώτουϲ,
  εἰϲ θεὸν ἐξαμαρτήϲαϲα.

Ὁ νόμοϲ ἠϲθένηϲεν, | ἀργεῖ τὸ εὐαγγέλιον,
  γραφὴ δὲ πᾶϲα | ἐν ϲοὶ παρημέληται,
προφῆται ἠτόνηϲαν | καὶ πᾶϲ δικαίου λόγοϲ·
αἱ τραυματίαι ϲου, ὦ ψυχή, | ἐπληθύνθηϲαν οὐκ ὄντοϲ
  ἰατροῦ τοῦ ὑγιοῦντόϲ ϲε.

Τῆϲ νέαϲ παράγω ϲοι | γραφῆϲ τὰ ὑποδείγματα,
  ἐνάγοντά ϲε, | ψυχή, πρὸϲ κατάνυξιν·
δικαίουϲ οὖν ζήλωϲον, | ἁμαρτωλοὺϲ ἐκτρέπου
καὶ ἐξιλέωϲαι Χριϲτὸν | προϲευχαῖϲ τε καὶ νηϲτείαιϲ
  καὶ ἁγνείᾳ καὶ ϲεμνότητι.

Χριϲτὸϲ ἐνηνθρώπηϲε, | καλέϲαϲ εἰϲ μετάνοιαν
  ληϲτὰϲ καὶ πόρναϲ· | ψυχή, μετανόηϲον,
ἡ θύρα ἠνέῳκται | τῆϲ βαϲιλείαϲ ἤδη,
καὶ προαρπάζουϲιν αὐτὴν | Φαριϲαῖοι καὶ τελῶναι
  καὶ μοιχοὶ μεταποιούμενοι.

Χριϲτὸϲ ἐνηνθρώπηϲε, | ϲαρκὶ προϲομιλήϲαϲ μοι
  καὶ πάντα, ὅϲα | ὑπάρχει τῆϲ φύϲεωϲ,
βουλήϲει ἐπλήρωϲε | τῆϲ ἁμαρτίαϲ δίχα,
ὑπογραμμόν ϲοι, ὦ ψυχή, | καὶ εἰκόνα προδεικνύων
  τῆϲ αὐτοῦ ϲυγκαταβάϲεωϲ.

Χριϲτὸϲ μάγουϲ ἔϲωϲε, | ποιμέναϲ ϲυνεκάλεϲε,
  νηπίων δήμουϲ | ἀπέδειξε μάρτυραϲ,
πρεϲβύτην ἐδόξαϲε | καὶ γηραλέαν χήραν,
ὧν οὐκ ἐζήλωϲαϲ, ψυχή, | οὐ τὰϲ πράξειϲ, οὐ τὸν βίον·
  ἀλλ᾽ οὐαί ϲοι ἐν τῷ κρίνεϲθαι.

---

310 Matth. XI 12. Luc. XVI 16.

Νηϲτεύϲαϲ ὁ κύριοϲ | ἡμέραϲ τεϲϲαράκοντα
ἐν τῇ ἐρήμῳ | ὕϲτερον ἐπείναϲε
δεικνὺϲ τὸ ἀνθρώπινον· | ψυχή, μὴ ἀθυμήϲῃϲ,
ἄν ϲοι προϲβάλλῃ ὁ ἐχθρόϲ· | προϲευχῇ τε καὶ νηϲτείᾳ
ἐκποδὼν ἀποκρουϲθήτω ϲοι.

Πατέρα δοξάϲωμεν, | υἱὸν ὑπερυψώϲωμεν,
τὸ θεῖον πνεῦμα | πιϲτῶϲ προϲκυνήϲωμεν,
τριάδα ἀχώριϲτον, | μονάδα κατ' οὐϲίαν,
ὡϲ φῶϲ καὶ φῶτα, καὶ ζωὴν | καὶ ζωάϲ, ζωοποιοῦϲαν
καὶ φωτίζουϲαν τὰ πέρατα.

Τὴν πόλιν ϲου φύλαττε, | θεογεννῆτορ πάναγνε·
ἐν ϲοὶ γὰρ αὕτη | πιϲτῶϲ βαϲιλεύουϲα,
ἐν ϲοὶ καὶ κρατύνεται | καὶ διὰ ϲοῦ νικῶϲα
τροποῦται πάντα πειραϲμὸν | καὶ ϲκυλεύει πολεμίουϲ
καὶ διέπει τὸ ὑπήκοον.

II

Κανὼν εἰϲ τὴν προϲκύνηϲιν τῆϲ τιμίαϲ ἁλύϲεωϲ τοῦ ἁγίου ἀποϲτόλου Πέτρου. (Ἰαν. 16)

ἦχοϲ δ'.

ᾠδὴ α'.

Οὐκ ἔϲτι ϲοι ὅμοιοϲ, | δεδοξαϲμένε κύριε·
ἐν χειρὶ γὰρ κραταιᾷ
ἐλυτρώϲω τὸν λαόν, | ὃν ἐκτήϲω, φιλάνθρωπε.

Cὺ δεϲμεῖν καὶ λύειν τε | ἐν οὐρανοῖϲ δεξάμενοϲ
ἐξουϲίαν καὶ ἐν γῇ
ἐν ἁλύϲει δεϲμευθεὶϲ | τοὺϲ δεϲμίουϲ διέλυϲαϲ.

Cύ, κορυφαιότατε | τῶν ἀποϲτόλων, ἔλυϲαϲ
παραπτώϲεων ϲειρὰϲ
ἐν ἁλύϲει δεϲμευθείϲ, | ἣν νῦν περιπτυϲϲόμεθα.

---

322 Matth. IV 2. Luc. IV 2.

Hunc canonem, qui in libros Menaeorum non receptus est et iisdem, quibus canon Ioannis in honorem Petri (29 Iun.) compositus, modulis instruitur, Pitra ex tribus codicibus (paris. 1561, vatican. 787, barberin. V 39) in lucem emisit et diei festo venerabilis catenae apostoli Petri (16 Ianuar.) adsignavit. Atque unus quidem codex parisinus Andream Cretensem huius canonis auctorem fuisse testatur. Sed ut ne huic testimonio fidem prorsus derogem, tamen neque theotokia neque hirmos celeberrimo melodo tribuenda esse censeo. Nam ab alio poeta hirmos, ab alio troparia huius canonis scripta esse, inde satis certe elucet, quod qui in hirmo ad Christum dominum orationem direxerat, in sequenti tropario Petrum apostolum sic, ut hic factum videmus, alloqui non poterat; quae eadem ratio pertinet ad theotokion ultimo carmini adsutum. — v. 6 τοὺϲ δεϲμίουϲ πάνταϲ ἔλυϲαϲ barb. — 8 παραπτώϲεωϲ barb. — 9 δεϲμευθεὶϲ δεϲμίουϲ πάνταϲ ἔλυϲαϲ barb. — νῦν utrum a Pitra additum, an in codice parisino scriptum sit non liquet; ἣν καὶ περιπτυϲϲόμεθα vulgatur in simili loco canonis Iosephi in Men. [16 Ian. ode V 2] recepti

Τὴν θείαν cου ἅλυcιν, | τῶν ἀποcτόλων πρόκριτε,
προcκυνοῦμεν· δι᾽ αὐτῆc
cὺ κατέδηcαc θεῷ | λελυμένουc γὰρ πάνταc ἡμᾶc.

Τὸ ὄροc τὸ ἅγιον, | τὸ ὑπερφέρον ὄχημα,
τὴν μητέρα· τοῦ θεοῦ
καὶ παρθένον ἀληθῶc | ἐπαξίωc ὑμνήcωμεν.

ᾠδὴ γ΄.

Οὐκ ἐν cοφίᾳ | καὶ δυνάμει καὶ πλούτῳ καυχώμεθα,
ἀλλ᾽ ἐν cοί, τῇ τοῦ πατρὸc | ἐνυποcτάτῳ cοφίᾳ, Χριcτέ·
οὐ γάρ ἐcτιν ἅγιοc | πλήν cου, φιλάνθρωπε.

Τῆc δόξηc πλήρη | προcκυνοῦμέν cου, Πέτρε, τὴν ἅλυcιν
ἁγιαcθεῖcαν cεπτῶc, | ἐφ᾽ ᾧ τραχήλῳ τὴν θείαν Χριcτὸc
ἐκκληcίαν ἥδραcε | μένειν ἀκλόνητον.

Τοῖc αἰδεcίμοιc | καὶ αὐτοῖc τοῖc ἁγίοιc cου μέλεcιν
ἐπιτεθεῖcαν cεπτὴν | cειρὰν τιμῶμεν ὡc κόcμον λαμπρὸν,
ἔνδοξε ἀπόcτολε, | τῆc ἐκκληcίαc θεοῦ.

Νῦν τὰ δεcμά cου | προcκυνοῦντεc φιλοῦμεν, ἀπόcτολε,
καὶ τὴν ἅλυcιν, δι᾽ ὧν | δεcμὰ ἐλύθη ἀγνοίαc ἐθνῶν·
τρίπλοκοc ἐδέθη δὲ | θεογνωcίαc cειρά.

Ἀπειρόγαμε, | ἡ θεὸν cαρκωθέντα κυήcαcα,
τῶν παθῶν ταῖc προcβολαῖc | κλονούμενόν με cτερέωcον·
οὐ γάρ ἐcτιν, ἄχραντε, | πλήν cου βοήθεια·

ᾠδὴ δ΄.

Οὗτοc ὁ θεὸc ἡμῶν, | ὁ ἐκ παρθένου cαρκωθεὶc
καὶ τὴν φύcιν θεώcαc,
ὃν ὑμνοῦντεc βοῶμεν·
δόξα τῇ δυνάμει cου, κύριε.

Χριcτῷ πειθαρχῶν, Πέτρε,
καὶ ἐν ἁλύcει δεcμευθεὶc
παραδόξωc τῆc φρουρᾶc
δι᾽ ἀγγέλου λυτρωθεὶc,
μάκαρ, ἀπειθοῦνταc διήλεγξαc.

Τὰc κλεῖc πιcτευθέντοc cου
τὰc οὐρανίουc ἐν εἱρκτῇ
εὐχερῶc ἐκλυθεῖcαι,
δέcμαι οἷα cτυπείου,
φόβῳ αἱ ἁλύcειc ἐξέπεcον.

---

11 δι᾽ αὐτὴν barb. δι᾽ οὗ vat. — γὰρ om. barb. γὰρ et cὺ locum commutasse videntur — 12 ἅπανταc vat. — 15 ἐπαξίωc] μετὰ τόκον canon Ioannis in honorem Petri scriptus (29 Iun.), cuius theotokia eadem fere sunt, quae huius Andreae canonis — τιμήcομεν barb. — 19 πλήρη Pitra: πλήρηc codd. — cε barb. — 20 cεπτῶc Pitra: cοῦ cεπτῶc vatic. ἀληθῶc barb. — 23 cου cεπτὴν barb. — κόcμου barb. — 24 θεῷ codd. — 25 τιμῶμεν vat. — 26 δι᾽ ἧc barb. — 27 ἐδέθη δέ nos: δὲ ἐδέθη Pitra ἐγνώcθηc δέ barb. — 29 τὰc προβολὰc barb. — cὺ ante cτερέωcον add. Pitra praeter necessitatem et contra prosodiae legem — 30 ἄχραντοc, πλήν cου πανάμωμε cod. barb. — 35 θεῷ cod. barb. — 36 fort.: τῆc φρουρᾶc παραδόξωc | λυτρωθεὶc δι᾽ ἀγγέλου — 38 ἀναβοῶνταc barb. — 39 Matth. XVI 16—19. — 41 δεcμὸc barb.

Ϲὲ τὸν πυλωρόν, Πέτρε,
τῶν οὐρανίων τεμενῶν
ϲιδηρᾶ πύλη φρουρεῖν
μὴ ἰϲχύουϲα, τρόμῳ
θᾶττον αὐτομάτη διήνοικται.

Χριϲτὸν τὸν θεὸν ἡμῶν,
ὃν ἐϲωμάτωϲαϲ, ἁγνή,
ἐκτενῶϲ δυϲωποῦϲα
μὴ ἐλλίποιϲ, παρθένε,
ὑπὲρ τῶν ἀεὶ δοξαζόντων ϲε.

ᾠδὴ ε΄.

Ὁ κτηϲάμενοϲ ἡμᾶϲ | περιούϲιον λαὸν
τῷ αἵματί ϲου, κύριε,
τὴν ϲὴν εἰρήνην δὸϲ ἡμῖν,
ἐν ὁμονοίᾳ φυλάττων τὴν ποίμνην ϲου.

Ϲοῦ ἡ δόξα φοβερά,
οὐρανοὺϲ κλειδουχοῦϲα,
νόϲουϲ ἐν γῇ διώκουϲα,
νεκροὺϲ ᾅδου ἐγείρουϲα·
διό ϲε, Πέτρε, ἐν πίϲτει δοξάζομεν.

Ϲοῦ, Πέτρε, καὶ ἡ ϲκιὰ
ϲεπτὴ ὡϲ θαυματουργόϲ·
ϲοῦ καὶ τὰ ϲημικίνθια
ὡϲ ῥωϲτικὰ ϲεβάϲμια·
καὶ ἀϲπαϲτή ϲου ὡϲ θεία ἡ ἅλυϲιϲ.

Ϲοῦ καὶ μόνη δυνατὴ | ἡ πανίεροϲ μνήμη,
ψυχὰϲ ϲῶϲαι, ἀπόϲτολε,
τῶν πίϲτει προϲκυνούντων ϲου
τὴν ἁψαμένην χρωτὸϲ θείαν ἅλυϲιν.

Ἡ τὸ φῶϲ τὸ ἐκ φωτὸϲ
ϲυλλαβοῦϲα ἐν γαϲτρί,
παρθενομῆτορ ἄχραντε,
τὸν ζωοδότην κύριον
ὑπὲρ τοῦ κόϲμου ἀεὶ καθικέτευε.

ᾠδὴ ϛ΄.

Ἐν κήτει, | Χριϲτέ, τριημερεύϲαϲ
Ἰωνᾶϲ προέγραψέ | ϲε τὸν ἀθάνατον
ὡϲ νεκρὸν ἑκουϲίωϲ
ἐν τῇ κοιλίᾳ
τῆϲ γῆϲ τριημερεύϲαντα.

Πειράζειν | ἀφρόνωϲ οἰηθέντα
πνεῦμα τὸ πανάγιον
Ϲίμωνα ἤλεγξαϲ,
ὃϲ ἐθεολόγηϲαϲ
πρῶτοϲ τρανώϲαϲ
τὸν θεόν, παμμακάριϲτε.

Ἐν πέτρᾳ | Χριϲτὸϲ τῇ ϲτερεμνίῳ
ϲοὶ τῷ Πέτρῳ
τὴν ἐκκληϲίαν πηξάμενοϲ·
ἐν τῇ πίϲτει ἄϲειϲτον·
ϲτήριξον ταύτην
λιταῖϲ ϲου αἰωνίζουϲαν.

Ἐν τοῖϲ ϲοῖϲ | δεϲμοῖϲ τῆϲ ἀπιϲτίαϲ
τὰ δεϲμά, ἀπόϲτολε, | κόϲμου ἐκλέλυται·
ὅθεν προϲκυνοῦμέν ϲου
ὡϲ ἁμαρτίαϲ | λυτήριον τὴν ἅλυϲιν.

Τὰ θεῖα | χειρόπεδα φιλῶν ϲου
τῆϲ δεϲμίου δεξιᾶϲ, | Πέτρε ἀπόϲτολε,
ὡϲ κλειδοῦχον δέομαι
ἀναπετάϲαι | μοι πύλην τὴν οὐράνιον.

Τὸν πάϲηϲ | ἐπέκεινα οὐϲίαϲ
θεὸν λόγον τέτοκαϲ
ϲεϲαρκωμένον ἡμῖν·

43 τεμενῶν Pitra ex cod. paris. ut videtur: τε μονῶν barb. vat. — 49 μὴ παρίδηϲ barb. — 50 δυϲωπούντων barb. — 59 tertia et quarta stropha in cod. barb. locum commutarunt. — 61 ῥωϲτικὰ nos: ῥωϲτικὸν vat. ῥωϲτικῶϲ barb. — 62 ἀπαϲτὴ codd. — 66 θείου barb. — 68 παρθενόμητορ Pitra — 73 ἑκουϲίωϲ Pitra, sed prosodia et huius carminis tropariorum et Ioannis canonis probabile fit antiquitus ἑκούϲιον scriptum fuisse — 75 Act. apostol. VIII 9—24. — 77 δ codd. — 79 tertia et quarta stropha in cod. barb. locum commutaverunt — 82 ϲτηρίξαι vat. — 88 τῆϲ om. vat. — 90 τὴν om. vat. — 92 λόγον θεοῦ Barth. in canone Ioannis, cuius sexto carmini idem theotokion adhaeret

θεοτόκον ὅθεν ϲε
χείλεϲι πάντεϲ
καὶ ψυχῇ καταγγέλλομεν.

ᾠδὴ ζʹ.

Ὁ ἐν ἀρχῇ | ἄναρχοϲ λόγοϲ
ϲὺν πατρί τε καὶ πνεύματι
υἱὸϲ μονογενὴϲ
εὐλογητὸϲ εἶ καὶ ὑπερυψούμενοϲ,
ὁ θεὸϲ τῶν πατέρων ἡμῶν.

Καταπτὰϲ | ἄγγελοϲ ἀγγέλῳ
ἐπιγείῳ οὐράνιοϲ,
ϲοί, Πέτρε, τῶν δεϲμῶν
δωρεῖται λύτρον καὶ κόϲμῳ ϲε κήρυκα
ἐξ εἱρκτῆϲ ϲωτηρίαϲ πέμπει.

Τοπαζίου | ἡ ἐκκληϲία
καὶ χρυϲίου τὸν ϲίδηρον,
ἁψάμενον ϲαρκόϲ,
ἀπόϲτολέ, ϲου ὡϲ λίαν ὑπέρτιμον
ἑαυτῇ θηϲαυρίζει ὄλβον.

Τῇ τῷ πυρὶ | τῶν πειραϲμῶν τε
καὶ τοῖϲ θείοιϲ ἱδρῶϲί ϲου,
ἀπόϲτολε, ϲειρᾷ
ἐϲτομωμένῃ ψυχῆϲ τὰ δυϲίατα
χειρουργῶν ἴαϲαί μου πάθη.

Τὴν ἐν γαϲτρὶ | τὸν πρὸ αἰώνων
ἐκ πατρὸϲ ἀνατείλαντα
θεὸν λόγον ἐν ϲαρκὶ
ϲυνειληφυῖαν πάντεϲ μακαρίϲωμεν,
ὡϲ μητέρα τοῦ πάντων θεοῦ.

ᾠδὴ ηʹ.

Ὁ τὰ ϲύμπαντα φέρων
τῇ ἀπορρήτῳ ϲου δυνάμει, Χριϲτέ,
τοὺϲ ὁϲίουϲ ϲου παῖδαϲ
ἐν τῇ φλογὶ ἐδρόϲιϲαϲ κράζονταϲ·
εὐλογεῖτε τὰ ἔργα τὸν κύριον.

Ὁ ϲειρῶν ἐξ ἀφύκτων
θεόθεν λύειν ἐξουϲίαν λαβὼν
τὸν τοῦ ϲκότουϲ πεδήτην
λῦϲόν με νῦν, ἀπόϲτολε, χάριτι
ἐνϲκηνούϲῃ τῇ θείᾳ ἁλύϲει ϲου.

Συγχωρεῖν ὁ τοῖϲ πταίϲταιϲ
μαθητευθεὶϲ ἑβδομηκοντάκιϲ ἑπτὰ
τὸν θεὸν ἵλεών μοι
ἁμαρτωλῷ πρεϲβείαιϲ ϲου διάλλαξον
εὐφημοῦντί ϲε, Πέτρε μακάριε.

Ἧϲ ἀπέλαβεϲ πταίϲαϲ
ϲυγγνώμηϲ πταίϲαντι μετάδοϲ κἀμοὶ
ταῖϲ πρεϲβείαιϲ ϲου, μάκαρ,
δουλοπρεπῶϲ φιλοῦντι θερμότατα
ϲὲ φιλοῦντα Χριϲτὸν καὶ φιλούμενον.

Θεοτόκε παρθένε,
ϲεϲαρκωμένον ἡ τεκοῦϲα θεὸν
ὑπὲρ τῶν οἰκετῶν ϲου
αὐτὸν ἀεὶ δυϲώπει, θεόνυμφε,
λυτρωθῆναι κινδύνων τὴν ποίμνην
ϲου.

ᾠδὴ θʹ.

Σὲ τὴν ὑπερένδοξον νύμφην
καὶ ἀδιάφθορον παρθένον,
τὴν τὸν κτίϲτην τεκοῦϲαν
ὁρατῶν τε πάντων | καὶ ἀοράτων
ἐν ὕμνοιϲ μεγαλύνομεν.

Σὺ παντὸϲ ὑπέρκειϲαι ὄντωϲ
μακαριϲμοῦ τοῦ παρ᾽ ἀνθρώπων·

---

93 διό ϲε θεοτόκον Barth. quae lectio cum vulgata lectione hirmi conspirat — θεοτόκον πάντεϲ ϲε χείλεϲί τε καὶ ψυχῇ vat. — 96 τε om. codd. — 104 τὸν ἀψάμενον vat. — 105 ϲου ἀπόϲτολε barb. — 106 ἀποθηϲαυρίζει barb. — 107 πειραϲμῶν ϲου barb. — 109 ἐϲτωμένῃ barb. — 114 τῶν ὅλων barb. — 122 τὸν δεινοῖϲ πεδηθέντα barb. πεδίτην vatic. — 128 πρεϲβείαιϲ διαφύλαξον barb. — διάλλαξον trisyllabum hoc loco est — 129 πέτρε ἀπόϲτολε barb. — 130 quartam stropham omisit barb. — 138 δυϲώπηϲον δέϲποινα barb. — 143 τῶν ὁρατῶν hirmologion, sed ut hoc ferri potest in canone Ioannis, ita ab Andreae arte abhorret, qui nusquam plus undecim syllabas huic versui inclusit — 146 τοῦ om. barb.

τοῦ θεοῦ γάρ cε τὸ cτόμα
μακαρίcαν, Πέτρε,
ἀπόχρη δεῖξαι
τῷ κόcμῳ, παμμακάριcτε.

Cοῦ τὰ πάντα ἔμπλεα δόξης,
ἁγιαcμοῦ τε καὶ θαυμάτων,
λόγοι, λείψανα, κόνιc
καὶ ἡ πίcτει, Πέτρε, | προcκυνουμένη
ἀξίωc θεία ἄλυcιc.

Cοῦ με ὁ καρπὸc τῆc κοιλίαc
ἐξοργανώcαc θιαcώτην
μελῳδὸν ἵcτηcί cοι
τὴν χαρὰν τεκούcῃ | μεγαλοφώνωc
τὸ χαῖρε προcφθεγγόμενον.

ΚΟϹΜΑ ΤΟΥ ΜΑΙΟΥΜΑ ΚΑΝΟΝΕϹ ΚΑΙ ΤΡΙΩιΔΙΑ.

I

Κανὼν εἰc τὴν Ὕψωcιν τοῦ cταυροῦ (Cεπτ. 14).
Ἡ ἀκροcτιχίc· «Cταυρῷ πεποιθὼc ὕμνον ἐξερεύγομαι.»
ἦχοc πλ. δ'.

ᾠδὴ α'.

Cταυρὸν χαράξαc Μωcῆc
ἐπ' εὐθείαc ῥάβδῳ,
τὴν ἐρυθρὰν διέτεμε
τῷ Ἰcραὴλ πεζεύcοντι·
τὴν δὲ ἐπιcτρεπτικῶc
Φαραὼ τοῖc ἅρμαcι
κροτήcαc ἥνωcεν,
ἐπ' εὔρουc διαγράψαc
τὸ ἀήττητον ὅπλον·
διὸ Χριcτῷ ᾄcωμεν
τῷ θεῷ ἡμῶν, ὅτι δεδόξαcται.

Τὸν τύπον πάλαι Μωcῆc
τοῦ ἀχράντου πάθουc
ἐν ἑαυτῷ προέφηνε
τῶν ἱερῶν μεcούμενοc·
cταυρῷ δὲ cχηματιcθεὶc
τεταμέναιc τρόπαιον
παλάμαιc ἤγειρε,
τὸ κράτοc διολέcαc
Ἀμαλὴκ τοῦ πανώλουc·
διὸ Χριcτῷ ᾄcωμεν
τῷ θεῷ ἡμῶν, ὅτι δεδόξαcται.

Ἀνέθηκε Μωϋcῆc
ἐπὶ cτήληc ἄκοc
φθοροποιοῦ λυτήριον
καὶ ἰοβόλου δήγματοc,
καὶ ξύλῳ τύπῳ cταυροῦ
τὸν πρὸc γῆν cυρόμενον
ὄφιν προcέδηcεν
ἐγκάρcιον, ἐν τούτῳ
θριαμβεύcαc τὸ πῆμα·
διὸ Χριcτῷ ᾄcωμεν
τῷ θεῷ ἡμῶν, ὅτι δεδόξαcται.

Ὑπέδειξεν οὐρανὸc
τοῦ cταυροῦ τὸ τρόπαιον
τῷ εὐcεβείαc κράντορι
καὶ βαcιλεῖ θεόφρονι,
ἐχθρῶν ἐν ᾧ δυcμενῶν

---

148 μακαρίcαντεc barb. — 156 ἐξοργιάcαc suspicatur Pitra — 157 cου barb. — 159 προcφθεγγόμενοc barb.

Cod. A — v. 1 Exod. XIV 21—28. — 3 πεζεύcαντι Barth. — 6 εὖροc A, quod si probaveris, supra ἐπ' εὐθεῖαν emendare debebis — 14 Exod. XVIII 11—13. — 17 Numer. XXI 9—20. ξύλου A — 26 fort. τοῦ cταυροῦ τὸ cῆμα — 29 versiculus duabus syllabis abundat

κατελύθη φρύαγμα,
ἀπάτη ἀνετράπη δὲ
καὶ πίςτις ἐφηπλώθη
γῆς τοῖς πέραςι θεία·
διὸ Χριςτῷ ᾄςωμεν
τῷ θεῷ ἡμῶν, ὅτι δεδόξαςται.

ᾠδὴ γ΄.

Ῥάβδος εἰς τύπον | τοῦ μυςτηρίου
παραλαμβάνεται·
τῷ βλαςτῷ γὰρ προκρίνει τὸν ἱερέα·
τῇ ςτειρευούςῃ δὲ πρῴην
ἐκκληςίᾳ νῦν ἐξήνθηςε
ξύλον ςταυροῦ
εἰς κράτος καὶ ςτερέωμα.

Ὡς ἐπαφῆκε | ῥαπιζομένη
ὕδωρ ἀκρότομος,
ἀπειθοῦντι λαῷ καὶ ςκληροκαρδίῳ
τῆς θεοκλήτου ἐδήλου
ἐκκληςίας τὸ μυςτήριον,
ἧς ὁ ςταυρὸς | τὸ κράτος καὶ ςτερέωμα.

Πλευρᾶς ἀχράντου | λόγχῃ τρωθείςης
ὕδωρ ςὺν αἵματι
ἐξεβλύςθη ἐγκαινίζον διαθήκην
καὶ ῥυπτικὸν ἁμαρτίας·
τῶν πιςτῶν γὰρ ςταυρὸς καύχημα
καὶ βαςιλέων | κράτος καὶ ςτερέωμα.

ᾠδὴ δ΄.

Εἰςακήκοα, κύριε,
τῆς οἰκονομίας ςου τὸ μυςτήριον,
κατενόηςα τὰ ἔργα ςου
καὶ ἐδόξαςά ςου τὴν θεότητα.

Πικρογόνους μετέβαλε
ξύλῳ Μωϋςῆς πηγὰς ἐν ἐρήμῳ πάλαι,
τῷ ςταυρῷ πρὸς τὴν εὐςέβειαν
τῶν ἐθνῶν προφαίνων τὴν μετάθεςιν.

Ὁ βυθῷ κολπωςάμενος
τέμνουςαν ἀνέδωκεν Ἰορδάνης ξύλῳ,
τῷ ςταυρῷ καὶ τῷ βαπτίςματι
τὴν τομὴν τῆς πλάνης τεκμαιρόμενος.

Ἱερῶς προςτοιβάζεται
ὁ τετραμερὴς λαὸς προηγούμενος
τῆς ἐν τύπῳ μαρτυρίου ςκηνῆς,
ςταυροτύποις τάξεςι κλεϊζόμενος.

Θαυμαςτῶς ἐφαπλούμενος
τὰς ἡλιακὰς βολὰς ἐξηκόντιςεν
ὁ ςταυρὸς, καὶ διηγήςαντο
οὐρανοὶ τὴν δόξαν τοῦ θεοῦ ἡμῶν.

ᾠδὴ ε΄.

Ὢ τριςμακάριςτον ξύλον,
ἐν ᾧ ἐτάθη Χριςτὸς
ὁ βαςιλεὺς καὶ κύριος·
δι᾽ οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήςας,
τῷ ἐν ςοὶ δελεαςθεὶς
θεῷ τῷ προςπαγέντι ςαρκὶ,
τῷ παρέχοντι
τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Ϲὲ τὸ ἀοίδιμον ξύλον,
ἐν ᾧ ἐτάθη Χριςτὸς,
ἡ τὴν Ἐδὲμ φυλάττουςα
ςτρεφομένη ῥομφαία, ςταυρὲ, ᾐδέςθη·
τὸ φρικτὸν δὲ Χερουβὶμ
εἶξε τῷ ςοὶ παγέντι Χριςτῷ,
τῷ παρέχοντι
τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Ὑποχθονίων δυνάμεις
ἀντίπαλοι τοῦ ςταυροῦ
φρίττουςι χαραττόμενον
τὸ ςημεῖον ἐν ἀέρι, ᾧ πολοῦςιν·
οὐρανίων, γηγενῶν
γένος δὲ γόνυ κάμπτει Χριςτῷ,

29 κατεβλήθη Barth. — 33 Numer. XVII 8 — 34 ἱερέαν A — 37 Exod. XVII 6 et 7. XX 11 — 38 ἀπιθοῦντι A — 41 Ioann. XIX 34 — 42 ἐξεβλήθη Barth. — 48 Exod. XV 23—25 — 51 Reg. IV 6 — 54 Jes. Nav. IV 13 — 63 δελεαςθὲν A — δελ. τῷ προςπαγέντι Χριςτῷ A, sed ςαρκὶ et θεῷ legisse videtur scholiasta cod. A

τῷ παρέχοντι
τὴν εἰρήνην ταῖϲ ψυχαῖϲ ἡμῶν.

Μαρμαρυγαῖϲ ἀκηράτοιϲ
φανεὶϲ ὁ θεῖοϲ ϲταυρόϲ,
ἐϲκοτιϲμένοιϲ ἔθνεϲι
τοῖϲ ἐν πλάνῃ ἀπάτηϲ τὸ θεῖον φέγγοϲ
ἀπαϲτράψαϲ, οἰκειοῖ
τῷ ἐν αὐτῷ παγέντι Χριϲτῷ,
τῷ παρέχοντι
τὴν εἰρήνην ταῖϲ ψυχαῖϲ ἡμῶν.

ᾠδὴ ϛ΄.

Νοτίου θηρὸϲ ἐν ϲπλάγχνοιϲ
παλάμαϲ Ἰωνᾶϲ
ϲταυροειδῶϲ διεκπετάϲαϲ
τὸ ϲωτήριον πάθοϲ
προδιετύπου ϲαφῶϲ·
ὅθεν τριήμεροϲ ἐκδὺϲ
τὴν ὑπερκόϲμιον ἀνάϲταϲιν
ὑπεζωγράφηϲε
τοῦ ϲαρκὶ προϲπαγέντοϲ Χριϲτοῦ τοῦ θεοῦ
καὶ τριημέρῳ ἐγέρϲει
τὸν κόϲμον φωτίϲαντοϲ.

Ὁ γήρᾳ καμφθεὶϲ καὶ νόϲῳ
τρυχωθεὶϲ ἀνωρθοῦτο
Ἰακὼβ χεῖραϲ ἀμείψαϲ,
τὴν ἐνέργειαν φαίνων
τοῦ ζωηφόρου ϲταυροῦ·
τὴν παλαιότητα καὶ γὰρ
τοῦ νομικοῦ ϲκιώδουϲ γράμματοϲ
ἐκαινογράφηϲεν
ὁ ἐν τούτῳ ϲαρκὶ προϲπαγεὶϲ ὁ θεὸϲ
καὶ τὴν ψυχώλεθρον νόϲον
τῆϲ πλάνηϲ ἀπήλαϲεν.

Νεάζούϲαιϲ θεὶϲ παλάμαϲ
ὁ θεῖοϲ Ἰϲραὴλ
ϲταυροειδῶϲ κάραιϲ ἐδήλου
ὡϲ πρεϲβύτερον κλέοϲ
ὁ νομολάτριϲ λαόϲ·
ὑποπτευθεὶϲ ὅθεν οὗτοϲ
ἐξηπατῆϲθαι οὐκ ἠλλοίωϲε
τὸν ζωηφόρον τύπον·
ὑπερέξει λαὸϲ γὰρ Χριϲτοῦ τοῦ θεοῦ
νεοπαγήϲ, ἀνεβόα,
ϲταυρῷ τειχιζόμενοϲ.

ᾠδὴ ζ΄.

Ἔκνοον πρόϲταγμα τυράννου δυϲϲεβοῦϲ
λαὸν ἐκλόνηϲε,
πνέον ἀπειλῆϲ
καὶ δυϲφημίαϲ θεοϲτυγοῦϲ·
ὅμωϲ τρεῖϲ παῖδαϲ | οὐκ ἐδειμάτωϲε
θυμὸϲ θηριώδηϲ, | οὐ πῦρ βρόμεον·
ἀλλ' ἀντηχοῦντι | δροϲοβόλῳ πνεύματι
πυρὶ ϲυνόντεϲ ἔψαλλον·
ὁ ὑπερύμνητοϲ | τῶν πατέρων καὶ ἡμῶν
θεὸϲ εὐλογητὸϲ εἶ.

Ξύλου γευϲάμενοϲ ὁ πρῶτοϲ ἐν βροτοῖϲ
φθορᾷ παρῴκηϲε·
ῥίψιν γὰρ ζωῆϲ
ἀτιμοτάτην κατακριθεὶϲ
ὅλῳ τῷ γένει, | ϲωματοφθόροϲ τιϲ
ὡϲ λύμη τῆϲ νόϲου, | μετέδωκεν·
ἀλλ' εὑρηκότεϲ | γηγενεῖϲ ἀνάκληϲιν
ϲταυροῦ τὸ ξύλον κράζωμεν·
ὁ ὑπερύμνητοϲ | τῶν πατέρων καὶ ἡμῶν
θεὸϲ εὐλογητὸϲ εἶ.

Ἔλυϲε πρόϲταγμα θεοῦ παρακοή,
καὶ ξύλον ἤνεγκε
θάνατον βροτοῖϲ
τὸ μὴ εὐκαίρωϲ μεταληφθέν·
ἐν ἀϲφαλείᾳ | τῆϲ ἐριτίμου δὲ
ἐντεῦθεν ζωῆϲ τὸ ξύλον εἴργετο,
ὃ νυκτιλόχου | δυϲθανοῦϲ ἀνέῳξεν

87 Genes. XLVIII 13—20. — 89 ζωοδώρου A quod emendate ζωηδώρου scribendum fuit — 96 νομολάτρηϲ A — 97 οὕτωϲ Barth. — 102 λαούϲ Barth. — 116 κράζομεν Barth. — 123 εἴργεται A cum schol.

εὐγνωμοςύνῃ κράζοντος·
ὁ ὑπερύμνητος
τῶν πατέρων καὶ ἡμῶν
θεὸς εὐλογητὸς εἶ.

Ῥάβδου προςπτύςςεται τὸ ἄκρον Ἰωςήφ
ὁ γενηςόμενα
βλέπων Ἰςραήλ,
τῆς βαςιλείας τὸ κραταιὸν
ὅπως ςυνάξει ὁ ὑπερένδοξος
ςταυρὸς προδηλῶν· οὗτος γὰρ
τοῖς βαςιλεῦςι | τροπαιοῦχον καύχημα
καὶ φῶς τοῖς πίςτει μέλπουςιν·
ὁ ὑπερύμνητος | τῶν πατέρων καὶ ἡμῶν
θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ η΄.

Εὐλογεῖτε, παῖδες | τῆς Τριάδος ἰςάριθμοι,
δημιουργὸν πατέρα θεόν·
ὑμνεῖτε τὸν ςυγκαταβάντα λόγον | καὶ τὸ πῦρ εἰς δρόςον μεταποιήςαντα,
καὶ ὑπερυψοῦτε | τὸ πᾶςι ζωὴν
παρέχον πνεῦμα πανάγιον | εἰς τοὺς αἰῶνας·

Ὑψουμένου ξύλου | ῥαντιςθέντος ἐν αἵματι
τοῦ ςαρκωθέντος λόγου θεοῦ,
ὑμνεῖτε αἱ τῶν οὐρανῶν δυνάμεις | βροτῶν τὴν ἀνάκληςιν ἑορτάζουςαι·
λαοὶ προςκυνεῖτε | Χριςτοῦ τὸν ςταυρόν,
δι' οὗ τῷ κόςμῳ ἀνάςταςις | εἰς τοὺς αἰῶνας.

Γηγενεῖς, παλάμαις, | οἰκονόμοι τῆς χάριτος,
ςταυρόν, οὗ ἔςτη Χριςτὸς ὁ θεός,
ὑψοῦτε ἱεροπρεπῶς καὶ λόγχην | θεοῦ λόγου ςῶμα ἀντιτορήςαςαν·
ἰδέτωςαν ἔθνη | πάντα τὸ ςωτήριον
τοῦ θεοῦ, δοξάζοντα | εἰς τοὺς αἰῶνας.

Οἱ τῇ θείᾳ ψήφῳ | προκριθέντες ἀγάλλεςθε,
Χριςτιανῶν πιςτοὶ βαςιλεῖς,
καυχᾶςθε τὸ τροπαιοφόρον ὅπλον | λαχόντες θεόθεν, ςταυρὸν τὸν τίμιον·
ἐν τούτῳ γὰρ φῦλα | πολέμων θράςος
ἐπιζητοῦντα ςκεδάζονται | εἰς τοὺς αἰῶνας.

ᾠδὴ θ΄.

Μυςτικὸς εἶ, θεοτόκε, παράδειςος,
ἀγεωργήτως βλαςτήςαςα Χριςτόν,
ὑφ' οὗ τὸ τοῦ ςταυροῦ
ζωηφόρον ἐν γῇ
πεφυτούργηται δένδρον·
δι' οὗ νῦν ὑψουμένου
προςκυνοῦντες αὐτὸν
ςὲ μεγαλύνομεν.

---

128 Genes. XLVII 31 — 131 ςυνέξει Barth. — 132 quintus versus huius strophae iusto brevior est — 134 κράζουςι Barth. — 154 τῷ τροπαιοφόρῳ ὅπλῳ Barth. — 156 ςκεδάννυνται Barth. — 157 μυςτικῶς Hirmologium — 161 δι' οὗ] διὸ in hac et in proximis strophis A

Ἀγαλλέcθω τὰ δρυμοῦ ξύλα cύμπαντα
ἁγιαcθείcηc τῆc φύcεωc αὐτῶν,
ὑφ᾽ οὗπερ ἐξ ἀρχῆc
ἐφυτεύθη Χριcτοῦ
τανυθέντοc ἐν ξύλῳ·
δι᾽ οὗ νῦν ὑψουμένου
προcκυνοῦμεν αὐτὸν
καὶ μεγαλύνομεν.

Ἱερὸν ἠγέρθη κέραc θεόφροcι
τῆc κεφαλῆc τῶν ἁπάντων ὁ cταυρόc,
ἐν ᾧ ἁμαρτωλῶν
νοουμένων cυνθλῶνται
τὰ κέρατα πάντα·
δι᾽ οὗ νῦν ὑψουμένου
προcκυνοῦμεν αὐτὸν
καὶ μεγαλύνομεν.

κατ᾽ ἄλλον εἱρμόν.

Ὁ διὰ βρώcεωc τοῦ ξύλου | τῷ γένει προcγενόμενοc θάνατοc
διὰ cταυροῦ κατήργηται cήμερον·
τῆc γὰρ προμήτοροc ἡ παγγενὴc | κατάρα διαλέλυται
τῷ βλαcτῷ τῆc ἁγνῆc θεομήτοροc,
ἣν πᾶcαι αἱ δυνάμειc | τῶν οὐρανῶν μεγαλύνουcιν.

Μὴ τὴν πικρίαν τὴν τοῦ ξύλου | ἐάcαc ἀναιρέcιμον, κύριε,
διὰ cταυροῦ τελείωc ἐξήλειψαc·
ὅθεν καὶ ξύλον ἔλυcε ποτὲ | πικρίαν ὑδάτων Μερρᾶc,
προτυποῦν τοῦ cταυροῦ τὴν ἐνέργειαν,
ἣν πᾶcαι αἱ δυνάμειc | τῶν οὐρανῶν μεγαλύνουcιν.

Ἀδιαλείπτωc βαπτομένουc | τῷ ζόφῳ τοῦ προπάτοροc, κύριε,
διὰ cταυροῦ ἀνύψωcαc cήμερον·
ὡc γὰρ τῇ πλάνῃ ἄγαν ἀκρατῶc | ἡ φύcιc προκατηνέχθη,
παγκλήρωc ἡμᾶc πάλιν ἀνώρθωcε
τὸ φῶc τὸ τοῦ cταυροῦ cου, | ὃν οἱ πιcτοὶ μεγαλύνομεν.

Ἵνα τὸν τύπον ἀποδείξηc | τῷ κόcμῳ προcκυνούμενον, κύριε,
τὸν τοῦ cταυροῦ ἐν πᾶcιν ὡc ἔνδοξον,
ἐν οὐρανῷ ἐμόρφωcαc φωτὶ | ἀπλέτῳ ἠγλαϊcμένον,
βαcιλεῖ πανοπλίαν ἀήττητον,
ἣν πᾶcαι αἱ δυνάμειc | τῶν οὐρανῶν μεγαλύνουcιν.

II

Κανὼν εἰc τὴν τοῦ Χριcτοῦ γέννηcιν (Δεκ. 25).

Ἡ ἀκροcτιχίc· «Χριcτὸc βροτωθεὶc ἦν ὅπερ θεὸc μένη.»

ᾠδὴ α′. ἦχοc α′.

Χριcτὸc γεννᾶται· δοξάcατε·
Χριcτὸc ἐξ οὐρανῶν· ἀπαντήcατε·
Χριcτὸc ἐπὶ γῆc· ὑψώθητε·
ᾄcατε τῷ κυρίῳ | πᾶcα ἡ γῆ

---

164 ἀγαλλιάcθω A — 175 acrostichidis legibus docemur octavi carminis ultimam tropham, si alterum carmen nonum cantetur, resecandam esse. — 180 πικρίαν τοῦ A — 82 Μερᾶc A — 192 οὐρανοῖc A — 194 διό cε αἱ δυνάμειc . . . . μεγαλύνομεν A, quol erte μεγαλύνουcι scribendum fuit.

καὶ ἐν εὐφροσύνῃ ἀνυμνήσατε, λαοί,
ὅτι δεδόξασται.

Ῥεύσαντα ἐκ παραβάσεως
θεοῦ τὸν κατ᾽ εἰκόνα γενόμενον,
ὅλον τῆς φθορᾶς ὑπάρξαντα,
κρείττονος ἐπταικότα | θείας ζωῆς
αὖθις ἀναπλάττει | ὁ σοφὸς δημιουργός,
ὅτι δεδόξασται.

Ἰδὼν ὁ κτίστης ὀλλύμενον
τὸν ἄνθρωπον, χερσὶν ὃν ἐποίησε,
κλίνας οὐρανοὺς κατέρχεται·
τοῦτον δὲ ἐκ παρθένου | θείας ἁγνῆς
ὅλον ὁσιοῦται | ἀληθείᾳ σαρκωθείς,
ὅτι δεδόξασται.

Σοφία, λόγος καὶ δύναμις,
υἱὸς ὢν τοῦ πατρὸς καὶ ἀπαύγασμα,
Χριστὸς ὁ θεὸς δυνάμεις λαθών,
ὅσας ὑπερκοσμίους, | ὅσας ἐν γῇ,
καὶ ἐνανθρωπήσας | ἀνεκτήσατο ἡμᾶς,
ὅτι δεδόξασται.

ᾠδὴ γ΄.

Τῷ πρὸ τῶν αἰώνων
ἐκ πατρὸς γεννηθέντι | ἀρρεύστως υἱῷ
καὶ ἐπ᾽ ἐσχάτων ἐκ παρθένου
σαρκωθέντι ἀσπόρως
Χριστῷ τῷ θεῷ | βοήσωμεν·
Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν
ἅγιος εἶ, κύριε.

Ὁ τῆς ἐπιπνοίας
μετασχὼν τῆς ἀμείνω | Ἀδὰμ χοϊκὸς
καὶ πρὸς φθορὰν κατολισθήσας
γυναικείᾳ ἀπάτῃ
Χριστῷ γυναικὸς | βοᾷ ἐξ ὁρῶν·
Ὁ δι᾽ ἐμὲ κατ᾽ ἐμὲ γεγονὼς
ἅγιος εἶ, κύριε.

Σύμμορφος πηλίνης,
εὐτελοῦς διαρτίας, | Χριστέ, γεγονὼς
καὶ μετοχῇ σαρκὸς τῆς χείρω
μεταδοὺς θείας φύτλης,
βροτὸς πεφυκὼς | καὶ μείνας θεὸς
καὶ ἀνυψώσας τὸ κέρας ἡμῶν,
ἅγιος εἶ, κύριε.

Βηθλεὲμ εὐφραίνου,
ἡγεμόνων Ἰούδα | βασίλεια·
τὸν Ἰσραὴλ γὰρ ὁ ποιμαίνων,
Χερουβὶμ ὁ ἐπ᾽ ὤμων,
ἐκ σοῦ προελθὼν | Χριστὸς ἐμφανῶς
καὶ ἀνυψώσας τὸ κέρας ἡμῶν,
πάντων ἐβασίλευσεν.

ᾠδὴ δ΄.

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ
καὶ ἄνθος ἐξ αὐτῆς, Χριστέ,
ἐκ τῆς παρθένου ἐνεβλάστησας·
ἐξ ὄρους ὁ αἰνετὸς | κατασκίου δασέος
ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου
ὁ ἄϋλος καὶ θεός·
δόξα τῇ δυνάμει σου, κύριε.

Ὃν πάλαι προεῖπεν Ἰακὼβ
ἐθνῶν ἀπεκδοχὴν, Χριστέ,
φυλῆς Ἰούδα ἐξανέτειλας
καὶ δύναμιν Δαμασκοῦ,
Σαμαρείας σκῦλά τε
ἦλθες προνομεύσων, πλάνην τρέπων
εἰς πίστιν θεοτερπῆ·
δόξα τῇ δυνάμει σου, κύριε.

Τοῦ μάντεως πάλαι Βαλαὰμ
τῶν λόγων μυητὰς σοφοὺς
ἀστεροσκόπους χαρᾶς ἔπλησας,
ἀστὴρ ἐκ τοῦ Ἰακὼβ
ἀνατείλας, δέσποτα·
ἐθνῶν ἀπαρχὴν εἰσαγομένους

Codd. ACV — v. 9 ὑπάρχοντα CV — 23 ἐνανθρωπήσει C — 26 γεννηθέντι ἐκ πατρὸς A — 33 χοϊκῶς C — 35 Genes. III. — 36 Χριστὸν . . . ἐξορῶν Barth. — 46 Mich. V 2 — 47 βασίλειον C — 53 Jos. XI — 56 Prec. Abac. 3 — 60 Genes. XLIX 8—10 — 63 Jes. VIII 4 — 64 εἶλε προσνομεύσας C — 65 θεοπρεπῆ Dan. — 67 Numer. XXIV. Matth. II — 70 ἀνατείλας χαρίτῃ C

ἐδέξω δὲ προφανῶϲ·
δόξα τῇ δυνάμει ϲου, κύριε.

Ὡϲ πόκῳ γαϲτρὶ παρθενικῇ
κατέβηϲ ὑετὸϲ, Χριϲτὲ,
καὶ ὡϲ ϲταγόνεϲ ἐν γῇ ϲτάζουϲαι·
Αἰθίοπεϲ καὶ Θαρϲεῖϲ
καὶ Ἀράβων νῆϲοί τε,
Σαβᾶ, Μήδων, πάϲηϲ γῆϲ κρατοῦντεϲ
προϲέπεϲόν ϲοι, ϲωτήρ·
δόξα τῇ δυνάμει ϲου, κύριε.

ᾠδὴ ε΄.

Θεὸϲ ὢν εἰρήνηϲ, πατὴρ οἰκτιρμῶν,
τῆϲ μεγάληϲ βουλῆϲ ϲου τὸν ἄγγελον
εἰρήνην παρεχόμενον
ἀπέϲτειλαϲ ἡμῖν·
ὅθεν θεογνωϲίαϲ
πρὸϲ φῶϲ ὁδηγηθέντεϲ,
ἐκ νυκτὸϲ ὀρθρίζοντεϲ
δοξολογοῦμέν ϲε, φιλάνθρωπε.

Ἐν δούλοιϲ τῷ Καίϲαροϲ δόγματι
ἀπεγράφηϲ πιθήϲαϲ καὶ δούλουϲ ἡμᾶϲ
ἐχθροῦ καὶ ἁμαρτίαϲ
ἠλευθέρωϲαϲ, Χριϲτέ.
ὅλον τὸ καθ' ἡμᾶϲ δὲ
πτωχεύϲαϲ καὶ χοϊκὸν
ἐξ αὐτῆϲ ἑνώϲεωϲ
καὶ κοινωνίαϲ ἐθεούργηϲαϲ.

Ἰδοὺ ἡ παρθένοϲ, ὡϲ πάλαι φηϲὶν,
ἐν γαϲτρὶ ϲυλλαβοῦϲα ἐκύηϲεν
θεὸν ἐνανθρωπήϲαντα
καὶ μένει παρθένοϲ·
δι' ἧϲ καταλλαγέντεϲ | θεῷ οἱ ἁμαρτωλοὶ
θεοτόκον κυρίωϲ
οὖϲαν ἐν πίϲτει ἀνυμνήϲωμεν.

ᾠδὴ ϛ΄.

Σπλάγχνων Ἰωνᾶν | ἔμβρυον ἀπήμεϲεν
ἐνάλιοϲ θὴρ, | οἷον ἐδέξατο·
τῇ παρθένῳ δὲ
ἐνοικήϲαϲ ὁ λόγοϲ καὶ ϲάρκα λαβὼν
διελήλυθε φυλάξαϲ ἀδιάφθορον·
ἧϲ γὰρ οὐχ ὑπέϲτη ῥεύϲεωϲ
τὴν τεκοῦϲαν κατέϲχεν ἀπήμαντον.

Ἦλθε ϲαρκωθεὶϲ | Χριϲτὸϲ ὁ θεὸϲ ἡμῶν,
γαϲτρὸϲ ὃν πατὴρ
πρὸ Ἑωϲφόρου γεννᾷ·
τὰϲ ἡνίαϲ δὲ
ὁ κρατῶν τῶν ἀχράντων δυνάμεων
ἐν φάτνῃ τῶν ἀλόγων ἀνακλίνεται,
ῥάκει ϲπαργανοῦται, λύει δὲ
πολυπλόκουϲ ϲειρὰϲ παραπτώϲεων.

Νέον ἐξ Ἀδὰμ | παιδίον φυράματοϲ
ἐτέχθη υἱὸϲ | καὶ πιϲτοῖϲ δέδοται·
τοῦ δὲ μέλλοντοϲ
οὗτόϲ ἐϲτιν αἰῶνοϲ πατὴρ καὶ ἄρχων
καὶ καλεῖται τῆϲ μεγάληϲ βουλῆϲ
ἄγγελοϲ·
οὗτοϲ ἰϲχυρὸϲ θεόϲ ἐϲτι
καὶ κρατῶν ἐξουϲίᾳ τῆϲ κτίϲεωϲ.

ᾠδὴ ζ΄.

Οἱ παῖδεϲ εὐϲεβείᾳ
ϲυντραφέντεϲ, δυϲϲεβοῦϲ προϲτάγ-
[ματοϲ
καταφρονήϲαντεϲ
πυρὸϲ ἀπειλὴν οὐκ ἐπτοήθηϲαν,
ἀλλ' ἐν μέϲῳ τῆϲ φλογὸϲ ἑϲτῶτεϲ
ἔψαλλον·
ὁ τῶν πατέρων θεὸϲ εὐλογητὸϲ εἶ.

Ποιμένεϲ ἀγραυλοῦντεϲ
ἐκπλαγοῦϲ φωτοφανείαϲ ἔτυχον·

73 δῶρά ϲοι δεκτὰ προϲκομίζονταϲ Barth. — 74 Judic. VI. — 75 Χριϲτὸϲ C — 77 Psalm LXXI. LXXXVI. — 79 προϲέπεϲαν AC — ϲοι Χριϲτέ V — 81 Jes. IX 6. — 87 Luc. II — 89 ἠλευθέρωϲαϲ ἡμᾶϲ C — 92 ἐθεούργηϲαν C — 92 Jos. VII 14 — 96 καταπλαγέντεϲ C — 103 προελήλυθε V — 107 Psalm CIX 3 — 110 ἀνακέκλιται A — 119 ἐξουϲίαν A — 120 in prima, tertia et quarta stropha huius septimae odae post undecimam strophae syllabam numeros interpunxit Barth.; idem paulo post vocabula αὐτοὺϲ, θεῷ, Χριϲτὸν in tribus extremis strophis praecedenti versui adiecit. — 126 Luc. II 8—15.

δόξα κυρίου γὰρ
αὐτοὺς περιέλαμψε καὶ ἄγγελος,
ἀνυμνήσατε, βοῶν, ὅτι ἐτέχθη
Χριστός·
ὁ τῶν πατέρων θεὸς εὐλογητὸς εἶ.

Ἐξαίφνης cὺν τῷ λόγῳ
τοῦ ἀγγέλου οὐρανῶν στρατεύματα,
δόξα, ἐκραύγαζον,
θεῷ ἐν ὑψίστοις, ἐπὶ γῆς εἰρήνη,
ἐν ἀνθρώποις εὐδοκία Χριστὸς
ἔλαμψεν·
ὁ τῶν πατέρων θεὸς εὐλογητὸς εἶ.

Ῥῆμα τί τοῦτο; εἶπον
οἱ ποιμένες, διελθόντες ἴδωμεν
τὸ γεγονὸς θεῖον,
Χριστόν· Βηθλεὲμ καταλαβόντες δὲ
cὺν [τῇ] τεκούςῃ προσεκύνουν ἀνα-
μέλποντες·
ὁ τῶν πατέρων θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ η΄.

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος
ἐξεικόνισε κάμινος τρόπον·
οὐ γὰρ οὓς ἐδέξατο φλέγει νέους,
ὡς οὐδὲ πῦρ
τῆς θεότητος παρθένου ἣν ὑπέδυ
νηδύν·
διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν·
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον
καὶ ὑπερυψούτω
εἰς πάντας τοὺς αἰῶνας.

Ἕλκει Βαβυλῶνος ἡ θυγάτηρ παῖδας
δορικτήτους Δαυῒδ ἐκ Σιὼν αὐτῇ·
δωροφόρους πέμπει δὲ μάγους παῖδας,
τὴν τοῦ Δαυῒδ
θεοδόχον θυγατέρα λιτανεύσοντας·
διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν·
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον
καὶ ὑπερυψούτω
εἰς πάντας τοὺς αἰῶνας.

Ὄργανα παρέκλινε τὸ πένθος ᾠδῆς·
οὐ γὰρ ᾖδον ἐν νόθοις οἱ παῖδες Σιών·
Βαβυλῶνος λύει δὲ πλάνην πᾶσαν
καὶ μουσικῶν
ἁρμονίαν Βηθλεὲμ ἐξανατείλας Χρι-
στός·
διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν·
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον
καὶ ὑπερυψούτω
εἰς πάντας τοὺς αἰῶνας.

Σκῦλα Βαβυλὼν τῆς βασιλίδος Σιὼν
καὶ δορίκτητον ὄλβον ἐδέξατο·
θησαυροὺς Χριστὸς ἐν Σιὼν δὲ ταύτης
καὶ βασιλεῖς
σὺν ἀστέρι ὁδηγῷ ἀστροπολοῦντας
ἕλκει·
διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν·
εὐλογείτω ἡ κτίσις πᾶσα τὸν κύριον
καὶ ὑπερυψούτω
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ΄.

Μυστήριον ξένον | ὁρῶ καὶ παράδοξον!
οὐρανὸν τὸ σπήλαιον, θρόνον χερου-
βικὸν
τὴν παρθένον, τὴν φάτνην χωρίον,
ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος
Χριστὸς ὁ θεός,
ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Ἐξαίσιον δρόμον | ὁρῶντες οἱ μάγοι
ἀσυνήθους νέου ἀστέρος ἀρτιφανοῦς
οὐρανίου ὑπερλάμποντος,

132 Luc. II 13—14. — 142 τῇ uncinis inclusimus, quia una syllaba versus abundat. — 144 ὑπερφυῶς C — 145 τρόπον A cum schol., CV: τύπον Barth. — 146 φλέγειν V — 148 παρθένον V — 149. 157 ἀναμέλπομεν V — 153 ἐν αὐτῇ schol. cod. A Dan. — 165 Χριστέ V — 169 Paralip. XXXVI — 171 ἐκ σιὼν V — 173 ἐν ἀστέρι Dan. — 183 ἀρτιφαοῦς C — 184 οὐρανίους ὑπερλάμποντας A

Χριστὸν βασιλέα ἐτεκμήραντο
ἐν γῇ γεννηθέντα
Βηθλεὲμ εἰς σωτηρίαν ἡμῶν.

Νεηγενές, μάγων | λεγόντων, παιδίον
ἄναξ, οὗ ἀστὴρ ἐφάνη, ποῦ ἐστιν;
εἰς γὰρ
ἐκείνου προσκύνησιν ἥκομεν,
μανεὶς ὁ Ἡρώδης ἐταράττετο,
Χριστὸν ἀνελεῖν
ὁ θεομάχος φρυαττόμενος.

Ἠκρίβωσε χρόνον | Ἡρώδης ἀστέρος,
οὗ ταῖς ἡγεσίαις οἱ μάγοι ἐν Βηθλεὲμ
προσκυνοῦσι Χριστὸν σὺν δώροις·
ὑφ᾽ οὗ πρὸς πατρίδα ὁδηγούμενοι
δεινὸν παιδοκτόνον
ἐγκατέλιπον παιζόμενον.

III

Κανὼν εἰς τὰ Θεοφάνεια (Ἰαν. 6).

Ἡ ἀκροστιχίς:
«Βάπτισμα ῥύψις γηγενῶν ἁμαρτάδος.»
ἦχος β΄.

ᾠδὴ α΄.

Βυθοῦ ἀνεκάλυψεν πυθμένα
καὶ διὰ ξηρᾶς οἰκείους ἕλκει,
ἐν αὐτῷ κατακαλύψας ἀντιπάλους
ὁ κραταιὸς ἐν πολέμοις κύριος·
ὅτι δεδόξασται.

Ἀδὰμ τὸν φθαρέντα ἀναπλάττει
ῥείθροις Ἰορδάνου καὶ δρακόντων
κεφαλὰς ἐμφωλευόντων διαθλάττει
ὁ σαρκωθεὶς ἐκ παρθένου κύριος·
ὅτι δεδόξασται·

Πυρὶ τῆς θεότητος ἀΰλῳ
σάρκα ὑλικὴν ἠμφιεσμένος
Ἰορδάνου περιβάλλεται τὸ νᾶμα
ὁ βασιλεὺς τῶν αἰώνων κύριος·
ὅτι δεδόξασται.

Τὸν ῥύπον ὁ σμήχων τῶν ἀνθρώπων
τούτοις καθαρθεὶς ἐν Ἰορδάνῃ,
οἷς θελήσας ὡμοιώθη, ὃ ἦν μείνας,
τοὺς ἐν τῷ σκότει φωτίζει κύριος·
ὅτι δεδόξασται.

ᾠδὴ γ΄.

Ἰσχὺν ὁ διδοὺς
τοῖς βασιλεῦσιν ἡμῶν κύριος
καὶ κέρας χριστῶν αὐτοῦ ὑψῶν
παρθένου ἀποτίκτεται,
μολεῖ δὲ πρὸς τὸ βάπτισμα·
διὸ πιστοὶ βοήσωμεν·
οὐκ ἔστιν ἅγιος | ὡς ὁ θεὸς ἡμῶν
καὶ οὐκ ἔστι δίκαιος | πλήν σου, κύριε.

Στειρεύουσα πρὶν
ἡ τεκνουμένη δεινῶς σήμερον
εὐφραίνου, Χριστοῦ ἐκκλησία·
δι᾽ ὕδατος καὶ πνεύματος
υἱοί σοι γὰρ γεγέννηνται
οἱ πίστει ἀνακράζοντες·
οὐκ ἔστιν ἅγιος | ὡς ὁ θεὸς ἡμῶν
καὶ οὐκ ἔστι δίκαιος | πλήν σου, κύριε,

Μεγάλῃ φωνῇ
ἐν τῇ ἐρήμῳ βοᾷ πρόδρομος·
Χριστοῦ ἑτοιμάσατε ὁδοὺς
καὶ τρίβους τοῦ θεοῦ ἡμῶν

191 Χριστῷ A — 192 Matth. II 16 — 196 ἐγκατέλειπον Dan.
Codd. AV — 6 Matth. VI. Marc. I. Luc. III. Ioann. I. — 9 ὁ βασιλεὺς τῶν αἰώνων ι secunda, ὁ σαρκωθεὶς ἐκ παρθένου in tertia stropha exhibet Barth. — 16 σμύχων ex μήχων corr. A — 19 τῷ om. Barth. — φωτίζων A — 21 Reg. I 2. — 23 χρηστῶν V — 6 αὐτῷ πιστοί A — 30 τεκνωμένη AV Barth. — 31 ἡ ἐκκλησία Barth. — 33 γάρ σοι arth. — 34 et 42 οἱ AV: ἐν Barth. — 38 ὁ πρόδρομος V — 39 ὁδόν V

εὐθείας ἀπεργάσασθε
οἱ πίστει ἀνακράζοντες·
οὐκ ἔστιν ἅγιος | ὡς ὁ θεὸς ἡμῶν
καὶ οὐκ ἔστι δίκαιος | πλήν σου, κύριε.

ᾠδὴ δ'.

Ἀκήκοα, κύριε,
φωνῇ σου ὅν εἶπας 'Φωνὴ
βοῶντος ἐν ἐρήμῳ, | ὅτε ἐβρόντησας
πολλῶν ἐπὶ ὑδάτων,
τῷ σῷ μαρτυρούμενος υἱῷ·
ὅλος γεγονὼς τοῦ παρόντος
πνεύματος δὲ ἐβόησε·
σὺ εἶ Χριστὸς,
θεοῦ σοφία καὶ δύναμις.

Ῥυπτόμενον ἥλιον
τίς εἶδεν, ὁ κῆρυξ βοᾷ,
τὸν ἔκλαμπρον τῇ φύσει,
ἵνα σε ὕδασιν,
ἀπαύγασμα τῆς δόξης,
πατρὸς χαρακτὴρ ἀϊδίου,
ἐκπλύνω καὶ χόρτος ὢν πυρὶ
ψαύσω τῆς σῆς θεότητος;
σὺ γὰρ Χριστὸς,
θεοῦ σοφία καὶ δύναμις.

Ὑπέφηνεν ἔνθεον
ἣν εἶχεν εὐλάβειαν
Μωσῆς περιτυχών σοι·
ὡς γὰρ τῆς βάτου σου
φωνήσαντος ᾐσθήθη,
εὐθὺς ἀπεστράφη τὰς ὄψεις·
ἐγὼ δὲ πῶς βλέψω σε τρανῶς,
ἢ πῶς χειροθετήσω σε;
σὺ γὰρ Χριστὸς,
θεοῦ σοφία καὶ δύναμις.

Ψυχῆς τελῶν ἔμφρονος
καὶ λόγῳ τιμώμενος
ἀψύχων εὐλαβοῦμαι·
εἰ γὰρ βαπτίσω σε,
κατήγορόν μου ἔσται
πυρὶ καπνιζόμενον ὄρος,
φυγοῦσα δὲ θάλασσα διχῇ
καὶ Ἰορδάνης οὗτος στραφείς·
σὺ γὰρ Χριστὸς,
θεοῦ σοφία καὶ δύναμις.

ᾠδὴ ε'.

Ἰησοῦς ὁ ζωῆς ἀρχηγὸς
λῦσαι τὸ κατάκριμα ἥκει
Ἀδὰμ τοῦ πρωτοπλάστου·
καθαρσίων δὲ | ὡς θεὸς μὴ δεόμενος
τῷ πεσόντι καθαίρεται
ἐν τῷ Ἰορδάνῃ,
ἐν ᾧ τὴν ἔχθραν κτείνας
ὑπερέχουσαν πάντα νοῦν
εἰρήνην χαρίζεται.

Συνελθόντων ἀπείρων λαῶν
ὑπὸ Ἰωάννου βαπτισθῆναι,
αὐτὸς ἐν μέσῳ ἔστη,
προσεφώνει δὲ
τοῖς παροῦσι· τίς ἔδειξεν,
ἀπειθεῖς, τὴν ὀργὴν ὑμῖν
ἐκκλῖναι τὴν μέλλουσαν;
καρποὺς ἀξίους Χριστῷ
ἐκτελεῖτε· παρὼν γὰρ νῦν
εἰρήνην χαρίζεται.

Γεωργὸς ὁ καὶ δημιουργὸς
μέσος ἑστηκὼς ὡς εἷς ἁπάντων
καρδίας ἐμβατεύει·
καθαρτήριον | δὲ πτύον χειριζόμενος
τὴν παγκόσμιον ἅλωνα
πανσόφως διΐστησι,
τὴν ἀκαρπίαν φλέγων,
εὐκαρποῦσιν αἰώνιον
ζωὴν χαριζόμενος.

45 ἀκήκοε Barth. — 46 Luc. III 4. 21—22 — φωνῇ V: φωνῆς A — φωνὴ A: φωνῆι V — 64 σε φωνήσαντα V Barth. — 66 σε om. A — 69 scholiastae interpretantis ὑπάρχων ψυχῆς vestigia secutus reposuerim πέλων — 72 μοι Barth. — 78 una syllaba ante ἥκει excidisse videtur. — 89 fort.: Χριστῷ ἀξίους — 93 ἐμβατεύων V — 94 χειρισάμενος Barth — 97 fort. εὐκραποῦσι δ' αἰώνιον

ᾠδὴ ϛ'.

Ἡ φωνὴ τοῦ λόγου,
ὁ λύχνος τοῦ φωτὸς, ὁ Ἑωσφόρος,
ὁ τοῦ ἡλίου πρόδρομος
ἐν τῇ ἐρήμῳ, μετανοεῖτε,
πᾶσι βοᾷ τοῖς λαοῖς,
καὶ προκαθαίρεσθε·
Ἰδοὺ γὰρ πάρεστι Χριστὸς,
ἐκ φθορᾶς τὸν κόσμον λυτρούμενος.

Γεννηθεὶς ἀρρεύστως
ἐκ θεοῦ καὶ πατρὸς, ἐκ τῆς παρθένου
δίχα σαρκοῦται ῥύπου Χριστός·
οὗ τὸν ἱμάντα, τὴν ἐξ ἡμῶν
τοῦ λόγου συνάφειαν,
λύειν ἀμήχανον,
διδάσκει ὁ πρόδρομος,
γηγενεῖς ἐκ πλάνης λυτρούμενος.

Ἐν πυρὶ βαπτίσει
τελευταίῳ Χριστὸς τοὺς ἀπειθοῦντας
καὶ μὴ θεὸν φρονοῦντας αὐτόν·
ἐν πνεύματι δὲ καινοποιεῖ
δι' ὕδατος χάριτι | τοὺς ἐπιγνώμονας
αὐτοῦ τῆς θεότητος,
τῶν πλημμελημάτων λυτρούμενος.

ᾠδὴ ζ'.

Νέους εὐσεβεῖς
καμίνῳ πυρὸς προσομιλήσαντας
διασυρίζον πνεῦμα δρόσου
ἀβλαβεῖς διεφύλαξε
καὶ θείου ἀγγέλου συγκατάβασις·
ὅθεν ἐν φλογὶ δροσιζόμενοι
εὐχαρίστως ἀνέμελπον·
ὑπερύμνητε,
ὁ τῶν πατέρων κύριος
καὶ θεὸς εὐλογητὸς εἶ.

Ὡς ἐν οὐρανῷ
σὺν τρόμῳ καὶ θαύματι παρίσταντο
ἐν Ἰορδάνῃ αἱ δυνάμεις
τῶν ἀγγέλων, σκοπούμεναι
τοσαύτην θεοῦ τὴν συγκατάβασιν·
ὅπως ὁ κρατῶν τὴν ὑπέρῳον
τῶν ὑδάτων ὑπόστασιν
ἐν τοῖς ὕδασι
σωματοφόρος ἕστηκεν,
ὁ θεὸς ὁ τῶν πατέρων [ἡμῶν].

Νεφέλη ποτὲ
καὶ θάλασσα θείου προεικόνιζον
βαπτίσματος τὸ θαῦμα,
ἐν οἷς ὁ πρὶν βαπτίζεται
διεξοδικῶς τῷ νομοθέτῃ λαός·
θάλασσα δὲ ἦν τύπος ὕδατος
καὶ νεφέλη τοῦ πνεύματος·
οἷς τελούμενοι,
εὐλογητὸς εἶ, κράζομεν,
ὁ θεὸς ὁ τῶν πατέρων [ἡμῶν].

Ἅπαντες πιστοὶ,
ἐν ᾧ τὴν τελείωσιν ἐλάβομεν,
θεολογοῦντες ἀσιγήτως
σὺν ἀγγέλοις δοξάσωμεν
πατέρα, υἱὸν καὶ πνεῦμα ἅγιον·
τοῦτο γὰρ τριὰς ὑποστάσεσιν
ὁμοούσιος, εἷς δὲ θεὸς,
ᾧ καὶ ψάλλομεν·
ὁ τῶν πατέρων κύριος
καὶ θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ η'.

Μυστήριον παράδοξον
ἡ Βαβυλῶνος ἔδειξε κάμινος,
πηγάσασα δρόσον·
ὅτι ῥεῖθρον ἔμελλεν

103 παρέστη ὁ Χριστός V — 104 φορᾶς A — 112 βαπτίζει Barth. — 116 χάριτι θείαι V 120 καμίνου V — 123 ἀγγέλου ex ἀγγέλων corr. A — συγκατάβασιν V — 125 ἀνέμελπον, ὁ τῶν πατέρων ἡμῶν θεὸς εὐλογητὸς εἶ A — 129 Ὥσπερ οὐρανῷ Barth. — 131 αἱ δυνάμεις τῶν ἀγγέλων ἐν Ἰορδάνῃ A — 138 θεὸς τῶν V — ἡμῶν et in hac et in tertia stropha eiiciendum significavimus — 140 προεικόνιζε Barth. — 141 Χριστοῦ vel aliud bisyllabon ante βαπτίσματος intercidisse videtur. — 143 διεξοδικός A — 147 ψάλλομεν Barth. — κράζοντες ὁ θεὸς τῶν A — 152 δοξάζωμεν V — 156 ψάλλωμεν V — 162 ῥείθροις . . . ὁ Ἰορδάνης Barth.

ἄϋλον πῦρ εἰcδέχεcθαι
τοῦ Ἰορδάνου καὶ cτέγειν
cαρκὶ βαπτιζόμενον τὸν κτίcτην,
ὃν εὐλογοῦcι λαοὶ
καὶ ὑπερυψοῦcιν
εἰc πάνταc τοὺc αἰῶναc.

Ἀπόθου φόβον ἅπαντα,
ὁ λυτρωτὴc τῷ προδρόμῳ ἔφηcεν·
ἐμοὶ δὲ πειθάρχει,
ὡc Χριcτῷ μοι πρόcελθε·
τοῦτο γὰρ φύcει πέφυκα·
ἐμῷ προcτάγματι εἶξον
καὶ βάπτιcόν με cυγκαταβάντα,
ὃν εὐλογοῦcι λαοὶ
καὶ ὑπερυψοῦcιν
εἰc πάνταc τοὺc αἰῶναc.

Ῥημάτων ὡc ἀκήκοεν
ὁ βαπτιcτὴc τοῦ δεcπότου cύντρομοc
παλάμην ἐκτείνει·
χειραπτήcαc ὅμωc δὲ
τὴν κορυφὴν τοῦ πλάcτου αὐτοῦ
τῷ βαπτιcθέντι ἐβόα·
ἁγίαcόν με· cὺ γὰρ θεόc μου,
ὃν εὐλογοῦcι λαοὶ
καὶ ὑπερυψοῦcιν
εἰc πάνταc τοὺc αἰῶναc.

Τριάδοc ἡ φανέρωcιc
ἐν Ἰορδάνῃ γέγονεν· αὕτη γὰρ
ὑπέρθεοc φύcιc·
ὁ πατὴρ ἐφώνηcεν,
«οὗτοc ὁ βαπτιζόμενοc
υἱὸc ὁ ἀγαπητόc μου,»
τὸ πνεῦμα cυμπαρῆν τῷ ὁμοίῳ·
ὃν εὐλογοῦcι λαοὶ
καὶ ὑπερυψοῦcιν
εἰc πάνταc τοὺc αἰῶναc.

ᾠδὴ θ'.

Ἀπορεῖ πᾶcα γλῶccα
εὐφημεῖν πρὸc ἀξίαν·
ἰλιγγιᾷ δὲ
νοῦc καὶ ὑπερκόcμιοc
ὑμνεῖν cε, θεοτόκε·
ὅμωc ἀγαθὴ ὑπάρχουcα
τὴν πίcτιν δέχου·
καὶ γὰρ τὸν πόθον οἶδαc
τὸν ἔνθεον ἡμῶν·
cὺ γὰρ Χριcτιανῶν εἶ
προcτάτιc, cὲ μεγαλύνομεν.

Δαυῒδ πάρεcο πνεύματι
τοῖc φωτιζομένοιc·
νῦν προcέλθετε,
ᾆδε, πρὸc θεὸν ἐν πίcτει,
λέγων, φωτίcθητε·
οὗτοc ὁ πτωχὸc ἐκέκραξεν
Ἀδὰμ ἐν πτώcει·
καὶ γὰρ αὐτοῦ εἰcήκουcε
κύριοc ἐλθὼν
ῥείθροιc τοῦ Ἰορδάνου
φθαρέντα τε ἀνεκαίνιcεν.

Ὁ Ἡcαΐαc, λούcαcθε,
καὶ καθάρθητε, φάcκει·
τὰc πονηρίαc
ἔναντι ἀφέλεcθε
κυρίου· οἱ διψῶντεc
ὕδωρ ἐπὶ ζῶν πορεύεcθε·
ῥανεῖ γὰρ ὕδωρ
καινοποιὸν Χριcτὸc τοῖc
προcτρέχουcιν αὐτῷ
πίcτει καὶ πρὸc ζωὴν
τὴν ἀγήρω βαπτίζει πνεύματι.

Cυντηρώμεθα χάριτι,
πιcτοί, καὶ cφραγῖδι·

164 τὸ Ἰορδάνου V — cτέρξαι A et schol. cod. A, quod ex cτέξαι ortum esse videtur. — 167 πάνταc om. A, quod librarii clausulas stropharum haud raro aut omittentis aut contrahentis negligentiae tribuimus. — 188 ἡ ὑπέρθεοc V — 204 cοι V — 205 Psalm. XXXIII 6—7. — 207 fort. προcελθόντεc — 215 λούcαcθε καθάρθητε V Barth., cf. Ies. I 16 — 223 ἐν πίcτει Barth., quo recepto una syllaba versus abundaret.

ὡc γὰρ ὄλεθρον
ἔφυγον φλιᾶc Ἑβραῖοι
πάλαι αἱμαχθείcηc,
οὕτω καὶ ἡμῖν ἐξόδιον
τὸ θεῖον τοῦτο
τῆc παλιγγενεcίαc
λουτήριον ἔcται·
ὅθεν καὶ τῆc τριάδοc
ὀψόμεθα φῶc τὸ ἄδυτον.

IV

Κανὼν εἰc τὴν Ὑπαπαντὴν τοῦ Χριcτοῦ (Φεβρ. 2).

Ἡ ἀκροcτιχίc:

«Χριcτὸν γεγηθὼc πρέcβυc ἀγκαλίζεται.»

ἦχοc γ΄.

ᾠδὴ α΄.

Χέρcον ἀβυccότοκον πέδον
ἥλιοc ἐπεπόλευcέ ποτε·
ὡcεὶ τεῖχοc γὰρ ἐπάγη
ἑκατέρωθεν ὕδωρ
λαῷ πεζοποντοποροῦντι
καὶ θεαρέcτωc μέλποντι·
ᾄcωμεν τῷ κυρίῳ·
ἐνδόξωc γὰρ δεδόξαcται.

Ῥανάτωcαν ὕδωρ νεφέλαι·
ἥλιοc ἐν νεφέλῃ γὰρ κούφῃ
ἐποχούμενοc ἐπέcτη
ἀκηράτοιc ὠλέναιc
Χριcτὸc ἐν τῷ ναῷ ὡc βρέφοc·
διὸ πιcτοὶ βοήcωμεν·
ᾄcωμεν τῷ κυρίῳ·
ἐνδόξωc γὰρ δεδόξαcται.

Ἰcχύcατε χεῖρεc Cυμεὼν
τῷ γήρᾳ ἀνειμέναι, καὶ κνῆμαι
παρειμέναι δὲ πρεcβύτου
εὐθυβόλωc κινεῖcθε
Χριcτοῦ πρὸc ὑπαντήν· χορείαν
cὺν ἀcωμάτοιc cτήcαντεc
ᾄcωμεν τῷ κυρίῳ·
ἐνδόξωc γὰρ δεδόξαcται.

Cυνέcει ταθέντεc οὐρανοὶ
εὐφράνθητε, ἀγάλλου δὲ ἡ γῆ·
ὑπερθέων γὰρ ἐκ κόλπων
ὁ τεχνίτηc φοιτήcαc
Χριcτὸc ὑπὸ μητρὸc παρθένου
θεῷ πατρὶ προcάγεται
νήπιοc ὁ πρὸ πάντων·
ἐνδόξωc γὰρ δεδόξαcται.

ᾠδὴ γ΄.

Τὸ cτερέωμα
τῶν ἐπὶ coὶ πεποιθότων
cτερέωcον, κύριε,
τὴν ἐκκληcίαν,
ἣν ἐκτήcω τῷ τιμίῳ cου αἵματι.

Ὁ πρωτότοκοc
ἐκ τοῦ πατρὸc πρὸ αἰώνων
πρωτότοκοc νήπιοc
κόρηc ἀφθόρου
τῷ Ἀδὰμ χεῖρα προτείνων ἐπέφανεν.

Νηπιόφρονα
τὸν γεγονότα ἀπάτῃ
πρωτόπλαcτον ἔμπαλιν
ἐπανορθώcων
θεὸc λόγοc νηπιάcαc ἐπέφανε.

Γῆc ἀπόγονον
παλινδρομήcαcαν ταύτῃ
θεότητοc cύμμορφον

---

227 Exod. XII 13 — 228 Ἑβραίων V — 233 ἔνθεν Barth.
Cod. A — 1 ἀβυccοτόκον Barth. — 17 Luc. II 17 — 22 cτήcατε ᾄδουcαι A — 45 τλαcτον A — 50 cύμμορφοc A

φύcιν ὁ πλάcτης
ὡς ἀτρεπτονηπιάcας ἀνέδειξε.

ᾠδὴ δ΄.

Ἐκάλυψεν οὐρανοὺς
ἡ ἀρετή cου, Χριcτέ·
τῆς κιβωτοῦ γὰρ προελθὼν
τοῦ ἁγιάcματός cου,
τῆς ἀφθόρου μητρὸς,
ἐν τῷ ναῷ τῆς δόξης cου ὤφθης,
ὡς βρέφος ἀγκαλοφορούμενος·
καὶ ἐπλήcθη τὰ πάντα τῆς cῆς αἰνέcεως.

Γηθόμενος Cυμεὼν
τῶν ἀπορρήτων μύcτα,
ἡ θεοτόκος ἐβόα,
ὃν ὑφ᾽ ἁγίου πάλαι
κεχρημάτιcαι
πνεύματος νηπιάcαντα λόγον
Χριcτὸν ἐναγκαλίζου, κράζων αὐτῷ·
ἐπληρώθη τὰ πάντα τῆς cῆς αἰνέcεως.

Ἣν ἤλπιcας, Cυμεών, ἡλικιώτην βρεφῶν,
χαίρων ὑπόλαβε Χριcτὸν,
τοῦ Ἰcραὴλ τοῦ θείου
τὴν παράκληcιν,
τὸν νόμου ποιητὴν καὶ δεcπότην
πληροῦντα νόμου τάξιν, κράζων αὐτῷ·
ἐπληρώθη τὰ πάντα τῆς cῆς αἰνέcεως.

Θεώμενος Cυμεὼν λόγον τὸν ἄναρχον
μετὰ cαρκὸς, ὡς ἐν θρόνῳ
χερουβικῷ, παρθένῳ
ἐποχούμενον,
τὸν αἴτιον τοῦ εἶναι τὰ πάντα
ὡς βρέφος, ἐκπλαγεὶς ἐβόα αὐτῷ·
ἐπληρώθη τὰ πάντα τῆς cῆς αἰνέcεως.

ᾠδὴ ε΄.

Ὡς εἶδεν Ἠcαΐας
cυμβολικῶς ἐν θρόνῳ ἐπηρμένῳ θεὸν
ὑπ᾽ ἀγγέλων δόξης
δορυφορούμενον,
ὢ τάλας! ἐβόα, ἐγώ·
πρὸ γὰρ εἶδον cωματούμενον θεὸν,
φωτὸς ἀνεcπέρου
καὶ εἰρήνης δεcπόζοντα.

Cυνεὶς ὁ θεῖος πρέcβυς
τὴν προφανεῖcαν πάλαι τῷ προφήτῃ δόξαν,
cαρκὶ λόγον βλέπων
μητρὶ κρατούμενον,
ὢ χαίροις, ἐβόα, cεμνή·
ὡς γὰρ θρόνος περιέχεις τὸν θεὸν,
φωτὸς ἀνεcπέρου
καὶ εἰρήνης δεcπόζοντα.

Προκύψας ὁ πρεcβύτης
καὶ τῶν ἰχνῶν ἐνθέως ἐφαψάμενος
τῆς ἀπειρογάμου | καὶ θεομήτορος,
πῦρ, ἔφη, βαcτάζεις, ἁγνή·
βρέφος φρίττω ἀγκαλίcαcθαι θεὸν,
φωτὸς ἀνεcπέρου
καὶ εἰρήνης δεcπόζοντα.

Ῥύπτεται Ἠcαΐας,
τοῦ Cεραφὶμ τὸν ἄνθρακα δεξάμενος,
ὁ πρέcβυς ἐβόα | τῇ θεομήτορι·

---

52 ὡς ἀτρεπτονηπιάcας scripsi cod. A scripturam ὡς ἄτρεπτον νηπιάcας secutus: ὡς ἀτρέπτως νηπιάcας Barth. — 59 ἐπληρώθη in prima et altera stropha A, in prima sola Barth. ἐπλήcθη in tertia et quarta A, in secunda et tertia et quarta Barth. ipsi numerorum concinnitatis gratia in prima stropha ἐπλήcθη, in reliquis ἐπληρώθη scripsimus — 65 αὐτῷ om. A — 67 βρεφῶν Barth.: τρέφων A et schol. — 68 ὑπόδεξαι Barth. — 76 παρθένῳ Barth. et schol. cod. A: παρθένε A — 79 ἐβόα cod. A m. sec. — 81 Ies. VI. — 82 ἐπηρμένον A, nos cum Barth. Iesaiae locutionem secuti sumus — 83 δορυφορούμενος A — 86 εἰρήνην in prima et tertia stropha A — δεcπόζοντος hic et infra A — 88 προφανεῖcαν Barth.: ἀφανεῖcαν A — 89 cαρκὶ A et schol.: χερcὶ Barth. — μητρὶ A et schol.: μητρὸς Barth. — 97 Χριcτὸν A — 99 Ies. VI 6.

cὺ ὥcπερ λαβίδι χερcὶ
λαμπρύνειc με ἐπιδοῦcα ὃν φέρειc,
φωτὸc ἀνεcπέρου
καὶ εἰρήνηc δεcπόζοντα.

ᾠδὴ ϛ'.

Ἐβόηcέ cοι
ἰδὼν ὁ πρέcβυc
τοῖc ὀφθαλμοῖc τὸ cωτήριον,
ὃ λαοῖc ἐπέcτη·
ἐκ θεοῦ, Χριcτὲ, cὺ θεόc μου.

Cιὼν cὺ λίθοc
ἐναπετέθηc
τοῖc ἀπιcτοῦcι προcκόμματοc
καὶ cκανδάλου πέτρα,
ἀρραγὴc πιcτῶν cωτηρία.

Βεβαίωc φέρων
τὸν χαρακτῆρα
τοῦ πρὸ αἰώνων cε φύcαντοc
τὴν βροτῶν δι' οἶκτον
νῦν ἀcθένειαν περιέθου.

Υἱὸν ὑψίcτου,
υἱὸν παρθένου,
θεὸν παιδίον γενόμενον
προcκυνήcαντά cε
νῦν ἀπόλυcον ἐν εἰρήνῃ.

ᾠδὴ ζ'.

Cὲ τὸν ἐν πυρὶ δροcίcαντα
παῖδαc θεολογήcανταc
καὶ παρθένῳ ἀκηράτῳ ἐνοικήcαντα
θεὸν λόγον ὑμνοῦμεν,
εὐcεβῶc μελῳδοῦντεc·
εὐλογητὸc ὁ θεὸc
ὁ τῶν πατέρων ἡμῶν.

Ἀδὰμ ἐμφανίcων ἄπειμι
εἰc Ἅιδου διατρίβοντι
καὶ τῇ Εὔᾳ προcκομίcων εὐαγγέλια,
Cυμεὼν ἀνεβόα,
cὺν προφήταιc χορεύων·
εὐλογητὸc ὁ θεὸc
ὁ τῶν πατέρων ἡμῶν.

Γένοc χοϊκὸν ῥυcόμενοc
θεὸc ἕωc τοῦ Ἅιδου ἥξει·
αἰχμαλώτοιc δὲ παρέξει πᾶcιν ἄφεcιν
καὶ ἀνάβλεψιν πηροῖc
ὡc ἀλάλοιc βοῆcαι·
εὐλογητὸc ὁ θεὸc
ὁ τῶν πατέρων ἡμῶν.

Καὶ cοῦ τὴν καρδίαν, ἄφθορε,
ῥομφαία διελεύcεται,
Cυμεὼν τῇ θεοτόκῳ προηγόρευcεν,
ἐν cταυρῷ καθορώcηc
cὸν υἱὸν, ᾧ βοῶμεν·
εὐλογητὸc ὁ θεὸc
ὁ τῶν πατέρων ἡμῶν.

ᾠδὴ η'.

Ἀcτέκτῳ πυρὶ ἑνωcθέντεc
οἱ θεοcεβείαc προεcτῶτεc νεανίαι,
τῇ φλογὶ δὲ μὴ λωβηθέντεc
θεῖον ὕμνον ἔμελπον·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν κύριον
καὶ ὑπερυψοῦτε
εἰc πάνταc τοὺc αἰῶναc.

Λαὸc Ἰcραὴλ, τὴν cὴν δόξαν
τὸν Ἐμμανουὴλ ὁρῶν παιδίον ἐκ
παρθένου,
πρὸ προcώπου τῆc θείαc
κιβωτοῦ νῦν χόρευε·

---

103 λαμπρυνεῖc με A equidem verba transpositione facta sic sanaverim: με λαμπρύ-[illegible]ιc. — 111 ἀπειθοῦcι Barth. — 117 θεὸν m. sec. add. A — 118 cε om. A — 122 παρθένον — 124 εὐλογητὸc ὁ θεὸc ὁ τῶν πατέρων ἡμῶν schol. cod. A Barth.: εὐλογητὸc εἶ κύριε ὁ [illegible]ὸc τῶν πατέρων ἡμῶν A — 126 expectes ἐν Ἅιδου; sed εἰc Ἅιδου διατρίβοντι novicio more [illegible]ctum esse videtur — 131 melius current numeri, si θεὸc post ἥξει collocaveris — 135 [illegible]ιc. II 35 — 140 ἑνωcθέντεc scripsimus scholiastae interpretationem ἐμβληθέντεc secuti: [illegible]ωθέντεc A ἑνωθέντεc Barth.

εὐλογεῖτε πάντα τὰ ἔργα τὸν κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ἰδού, Cυμεὼν ἀνεβόα,
τὸ ἀντιλεγόμενον cημεῖον οὗτος ἔςται,
θεὸς ὢν καὶ παιδίον·
τούτῳ πίςτει ψάλλωμεν·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ζωὴ πεφυκὼς οὗτος ἔςται
πτῶςις ἀπειθοῦςι νηπιάςας θεῖος λόγος,
ὡς ἀνάςταςις πᾶςι
τοῖς ἐν πίςτει μέλπουςιν·
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν κύριον
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'.

Ἐν νόμου ςκιᾷ καὶ γράμματι τύπον
κατίδωμεν οἱ πιςτοί·
πᾶν ἄρςεν τὸ τὴν μήτραν
διανοῖγον ἅγιον θεῷ·
διὸ πρωτότοκον λόγον,
πατρὸς ἀνάρχου υἱὸν
πρωτοτοκούμενον μητρὶ
ἀπειράνδρῳ, μεγαλύνωμεν.

Τοῖς πρὶν νεογνῶν τρυγόνων ζεῦγος
δυάς τε ἦν νεοςςῶν·
ἀνθ' ὧν ὁ θεῖος πρέςβυς
καὶ ςώφρων Ἄννα προφῆτις
τῷ ἐκ παρθένου τεχθέντι
καὶ οἵῳ γόνῳ πατρὸς
ἐν τῷ ναῷ προςιόντι
λειτουργοῦντες ἐμεγάλυνον.

Ἀπέδωκάς μοι, ἐβόα Cυμεών,
τοῦ ςωτηρίου ςου,
Χριςτέ, ἀγαλλίαςιν·
ἀπόλαβέ ςου τὸν λάτριν,
τὸν τῇ ςκιᾷ κεκμηκότα,
νέον τῆς χάριτος
ἱεροκήρυκα μύςτην
ἐν αἰνέςει μεγαλύνοντα.

Ἱεροπρεπῶς ἀνθωμολογεῖτο
ὑποφητεύουςα
ἡ ςώφρων καὶ ὁςία
καὶ πρεςβυρὰ τῷ δεςπότῃ
ἐν τῷ ναῷ διαρρήδην·
τὴν θεοτόκον δὲ
ἀνακηρύττουςα πᾶςι
τοῖς παροῦςιν ἐμεγάλυνεν.

V

Κανὼν εἰς τὴν Μεταμόρφωςιν τοῦ Χριςτοῦ (Αὐγ. 6).

Ἡ ἀκροςτιχίς:

«Χριςτὸς ἐνὶ ςκοπιῇ ςέλας ἄπλετον εἴδεος ἧκε.»

ἦχος δ'.

ᾠδὴ α'.

Χοροὶ Ἰςραὴλ ἀνίκμοις ποςὶ
πόντον ἐρυθρὸν καὶ ὑγρὸν βυθὸν διελάςαντες,
ἀναβάτας τριςτάτας
δυςμενεῖς ὁρῶντες ἐν αὐτῷ ὑποβρυχίους,
ἐν ἀγαλλιάςει ἔμελπον·
ᾄςωμεν τῷ θεῷ ἡμῶν, | ὅτι δεδόξαςται.

---

152 Luc. II 34. — 155 μέλψωμεν Barth. — 159 ἀπειθοῦςα A — θεὸς Barth. — 161 τοῖς πίςτει μέλπουςιν schol. cod. A Barth., ipsi addita praepositione ἐν numeros explevimus: τούτῳ πίςτει μέλψωμεν A — 164 Luc. II 23 — νόμῳ Barth. — 172 Luc. II 24 — 175 Luc. II 36. — 179 λειτουργοῦςι μεγαλύνομεν — 180 Luc. II 29—32. — 189 Ἄννα, quod editores Menaeorum ante ὑποφητεύουςα addunt, ex interpolatione ortum esse numeri arguunt. Cod. A. — 4 post vel ante ὁρῶντες vocabulum bisyllabum ut ἄρδην excidisse videtur.

Ῥήματα ζωῆϲ τοῖϲ φίλοιϲ Χριϲτὸϲ
καὶ περὶ τῆϲ θείαϲ δημηγορῶν βασι-
λείαϲ ἔφη·
ἐν ἐμοὶ τὸν πατέρα
ἐπιγνώϲεϲθε, φωτὶ ὡϲ ἐξαϲτράψω
ἀπροϲίτῳ
ἐν ἀγαλλιάϲει λέγουϲιν·
ᾄϲωμεν τῷ θεῷ ἡμῶν, | ὅτι δεδόξαϲται.

Ἰϲχὺν τῶν ἐθνῶν κατέδεϲθε,
φίλοι μαθηταί, θαυμαϲθήϲεϲθε δὲ τῷ
πλούτῳ αὐτῶν,
ὅτι δόξηϲ πληροῦϲθε,
ὡϲ ὀφθήϲομαι λαμπρότερον ἡλίου
ἐξαϲτράπτων
ἐν ἀγαλλιάϲει λέγουϲιν·
ᾄϲωμεν τῷ θεῷ ἡμῶν, | ὅτι δεδόξαϲται.

Cήμερον Χριϲτὸϲ ἐν ὄρει Θαβὼρ
λάμψαϲ ἀμυδρῶϲ, θεϊκῆϲ αὐγῆϲ, ὡϲ
ὑπέϲχετο,
μαθηταῖϲ παρεγύμνου
χαρακτῆρα, ϲελαϲφόρου δὲ πληϲθέν-
τεϲ θείαϲ αἴγληϲ
ἐν ἀγαλλιάϲει ἔμελπον·
ᾄϲωμεν τῷ θεῷ ἡμῶν, | ὅτι δεδόξαϲται.

ᾠδὴ γ'.

Τόξον δυνατῶν ἠϲθένηϲε,
καὶ οἱ ἀϲθενοῦντεϲ
περιεζώϲαντο δύναμιν·
διὰ τοῦτο ἐϲτερεώθη
ἐν κυρίῳ ἡ καρδία μου.

Ὅλον τὸν Ἀδὰμ φορέϲαϲ, Χριϲτέ,
τὴν ἀμαυρωθεῖϲαν
ἀμείψαϲ ἐλάμπρυναϲ
πάλαι φύϲιν καὶ ἀλλοιώϲει
τῆϲ μορφῆϲ ϲου ἐθεούργηϲαϲ.

Cτύλῳ πυριμόρφῳ καὶ νεφέλῃ πάλαι
ὁ ἐν τῇ ἐρήμῳ
τὸν Ἰϲραὴλ ἄγων ϲήμερον
ἐν τῷ ὄρει Θαβὼρ ἀρρήτωϲ
ἐν φωτὶ Χριϲτὸϲ ἐξέλαμψεν.

ᾠδὴ δ'.

Εἰϲακήκοα τὴν ἔνδοξον
οἰκονομίαν ϲου, Χριϲτὲ ὁ θεόϲ,
ὅτι ἐτέχθηϲ ἐκ τῆϲ παρθένου,
ἵνα ἐκ πλάνηϲ ῥύϲῃ τοὺϲ κραυγάζον-[ταϲ·
δόξα τῇ δυνάμει ϲου, κύριε.

Νόμον ἐν Cινᾷ τῷ γράμματι
διατυπούμενοϲ, Χριϲτὲ ὁ θεόϲ,
ἐν τῇ νεφέλῃ, πυρὶ καὶ γνόφῳ
καὶ ἐν θυέλλῃ ὤφθηϲ ἐποχούμενοϲ·
δόξα τῇ δυνάμει ϲου, κύριε.

Ἵνα πιϲτώϲῃ τὴν ἔνδοξον
οἰκονομίαν ϲου, Χριϲτὲ ὁ θεόϲ,
ὡϲ προϋπάρχων πρὸ τῶν αἰώνων
καὶ ὁ αὐτὸϲ ἐν νέφει τὴν ἐπίβαϲιν θείϲ,
ἐν τῷ Θαβὼρ ἐνδόξωϲ ἐξέλαμψαϲ.

Cυλλαλοῦντεϲ παρειϲτήκειϲαν
δουλοπρεπῶϲ ϲοὶ τῷ δεϲπότῃ Χριϲτῷ,
οἷϲ ἐν πυρὸϲ ἀτμίδι καὶ γνόφῳ
καὶ λεπτοτάτῃ αὔρᾳ προϲωμίληϲαϲ·
δόξα τῇ δυνάμει ϲου, κύριε.

Κατεμήνυον τὴν ἔξοδον
διὰ ϲταυροῦ ϲου ἐν Θαβὼρ παρόντεϲ
ὁ ἐν πυρί ϲε καὶ βάτῳ πάλαι
προκατιδὼν Μωϋϲῆϲ καὶ ὁ μετάρϲιοϲ
δίφρῳ ἐν πυρίνῳ Ἠλίαϲ, Χριϲτέ.

ᾠδὴ ε'.

Ὁ τοῦ φωτὸϲ διατμήξαϲ
τὸ πρωτόγονον χάοϲ,

10 Matth. XVII 1—10. Marc. IX 2—9. Luc. IX 28—32. — 11 λέγουϲιν A: μέλποντεϲ Barth., nescio an vere — 14 αὐτῶν Barth. — 16 λαμπρότεροϲ Barth. — 17 μέλποντεϲ Barth. — 30 ἡμῶν, quod scholiasta interpretatur, ante ἀμείψαϲ addendum iudicamus — 35 ἀρρήτω A — 38 ϲου οἰκονομίαν A — 39 τῆϲ om. Barth. — 40 βοῶνταϲ ϲοι Barth. — 50 ἐνδόξωϲ] ἀρρήτωϲ Barth. — 58 διὰ ϲταυροῦ A cum schol.: τὴν ἐν ϲταυρῷ Barth. — 61 δίφρων A

ὡς ἐν φωτὶ τὰ ἔργα ὑμνῇ cε, Χριcτὲ,
τὸν δημιουργὸν, | ἐν τῷ φωτί cου
τὰς ὁδοὺς ἡμῶν εὔθυνον.

Προcενωπίῳ cοι ὧραι
ὑπεκλίθηcαν· φῶς γὰρ
καὶ πρὸ ποδῶν ὑψίδρομον cέλας, Χριcτὲ,
ἥλιος ἧκε, | μορφὴν βροτείαν
ὡς ἀμεῖψαι ηὐδόκηcας.

Ἰδοὺ cωτὴρ, ἀνεβόων
Μωϋcῆς καὶ Ἠλίας
τῶν μαθητῶν ἐν ὄρει ἁγίῳ Θαβὼρ
ἐνηχουμένων, | Χριcτὸς, ὃν πάλαι
προηγγείλαμεν ὄντα θεόν.

Ἡ ἀναλλοίωτος φύcις
τῇ βροτείᾳ μιχθεῖcα,
τῆς ἐμφεροῦς ἀΰλου θεότητος φῶς
παραγυμνοῦcα, | τοῖς ἀποcτόλοις
ἀπορρήτως ἐξέλαμψε.

Cὲ τὸ ἀΐδιον φέγγος | ἐν πατρῴᾳ τῇ δόξῃ
οἱ μαθηταὶ ὡς εἶδον ἐκλάμψαν, Χριcτὲ,
cοὶ ἀνεβόων· | ἐν τῷ φωτί cου
τὰς ὁδοὺς ἡμῶν εὔθυνον.

ᾠδὴ ς'.

Ἐν τῷ θλίβεcθαί με | ἐβόηcα πρὸς κύριον
καὶ ἐπήκουcέ μου
ὁ θεὸς τῆς cωτηρίας μου.

Λαμπηδόνος πλέον
ἡλίου φῶς τρανότερον
ἐν Θαβὼρ ἐκλάμψας
ὁ Χριcτὸς ἡμᾶς ἐφώτιcεν.

Ἀνελθὼν ἐν ὄρει
Θαβὼρ μετεμορφώθης, Χριcτὲ,
καὶ τὴν πλάνην πᾶcαν
ἀμαυρώcας φῶς ἐξέλαμψας.

Cὲ θεὸν ἐπέγνων | οἱ ἔνδοξοι ἀπόcτολοι
ἐν Θαβὼρ, Χριcτὲ, δὲ
ἐκπλαγέντες γόνυ ἔκλιναν.

ᾠδὴ ζ'.

Ἀβραμιαῖοι ποτὲ | ἐν Βαβυλῶνι παῖδες
καμίνου φλόγα κατεπάτηcαν
καὶ ὑμνοῦντες ἔψαλλον·
ὁ τῶν πατέρων
ἡμῶν θεὸς εὐλογητὸς εἶ.

Περιχυθέντες φωτὶ
τῆς ἀπροcίτου δόξης
Θαβὼρ ἐν ὄρει οἱ ἀπόcτολοι,
Χριcτὲ, ἀνεβόηcαν· | ὁ τῶν πατέρων
ἡμῶν θεὸς εὐλογητὸς εἶ.

Λαίλαπι θείας ἠχῆς
καὶ δροcοβόλῳ νεφέλῃ,
Χριcτὲ, καὶ αἴγλῃ cου ἡδόμενοι
οἱ ἀπόcτολοι ἔψαλλον·
ὁ τῶν πατέρων
ἡμῶν θεὸς εὐλογητὸς εἶ.

Ἐν ἀπορρήτῳ φωτὶ
ὡς cὲ κατεῖδε Πέτρος
Θαβὼρ ἐν ὄρει ἐξαcτράψαντα,
Χριcτὲ, προcεκύνηcεν· | ὁ τῶν πατέρων
ἡμῶν θεὸς εὐλογητὸς εἶ.

Τῷ ἀρχηγῷ τῆς ζωῆς
Χριcτῷ cυνόντες παῖδες
οἱ Ζεβεδαίου, ὡς ἀπέπεμψε
μορφῆς φῶς, ἐβρόντηcαν·
ὁ τῶν πατέρων
ἡμῶν θεὸς εὐλογητὸς εἶ.

---

63 ὑμνεῖ A — 66 προcενωπίου A m. p. πρὸς ἐνώπιον A m. sec. — 68 εἶκε Barth. — 73 ὄντα θεόν om. A sed interpretatur scholiasta — 94 παῖδες] ναίοι i. e. νέοι A — 96 ἐν ὕμνοις κραυγάζοντες Hirm. — 97 ἡμῶν et in hac et in reliquis strophis omittunt Barth. Hirm. — 102 δροcοβόλων A — 104 nescio an ἀπόcτολοι omisso articulo οἱ scribere praestet — 106 ἀπροcίτῳ Barth. — 108 ἀνεβόηcαν Barth. — 110 τῆς γῆς Barth. — 112 ἀπρόcιτον φῶς A

ᾠδὴ η΄.

Οἱ ἐν Βαβυλῶνι παῖδες,
τῷ θείῳ πυρπολούμενοι ζήλῳ,
τυράνου καὶ φλογὸς ἀπειλὴν
ἀνδρείως κατεπάτησαν·
καὶ μέσον πυρὸς ἐμβληθέντες
δροσιζόμενοι ἔψαλλον·
εὐλογεῖτε πάντα τὰ ἔργα
κυρίου τὸν κύριον.

Νεύματι τὸ πᾶν ὁ φέρων [βὼρ,
ποσὶν ἀχράντοις ὄρους ἐπέβη Θα-
ἐν ᾧ ἡλίου μᾶλλον αὐγῆς
ἐξαστράψας τὸ πρόσωπον
τοὺς νόμου προκρίτους
καὶ τῆς χάριτος ἔδειξε μέλποντας·
εὐλογεῖτε πάντα τὰ ἔργα
κυρίου τὸν κύριον.

Ἐν τῇ ἀπροσίτῳ δόξῃ [βὼρ
κατ᾽ ὄρος ἐκφανθὲν ἀπορρήτως Θα-
τὸ ἄσχετον καὶ ἄδυτον φῶς,
τοῦ πατρὸς τὸ ἀπαύγασμα,
τὴν κτίσιν φαιδρῦναν,
τοὺς ἀνθρώπους ἐθέωσε μέλποντας·
εὐλογεῖτε πάντα τὰ ἔργα
κυρίου τὸν κύριον.

Ἱεροπρεπῶς ἑστῶτες
Μωσῆς τε καὶ Ἠλίας ἐν ὄρει Θαβώρ,
τῆς θείας χαρακτῆρα τρανῶς
ὑποστάσεως βλέποντες,
Χριστὸν ἐν πατρῴᾳ
ἐξαστράψαντα δόξῃ ἀνέμελπον·
εὐλογεῖτε πάντα τὰ ἔργα
κυρίου τὸν κύριον.

Διὰ τῆς ἐν γνόφῳ θείας
ὀμφῆς τὸ πρόσωπον [ποτὲ] ἐδοξάσθη
Μωσῆς·
Χριστὸς δὲ ὡς ἱμάτιον φῶς
καὶ δόξαν ἀναβάλλεται·
φωτὸς αὐτουργὸς γὰρ [τας·
πεφυκὼς καταυγάζει τοὺς μέλπον-
εὐλογεῖτε πάντα τὰ ἔργα
κυρίου τὸν κύριον.

Ἐκ φωτογενοῦς νεφέλης
Χριστὸν οἱ μαθηταὶ ἀμπεχόμενον
ὁρῶντες ἐν Θαβὼρ καὶ πρηνεῖς
ἐπὶ γῆν κατανεύσαντες,
τὸν νοῦν ἐλλαμφθέντες,
σὺν πατρὶ τοῦτον ὕμνουν καὶ πνεύ-
ματι·
εὐλογεῖτε πάντα τὰ ἔργα
κυρίου τὸν κύριον.

ᾠδὴ θ΄.

Ὁ τόκος σου ἄφθορος ἐδείχθη·
θεὸς ἐκ λαγόνων σου προῆλθε
σαρκοφόρος, ὃς ὤφθη
ἐπὶ γῆς καὶ τοῖς ἀνθρώποις συν-
ανεστράφη·
σέ, θεοτόκε, | διὸ πάντες μεγαλύνομεν.

Σύντρομοι καινῇ φωτοχυσίᾳ
ἀθρόως οἱ μαθηταὶ ἐλλαμφθέντες
εἰς ἀλλήλους ἑώρων,
θαμβηθέντες δὲ καὶ πρὸς γῆν κα-
τακλιθέντες
σοὶ τῷ δεσπότῃ
τῶν ἁπάντων προσεκύνησαν.

Ἦχος ἐκ νεφέλης ἀνεπέμπετο
θεόκτυπος, βεβαιῶν τὸ θαῦμα·
ὁ πατὴρ γὰρ τῶν φώτων,
οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός,
τοῖς ἀποστόλοις | ἐπεβόα, οὗ ἀκούετε.

Καινὰ κατιδόντες καὶ παράδοξα,

---

125 τοὺς om. Barth. — τῆς om. A — 143 ποτὲ uncinis inclusimus. — 152 γῆς Barth. — 154 τοῦτο A — 158 ὡς A — 162 ἀθρόως οἱ Barth. ἀθρόον οἱ A, unde coniicias quod numeri commendant ἀθρόοι — 163 πρὸς Barth. — 164 καὶ πρηνεῖς εἰς γῆν καταπεσόντες Barth. — 169 ἐστιν υἱὸς ὁ ἀγαπητός μου Barth. — 170 ἀνεβόα Barth.

φωνὴν πατρικὴν ἐνωτιcθέντες
ἐν Θαβὼρ οἱ τοῦ λόγου
ὑπηρέται, ἐκμαγεῖον τοῦ ἀρχετύπου
οὗτος ὑπάρχει,
ἀνεβόων, ὁ cωτὴρ ἡμῶν.

Εἰκὼν ἀπαράλλακτε τοῦ ὄντος,
ἀκίνητε cφραγὶc, ἀναλλοίωτε
υἱὲ, λόγε, cοφία
καὶ βραχίων, δεξιὰ ὑψίcτου, cθένος,
cὲ ἀνυμνοῦμεν
cὺν πατρί τε καὶ τῷ πνεύματι.

VI

Κανὼν εἰc τὴν Κοίμηcιν τῆc θεοτόκου (Αὐγ. 15).

Ἡ ἀκροcτιχίc:

«Πανηγυριζέτωcαν οἱ θεόφρονεc.»

ἦχοc α΄.

ᾠδὴ α΄.

Πεποικιλμένη τῇ θείᾳ δόξῃ
ἡ ἱερὰ καὶ εὐκλεὴc, | παρθένε, μνήμη cου
πάνταc cυνηγάγετο | πρὸc εὐφροcύνην τοὺc πιcτοὺc,
ἐξαρχούcηc Μαριὰμ | μετὰ χορῶν καὶ τυμπάνων
τῷ cῷ ᾄδονταc μονογενεῖ,
ἐνδόξωc ὅτι δεδόξαcται·

Ἀμφεπονεῖτο ἀΰλων τάξιc
οὐρανοβάμων ἐν Cιὼν | τὸ θεῖον cῶμά cου·
ἄφνω δὲ cυρρεύcαcα | τῶν ἀποcτόλων ἡ πληθὺc
ἐκ περάτων, θεοτόκε, | cοὶ παρέcτηcαν ἄρδην,
μεθ᾽ ὧν, ἄχραντε, cοῦ τὴν cεπτὴν,
παρθένε, μνήμην δοξάζομεν.

Νικητικὰ μὲν βραβεῖα ἦρω
κατὰ τῆc φύcεωc, ἁγνὴ, | θεὸν κυήcαcα·
ὅμωc μιμουμένη δὲ τὸν ποιητήν cου καὶ υἱὸν
ὑπὲρ φύcιν ὑποκύπτειc | τοῖc τῆc φύcεωc νόμοιc·
διὸ θνήcκουcα cὺν τῷ υἱῷ
ἐγείρῃ διαιωνίζουcα.

ᾠδὴ γ΄.

Ἡ δημιουργικὴ | καὶ cυνεκτικὴ
τῶν ἁπάντων
θεοῦ cοφία καὶ δύναμιc
ἀκλινῆ, ἀκράδαντον
τὴν ἐκκληcίαν cτήριξον, Χριcτέ·
μόνοc γὰρ εἶ ἅγιοc
ὁ ἐν ἁγίοιc ἀναπαυόμενοc.

---

172 φωνῆc πατρικῆc Barth. — 175 ἀνεβόα A — 177 ἀναλλοίωτε contra numeros peccare videtur, sed non habeo quod eius in locum substituam — 179 βραχίον scholiasta interpretatur.

Cod. A — v. 10 παρέcτηκεν ex παρέcτηcαν corr. m. sec. A — 14 θεὸν in rasura A θεὸν λόγον interpretatur scholiasta. — 18 δικαιωνίζουcα A — 19 Paroem. Sal. VIII. — 22 cτήριcον A

Γυναῖκά cε θνητὴν, | ἀλλ᾽ ὑπερφυῶc
καὶ μητέρα
θεοῦ εἰδότεc, πανάμωμε,
οἱ κλεινοὶ ἀπόcτολοι
πεφρικυίαιc ἥπτοντο χερcὶ,
δόξῃ ἀπαcτράπτουcαν
ὡc θεοδόχον cκῆνοc θεώμενοι.

Ὑπέφθαcε χερcὶ | ταῖc ὑβριcτικαῖc
τοῦ αὐθάδουc
τομὴν ἡ δίκη ἐπάξαcα,
τοῦ θεοῦ φυλάξαντοc
τὸ cέβαc τῇ ἐμψύχῳ κιβωτῷ
δόξῃ τῆc θεότητοc,
ἐν ᾗ ὁ λόγοc cὰρξ ἐχρημάτιcεν.

ᾠδὴ δ΄.

Ῥήcειc προφητῶν καὶ αἰνίγματα
τὴν cάρκωcιν ὑπέφηναν
τὴν ἐκ παρθένου cου, Χριcτὲ,
φέγγοc ἀcτραπῆc cου
εἰc φῶc ἐθνῶν ἐξελεύcεcθαι·
καὶ φωνεῖ cοι ἄβυccοc | ἐν ἀγαλλιάcει·
τῇ δυνάμει cου δόξα, φιλάνθρωπε.

Ἴδετε, λαοὶ, καὶ θαυμάcατε·
τὸ ὄροc γὰρ τὸ ἅγιον
καὶ ἐμφανέcτατον θεοῦ [αἴρεται,
τῶν ἐπουρανίων | μονῶν ἐφύπερθεν
οὐρανὸc ἐπίγειοc | ἐν ἐπουρανίῳ
καὶ ἀφθάρτῳ χθονὶ οἰκιζόμενοc.

Ζωῆc ἀϊδίου καὶ κρείττονοc
ὁ θάνατόc cου γέγονε
διαβατήριον, ἁγνὴ, [ἄρρευcτον
ἐκ τῆc ἐπικήρου | πρὸc θείαν ὄντωc καὶ
μεθιcτῶν cε, ἄχραντε, | ἐν ἀγαλλιάcει
τὸν υἱὸν καθορᾷν cου καὶ κύριον.

Ἐπήρθηcαν πύλαι οὐράνιαι,
καὶ ἄγγελοι ἀνύμνηcαν,
καὶ ὑπεδέξατο Χριcτὸc
τὸ τῆc παρθενίαc
αὐτοῦ μητρῷον κειμήλιον·
Χερουβὶμ ὑπεῖξέ cοι | ἐν ἀγαλλιάcει·
Cεραφὶμ δὲ δοξάζει cε χαίροντα.

ᾠδὴ ε΄.

Τὸ θεῖον καὶ ἄρρητον κάλλοc
τῶν ἀρετῶν cου, Χριcτὲ, διηγήcομαι.
ἐξ ἀϊδίου γὰρ δόξηc | cυναΐδιον
ἐνυπόcτατον λάμψαc ἀπαύγαcμα
παρθενικῆc ἀπὸ γαcτρὸc
τοῖc ἐν cκότει καὶ cκιᾷ
cωματωθεὶc ἀνέτειλαc ἥλιοc.

Ὡc ἐπὶ νεφέληc, παρθένε,
τῶν ἀποcτόλων ὁ δῆμοc ὀχούμενοc
πρὸc τὴν Cιὼν ἐκ περάτων
λειτουργῆcαί cοι
τῇ νεφέλῃ τῇ κούφῃ ἠθροίζετο,
ἀφ᾽ ἧc ὁ ὕψιcτοc θεὸc
τοῖc ἐν cκότει καὶ cκιᾷ
δικαιοcύνηc ἔλαμψεν ἥλιοc.

Cαλπίγγων θεόληπτοι γλῶccαι
τῶν θεολόγων ἀνδρῶν εὐηχέcτερον
τῇ θεοτόκῳ ἐβόων | τὸν ἐξόδιον
ἐνηχούμεναι ὕμνον τῷ πνεύματι·
χαίροιc, ἀκήρατε πηγὴ
τοῦ θεοῦ ζωαρχικῆc
καὶ cωτηρίου πάντων cαρκώcεωc.

ᾠδὴ ϛ΄.

Ἄλιον ποντογενὲc
κητῷον ἐντόcθιον πῦρ
τῆc τριημέρου ταφῆc cου
τὶ προεικόνιcμα,

28 colon πεφρικυίαιc ἥπτοντο χερcὶ una syllaba brevius est quam quae ei respondent in prima et tertia stropha, quam inaequalitatem modulatione protracta potius quam particulis τὴν et τὸ resectis sanandam iudico — 37 αἰνίγματι A — 42 δόξα τῇ δυνάμει cου, κύριε A — 46 βουνῶν Barth. — 52 εὐάρεcτον A — 58 παρθένου A — 60 cὲ δοξάζουcιν A — 64 καὶ ἐνυπόcτατον Barth. — λάμψαν A — 78 ἐνηχούμενοι A m. pr. — 80 τῆc τοῦ θεοῦ Barth., fort.: τῆc θεοῦ — 83 τὶ προεικόνιcμα Barth.: προεικόνιcμα τὶ A invitis carminis modis, τί προεικόνιcμα ed. Veneta

οὗ Ἰωνᾶς | ὑποφήτης ἀναδέδεικται·
cεcωcμένος γὰρ ὡς καὶ προὐπέπωτο
ἀcινὴς ἐβόα·
θύcω cοι μετὰ φωνῆς | αἰνέcεως, κύριε.

Νέμει cοι τὰ ὑπὲρ φύcιν
ἄναξ ὁ πάντων θεός·
ἐν γὰρ τῷ τόκῳ παρθένον
ὥcπερ ἐφύλαξεν,
οὕτως ἐν τάφῳ τὸ cῶμα διετήρηcεν
ἀδιάφθορον καὶ cυνεδόξαcε
θείᾳ μεταcτάcει
γέραcοι ὥcπερ υἱὸς | μητρὶ χαριζόμενος.

Ὄντως cε ὡς φαεινὴν
λυχνίαν ἀΰλου πυρός,
θυμιατήριον θείου | χρύcεον ἄνθρακος
ἐν τοῖς ἁγίων ἁγίοις κατεcκήνωcε,
cτάμνον ῥάβδον τε πλάκα θεόγραφον,
κιβωτὸν ἁγίαν,
τράπεζαν ἄρτου ζωῆς,
παρθένε, ὁ τόκος cου.

ᾠδὴ ζ΄.

Ἰταμῷ θυμῷ τε καὶ πυρὶ
θεῖος ἔρως ἀντιταττόμενος
τὸ μὲν πῦρ ἐδρόcιζε,
τῷ θυμῷ δὲ ἐγέλα
θεοπνεύcτῳ λογικῇ,
τῇ τῶν ὁcίων | τριφθόγγῳ λύρᾳ
ἀντιφθεγγόμενος
μουcικοῖς ὀργάνοις | ἐν μέcῳ φλογός·
ὁ δεδοξαcμένος
τῶν πατέρων καὶ ἡμῶν
θεὸς εὐλογητὸς εἶ.

Θεοτεύκτους πλάκας Μωϋcῆς
γεγραμμένας τῷ θείῳ πνεύματι
ἐν θυμῷ cυνέτριψεν,
ἀλλ᾽ ὁ τούτου δεcπότης
τὴν τεκοῦcαν ἀcινῆ
τοῖς οὐρανίοις | φυλάξας δόμοις
νῦν εἰcῳκίcατο·
cὺν αὐτῇ cκιρτῶντες | βοῶμεν Χριcτῷ·
ὁ δεδοξαcμένος
τῶν πατέρων καὶ ἡμῶν
θεὸς εὐλογητὸς εἶ.

Ἐν κυμβάλοις, χείλεcιν ἁγνοῖς,
μουcικῇ τε καρδίας φόρμιγγι,
ἐν εὐήχῳ cάλπιγγι | ὑψηλῆς διανοίας
τῆς παρθένου καὶ ἁγνῆς
ἐν τῇ εὐcήμῳ | κλητῇ ἡμέρᾳ
τῆς μεταcτάcεως
πρακτικαῖς κροτοῦντες
βοῶμεν χερcίν·
ὁ δεδοξαcμένος
τῶν πατέρων καὶ ἡμῶν
θεὸς εὐλογητὸς εἶ.

Ὁ θεόφρων ἤθροιcται λαός·
τῆς γὰρ δόξης θεοῦ τὸ cκήνωμα
ἐκ Σιὼν μεθίcταται
πρὸς οὐράνιον δόμον,
ἔνθα ἦχος καθαρὸς
ἑορταζόντων | φωνῇ ἀφράcτου
ἀγαλλιάcεως
καὶ ἐν εὐφροcύνῃ | βοώντων Χριcτῷ·
ὁ δεδοξαcμένος
τῶν πατέρων καὶ ἡμῶν
θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ η΄.

Φλόγα δροcίζουcαν ὁcίους,
δυccεβεῖς δὲ καταφλέγουcαν
ἄγγελος θεοῦ ὁ πανcθενὴς ἔδειξε παιcί·

89 τόκῳ A cum schol.: τίκτειν Barth. — 94 Exod. XXXVIII — 95 θυμιατήριον χρυcέου omisso θείου A — 99 ἄρτου Barth.: λόγου A cum schol. Ven. — 108 Deuteronom. cX 17. — 110 δέcποτα A — 113 αὐτῆς A — 116 χειλέων ἁγνῶν erat cum coniicerem; sed poetam parum expedita verborum constructione uti quam numerorum concinnitatem laedere maluisse iam cognovi — 128 φωνῇ de coniectura scripsimus: φωνῆς A, φωνή Barth. — 129 ἐν om. A

Ζωαρχικὴν δὲ πηγὴν εἰργάσατο | τὴν θεοτόκον,
φθορὰν θανάτου | καὶ ζωὴν βλυστάνουσαν τοῖς μέλπουσι·
τὸν δημιουργὸν μόνον ὑμνοῦμεν | οἱ λελυτρωμένοι
καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ῥήμασιν εἴχοντο τῆς θείας
κιβωτοῦ τοῦ ἁγιάσματος
πᾶσα ἡ πληθὺς τῶν θεολόγων ἐν τῇ Σιών·
ποῦ νῦν ἀπαίρεις, σκηνή, κραυγάζοντες, | θεοῦ τοῦ ζῶντος;
μὴ διαλίπῃς | ἐποπτεύουσα τοὺς πίστει μέλποντας·
τὸν δημιουργὸν μόνον ὑμνοῦμεν | οἱ λελυτρωμένοι
καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὅπως ὑψώσασα τὰς χεῖρας
ἐκδημοῦσα ἡ πανάμωμος,
χεῖρας τὰς θεὸν ἠγκαλισμένας σωματικῶς,
ἐν παρρησίᾳ ὡς μήτηρ ἔφησε | πρὸς τὸν δεσπότην·
οὓς μοι ἐκτήσω, | εἰς αἰῶνας φύλαττε βοῶντάς σοι·
τὸν δημιουργὸν μόνον ὑμνοῦμεν | οἱ λελυτρωμένοι
καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'.

Νενίκηνται τῆς φύσεως οἱ ὅροι
ἐν σοί, παρθένε ἄχραντε·
παρθενεύει γὰρ τόκος
καὶ ζωὴν προμνηστεύεται θάνατος·
ἡ μετὰ τόκον παρθένος
καὶ μετὰ θάνατον ζῶσα
σώζοις ἀεί,
θεοτόκε, τὴν κληρονομίαν σου.

Ἐξίσταντο ἀγγέλων αἱ δυνάμεις,
ἐν τῇ Σιὼν σκοπούμεναι
τὸν οἰκεῖον δεσπότην
γυναικείαν ψυχὴν χειριζόμενον·
τῇ γὰρ ἀχράντως τεκούσῃ
υἱοπρεπῶς προσεφώνει·
δεῦρο, σεμνή,
τῷ υἱῷ καὶ θεῷ συνδοξάσθητι.

Συνέστειλε χορὸς τῶν ἀποστόλων
τὸ θεοδόχον σῶμά σου,
μετὰ δέους ὁρῶντες
καὶ φωνῇ λιγυρᾷ προσφθεγγόμενοι·
εἰς οὐρανίους θαλάμους
πρὸς τὸν υἱὸν ἐκφοιτῶσα
σώζοις ἀεί,
θεοτόκε, τὴν κληρονομίαν σου.

VII

Κανὼν εἰς τὴν κυριακὴν τῶν Βαΐων (Τριῳδ. σελ. 337).
Ἡ ἀκροστιχίς· «Ὡσαννὰ Χριστὸς εὐλογημένος θεός.»
ἦχος δ'. ᾠδὴ α'.

Ὤφθησαν | αἱ πηγαὶ τῆς ἀβύσσου
νοτίδος ἄμοιροι,
καὶ ἀνεκαλύφθη θαλάσσης
κυμαινούσης τὰ θεμέλια·

135 ἠργάσατο A — 143 διαλίποις A — 146 ὥπως A et fuisse, qui acrostichidis angustiis coactum poetam ὅπως pro ὣ πῶς dixisse arbitrarentur, scholiasta memoriae prodidit — 149 τεχθέντα Barth. — 158 σώζεις A — 170 σώζεις A

τῇ καταιγίδι νεύματι
ταύτης γὰρ ἐπετίμηcαc,
περιούcιον λαὸν δὲ ἔcωcαc,
ᾄδοντα ἐπινίκιον ὕμνον cοι, κύριε.

Cτόματοc | ἐκ νηπίων ἀκάκων
καὶ θηλαζόντων αἶνον
τῶν cῶν οἰκετῶν κατηρτίcω,
καταλῦcαι τὸν ἀντίπαλον
καὶ ἐκδικῆcαι πάθει cταυροῦ
τὴν πτῶcιν τοῦ πάλαι Ἀδάμ,
διὰ ξύλου ἀναcτῆcαι τοῦτον δὲ
ᾄδοντα ἐπινίκιον ὕμνον cοι, κύριε.

Αἴνεcιν | ἐκκληcία ὁcίων
τῷ ἐνοικοῦντι Cιὼν
cοί, Χριcτέ, προcφέρει· ἐν cοὶ δὲ
Ἰcραήλ, τῷ ποιητῇ αὐτοῦ,
χαίρει, καὶ ὄρη ἔθνη ἀντί-
τυπα λιθοκάρδια
ἐκ προcώπου cου ἠγαλλιάcαντο,
ᾄδοντα ἐπινίκιον ὕμνον cοι, κύριε.

ᾠδὴ γ΄.

Νάουcαν ἀκρότομον | προcτάγματι cῷ
cτερεὰν ἐθήλαcε πέτραν
Ἰcραηλίτηc λαόc·
ἡ δὲ πέτρα cύ, Χριcτέ,
ὑπάρχειc καὶ ζωή,
ἐν ᾧ ἐcτερεώθη | ἡ ἐκκληcία κράζουcα·
Ὡcαννά, εὐλογημένοc εἶ ὁ ἐρχόμενοc.

Νεκρὸν τετραήμερον | προcτάγματι cῷ
ἐκ νεκάδων cύντρομοc Ἅιδηc
ἀφῆκε Λάζαρον·
ἡ ἀνάcταcιc, Χριcτέ, | cὺ γὰρ καὶ ζωή,
ἐν ᾧ ἐcτερεώθη | ἡ ἐκκληcία κράζουcα·
Ὡcαννά, εὐλογημένοc εἶ ὁ ἐρχόμενοc.

Ἄιcατε λαοὶ θεο|πρεπῶc ἐν Cιὼν
καὶ εὐχὴν ἀπόδοτε Χριcτῷ
ἐν Ἱερουcαλήμ·
αὐτὸc ἔρχεται ἐν δόξῃ κύριοc,
ἐν ᾧ ἐcτερεώθη | ἡ ἐκκληcία κράζουcα·
Ὡcαννὰ εὐλογημένοc εἶ ὁ ἐρχόμενοc.

ᾠδὴ δ΄.

Χριcτὸc ὁ ἐρχόμενοc
ἐμφανῶc θεὸc ἡμῶν
ἥξει καὶ οὐ χρονιεῖ
ἐξ ὄρουc καταcκίου δαcέοc κόρηc
τικτούcηc ἀπειράνδρωc,
προφήτηc πάλαι φηcί·
διὸ πάντεc βοῶμεν·
δόξα τῇ δυνάμει cου, κύριε.

Ῥηξάτω εὐφροcύνην
κραταιὰν ἐπ᾽ ἔλεον
ὄρη καὶ πάντεc βουνοί,
καὶ ξύλα τοῦ δρυμοῦ ἐπικροτηcάτω·
Χριcτὸν αἰνεῖτε ἔθνη,
καὶ τοῦτον πάντεc λαοὶ
ἐπαινοῦντεc βοᾶτε·
δόξα τῇ δυνάμει cου, κύριε.

Ἰcχὺν ὁ βαcιλεύων | τῶν αἰώνων κύριοc
ἐνδεδυμένοc ἥξει·
τῆc τούτου ὡραιότητόc τε καὶ δόξηc
ἀcύγκριτοc ὑπάρχει
εὐπρέπεια ἐν Cιών·
διὸ πάντεc βοῶμεν·
δόξα τῇ δυνάμει cου, κύριε.

Cπιθαμῇ ὁ μετρήcαc
οὐρανόν, δρακὶ δὲ γῆν
κύριοc πάρεcτι·
Cιὼν γὰρ ἐξελέξατο, ἐν αὐτῇ δὲ

Codd. AV — v. 9 Psalm. 8 — 11 καταρτίcω A — 21 ἀντίτυπα, ἔθνη coniicio, quod et sententia et membrorum divisione commendari videtur. — 30 Ioann. XI. — 32 fort. γὰρ εἶ καί — 37 Matth. XXI. Ioann. XII — κύριοc V: μετὰ κυρείαc A Barth., locus nondum sanatus esse videtur — 40 Prec. Abbac. 4. — 43 ἀπειράνδρωc AV: ἀπειράνδρου Barth. — 50 αἰνεῖτε schol. cod. A, V Barth.: ὑμνεῖτε A — 51 τούτῳ Barth. — 54 κύριε A — 58 εὐπρέπειαν A, cf. Psalm. XLIX 3. — 59 βοᾶτε A βοῶμεν V Barth., quod idem in prima stropha legimus

οἰκεῖν καὶ βαcιλεύειν
ᾑρετίcατο λαῶν
τῶν ἐν πίcτει βοώντων·
δόξα τῇ δυνάμει cου, κύριε.

ᾠδὴ ε΄.

Τῆc Cιὼν ἐπ' ὄρουc ἀνάβηθι
ὁ εὐαγγελιζόμενοc
καὶ τῆc Ἱερουcαλήμ,
ὁ κηρύccων ἐν ἰcχύϊ ὕψωcον φωνήν·
δεδοξαcμένα ἐλαλήθη
περὶ coῦ, ἡ πόλιc τοῦ θεοῦ·
εἰρήνη ἐπὶ τὸν Ἰcραὴλ
καὶ cωτήριον ἔθνεcιν.

Ὁ ἐν τοῖc ὑψίcτοιc καθήμενοc
ἐπὶ τῶν Χερουβὶμ θεὸc
καὶ ἐφορῶν ταπεινὰ
ἰδοὺ ἔρχεται ἐν δόξῃ μετὰ κυρείαc,
καὶ πληρωθήcεται τὰ πάντα
θεϊκῆc αἰνέcεωc αὐτοῦ·
εἰρήνη ἐπὶ τὸν Ἰcραὴλ
καὶ cωτήριον ἔθνεcιν.

Cιὼν θεοῦ ὄροc τὸ ἅγιον
καὶ Ἱερουcαλὴμ κύκλῳ
τοὺc ὀφθαλμοὺc cου ἆρον
καὶ ἴδε cυνηγμένα τέκνα cου ἐν coί·
ἰδοὺ γὰρ ἥκαcι μακρόθεν
προcκυνῆcαι τῷ βαcιλεῖ cου·
εἰρήνη ἐπὶ τὸν Ἰcραὴλ
καὶ cωτήριον ἔθνεcιν.

ᾠδὴ ϛ΄.

Ἐβόηcαν | ἐν εὐφροcύνῃ δικαίων τὰ πνεύματα·
νῦν τῷ κόcμῳ | διαθήκη καινὴ διατίθεται
καὶ ῥαντίcματι | καινουργεῖται λαὸc
θείου αἵματοc.

Ὑπόδεξαι, | Ἰcραήλ, τοῦ θεοῦ τὸ βαcίλειον
καὶ ὁ βαίνων | ἐν τῷ cκότει φῶc θεαcάcθω μέγα,
καὶ ῥαντίcματι | καινουργείcθω λαὸc
θείου αἵματοc.

Λελυμένουc | coὺc δεcμίουc Cιὼν ἐξαπόcτειλον,
καὶ ἐκ λάκκου | ἀγνωcίαc ἀνύδρου ἐξάγαγε,
καὶ ῥαντίcματι | καινουργείcθω λαὸc
θείου αἵματοc.

ᾠδὴ ζ΄.

Ὁ διαcώcαc ἐν πυρὶ
τοὺc Ἀβραμιαίουc cου παῖδαc
καὶ τοὺc Χαλδαίουc ἀνελών,
οἷc ἀδίκωc δικαίουc ἐνήδρευcαν,
ὑπερύμνητε κύριε,
ὁ θεὸc ὁ τῶν πατέρων, εὐλογητὸc εἶ.

Γονυπετοῦντεc οἱ λαοὶ
καὶ cὺν μαθηταῖc γεγηθότεc
μετὰ βαΐων, Ὡcαννὰ
τῷ υἱῷ Δαυῒδ, ἀνεκραύγαζον·
ὑπερύμνητε κύριε,
ὁ θεὸc ὁ τῶν πατέρων, εὐλογητὸc εἶ.

Ἡ ἀπειρόκακοc πληθὺc,
ἔτι νηπιάζουcα φύcιc
θεοπρεπῶc cε, βαcιλεῦ
Ἰcραὴλ καὶ ἀγγέλων, ἀνύμνηcεν·
ὑπερύμνητε κύριε,
ὁ θεὸc ὁ τῶν πατέρων, εὐλογητὸc εἶ.

Μετὰ βαΐων cε, Χριcτέ,
κλάδοιc ἐπεκρότει τὰ πλήθη,
εὐλογημένοc ὁ ἐλθὼν

---

68 Τῆc Cιὼν A cum schol.: τὴν Cιὼν V Barth. — 70 τὴν A Barth. — 72 Psalm. LXXXVI 3 — 78 ἰδοὺ A: αὐτὸc V Barth. — 85 τὰ τέκνα V — 89 ἐν interpolatores addidisse videntur — 91 καινουργείcθω Barth. — 92 θείῳ αἵματι V — 94 τὸ φῶc V — 97 Cιὼν om. A — 110 ἀνεκραύγαζον V: ἐκραύγαζον A ἔκραζον Barth.

βαϲιλεὺϲ τῶν αἰώνων, ἐβόα τε·
ὑπερύμνητε κύριε,
ὁ θεὸϲ ὁ τῶν πατέρων, εὐλογητὸϲ εἶ.

ᾠδὴ η′.

Εὐφράνθητι Ἱερουϲαλήμ·
πανηγυρίϲατε | οἱ ἀγαπῶντεϲ Ϲιών·
ὁ βαϲιλεύων γὰρ εἰϲ τοὺϲ αἰῶναϲ
κύριοϲ τῶν δυνάμεων ἦλθεν·
εὐλαβείϲθω πᾶϲα ἡ γῆ ἐκ προϲώπου αὐτοῦ
καὶ βοάτω·
εὐλογεῖτε τὰ ἔργα τὸν κύριον.

Νέον πῶλον ἐπιβεβηκὼϲ
ὁ βαϲιλεύων ϲου,
Ϲιών, ἐπέϲτη Χριϲτόϲ·
τὴν γὰρ ἀλόγιϲτον εἰδώλων πλάνην
λῦϲαι καὶ τὴν ἀκάθεκτον ὁρμὴν
ἀναϲτεῖλαι πάντων ἐθνῶν παραγέγονεν
εἰϲ τὸ μέλπειν·
εὐλογεῖτε τὰ ἔργα τὸν κύριον.

Ὁ θεόϲ ϲου, χαῖρε Ϲιὼν ϲφόδρα,
ἐβαϲίλευϲεν
εἰϲ τοὺϲ αἰῶναϲ Χριϲτόϲ·
οὗτοϲ ὡϲ γέγραπται πραὺϲ καὶ ϲώζων,
δίκαιοϲ λυτρωτὴϲ ἡμῶν ἦλθεν,
ἐπὶ πώλου ἵππειον θράϲοϲ ὀλέϲαι ἐχθρῶν
μὴ βοώντων·
εὐλογεῖτε τὰ ἔργα τὸν κύριον.

Ϲπανίζεται θείων περιβόλων
τὸ παράνομον | ϲυνέδριον ἀπειθῶν,
τὸν προϲευχῆϲ θεοῦ ἐπείπερ οἶκον
ϲπήλαιον ἀπειργάϲατο ληϲτῶν,
ἐκ καρδίαϲ τὸν λυτρωτὴν ἀπωϲάμενον,
ᾧ βοῶμεν·
εὐλογεῖτε τὰ ἔργα τὸν κύριον.

ᾠδὴ θ′.

Θεὸϲ κύριοϲ | καὶ ἐπέφανεν ἡμῖν·
ϲυϲτήϲαϲθε ἑορτὴν | καὶ ἀγαλλόμενοι
δεῦτε μεγαλύνωμεν Χριϲτὸν
μετὰ βαΐων καὶ κλάδων,
ὕμνοιϲ κραυγάζοντεϲ·
εὐλογημένοϲ ὁ ἐρχόμενοϲ
ἐν ὀνόματι κυρίου, ϲωτῆροϲ ἡμῶν.

Ἔθνη, ἵνα τί ἐφρυάξατε; γραφεῖϲ
καὶ ἱερεῖϲ, ἵνα τί κενὰ | ἐμελετήϲατε;
τίϲ οὗτοϲ, εἰπόντεϲ, ᾧ παῖδεϲ
μετὰ βαΐων καὶ κλάδων
ὕμνοιϲ κραυγάζουϲιν·
εὐλογημένοϲ ὁ ἐρχόμενοϲ
ἐν ὀνόματι κυρίου, ϲωτῆροϲ ἡμῶν.

Οὗτοϲ ὁ θεόϲ, ᾧ παρόμοιοϲ οὐδείϲ,
δικαίαν πᾶϲαν ὁδὸν | ἐξευρὼν δέδωκε
τῷ ἠγαπημένῳ Ἰϲραήλ·
μετὰ δὲ ταῦτα ἀνθρώποιϲ
ϲυνανεϲτράφη ὀφθείϲ·
εὐλογημένοϲ ὁ ἐρχόμενοϲ
ἐν ὀνόματι κυρίου, ϲωτῆροϲ ἡμῶν.

Ϲκάνδαλα τρίβου | τί ἐχόμενα ὑμεῖϲ
τιθέατε ἀπειθεῖϲ; | πόδεϲ ὀξεῖϲ ἡμῖν
αἷμα διεκχέαι δεϲπότου·
ἀλλ' ἀναϲτήϲεται πάντωϲ
ϲῶϲαι τοὺϲ κράζονταϲ·
εὐλογημένοϲ ὁ ἐρχόμενοϲ
ἐν ὀνόματι κυρίου, ϲωτῆροϲ ἡμῶν.

126 πάντεϲ οἱ Hirm. — 129 ἀπὸ προϲώπου V — 131 πάντα τὰ ἔργα ὑμνεῖτε τὸν κύριον Barth. εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον Hirm. — 133 ὁ om. A — βαϲιλεὺϲ Barth. — 136 πάντων ἐχθρῶν V — 143 ἱππεύων, quod Gallandus Bibl. Patrum XIII p. 251 proposuit, refragatur carminis modis — ὀλέϲων Barth. — 160 γραφεῖϲ V schol. cod. A Barth.: γραφαῖϲ A — 164 κραυγάζοντεϲ A — 174 ἡμῖν Barth. — 175 τεθέατε A m. pr. — ὑμῶν Barth. — 177 πάνταϲ Dan.

VIII

Τριῴδιον εἰϲ τὴν δευτέραν τῆϲ μεγάληϲ ἑβδομάδοϲ (Τριῴδ. ϲελ. 344).

Ἡ ἀκροϲτιχίϲ: «Τῇ δευτέρᾳ.»

ἦχοϲ β΄.

ᾠδὴ α΄.

Τῷ τὴν ἄβατον,
κυμαινομένην θάλαϲϲαν
θείῳ αὐτοῦ προϲτάγματι | ἀναξηράναντι
καὶ πεζεῦϲαι δι᾿ αὐτῆϲ
τὸν Ἰϲραηλίτην λαὸν καθοδηγήϲαντι
κυρίῳ ᾄϲωμεν·
ἐνδόξωϲ γὰρ δεδόξαϲται.

Ἡ ἀπόρρητοϲ | λόγου θεοῦ κατάβαϲιϲ,
ὅπερ Χριϲτὸϲ αὐτόϲ ἐϲτι
θεὸϲ καὶ ἄνθρωποϲ,
τὸ θεὸϲ οὐχ ἁρπαγμὸν
εἶναι ἡγηϲάμενοϲ ἐν τῷ μορφοῦϲθαι
δοῦλον
δεικνύει τοῖϲ μαθηταῖϲ·
ἐνδόξωϲ γὰρ δεδόξαϲται.

Διακονῆϲαι | αὐτὸϲ ἐλήλυθα, οὗ τὴν
μορφὴν ὁ πλαϲτουργὸϲ
ἑκὼν περίκειμαι,
τῷ πτωχεύϲαντι Ἀδὰμ
ὁ πλουτῶν θεότητι θεῖναι ἐμήν τε
αὐτοῦ
ψυχὴν ἀντίλυτρον | ὁ ἀπαθὴϲ θεότητι.

ᾠδὴ η΄.

Ἔφριξε παίδων εὐαγῶν
τὸ ὁμόϲτολον ψυχῆϲ ἄϲπιλον ϲῶμα
καὶ εἶξε τὸ τραφὲν
ἐν ἀπείρῳ ὕλῃ ἀκάματον πῦρ·
ἀειζώου δὲ ἐκμαρανθείϲηϲ φλογὸϲ
διαιωνίζων ὕμνοϲ | ἀνεμέλπετο·
τὸν κύριον πάντα τὰ ἔργα ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰϲ πάνταϲ τοὺϲ αἰῶναϲ.

Ὑμᾶϲ μου τότε μαθητὰϲ
πάντεϲ γνώϲονται, εἰ τὰϲ ἐμὰϲ ἐν-
τολὰϲ
τηρήϲετε, φηϲὶν | ὁ Χριϲτὸϲ τοῖϲ φίλοιϲ
πρὸϲ πάθοϲ μολών.
εἰρηνεύετε ἐν ἑαυτοῖϲ καὶ πᾶϲι,
καὶ ταπεινὰ φρονοῦντεϲ | ἀνυψώθητε,
καὶ κύριον γινώϲκοντέϲ με ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰϲ πάνταϲ τοὺϲ αἰῶναϲ.

Τάξεωϲ ἔμπαλιν ὑμῖν
ἐθνικῆϲ ἔϲτω τὸ κράτοϲ ὁμογενῶν·
οὐ κλῆροϲ γὰρ ἐμὸϲ,
τυραννὶϲ δὲ γνώμη αὐθαίρετοϲ·
ὁ οὖν πρόκριτοϲ | ἐν ὑμῖν εἶναι θέλων
τῶν ἄλλων πάντων ἔϲτω
ἐϲχατώτεροϲ.
καὶ κύριον γινώϲκοντέϲ με ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰϲ πάνταϲ τοὺϲ αἰῶναϲ.

ᾠδὴ θ΄.

Ἐμεγάλυναϲ, Χριϲτὲ,
τὴν τεκοῦϲάν ϲε θεοτόκον,
ἀφ᾿ ἧϲ ὁ πλάϲτηϲ ἡμῶν
ὁμοιοπαθὲϲ περιέθου ϲῶμα,
τὸ τῶν ἡμετέρων λυτήριον ἀγνοη-
ταύτην μακαρίζοντεϲ [μάτων·
πᾶϲαι γενεαὶ ϲὲ μεγαλύνωμεν.

Ῥύπον πάντα ἐμπαθῆ
ἀπωϲάμενοι, ἐπάξιον
τῆϲ θείαϲ βαϲιλείαϲ
γνώμην ἀναλάβετε ἔμφρονα,
τοῖϲ ϲοῖϲ ἀποϲτόλοιϲ προέφηϲ

Cod. A — v. 6 Paul. ep. ad. Philipp. II 5. — λόγου om. A — 7 αὐτὸς vulgo — 8 fort. τοῦ θεοῦ — 11 Marc. X 45. — 17 fort.: ψυχῇ. — 23 Ioann XIII 35. — 25 ὁ σωτὴρ Barth. — 34 ἔστω πάντων Barth. cf. Luc. XXII 26. — 43 μεγαλύνομεν Barth.

ἡ ὄντως ϲοφία,
ἐν ᾗ δοξαϲθήϲεϲθε
λάμποντεϲ ἡλίου τηλαυγέϲτερον.

Ἀφορῶντεϲ εἰϲ ἐμὲ,
εἶπαϲ, κύριε, τοῖϲ μαθηταῖϲ,
μὴ φρονεῖτε ὑψηλὰ,
ἀλλὰ ϲυναπάχθητε τοῖϲ ταπεινοῖϲ,
ἐμὸν ὅπερ πίνω πίεϲθε ποτήριον ὅτι,
ἐν τῇ βαϲιλείᾳ δὲ
τοῦ πατρὸϲ ἐμοὶ ϲυνδοξαϲθήϲεϲθε.

IX

Διῴδιον εἰϲ τὴν τρίτην τῆϲ μεγάλης ἑβδομάδοϲ (Τριῴδ. ϲελ. 352).

Ἡ ἀκροϲτιχίϲ· Τρίτῃ τε.

ἦχοϲ β'.

ᾠδὴ η'.

Τῷ δόγματι | τῷ τυραννικῷ
οἱ ὅϲιοι | τρεῖϲ παῖδεϲ μὴ πειϲθέντεϲ,
ἐν τῇ καμίνῳ βληθέντεϲ θεὸν
ὡμολόγουν ψάλλοντεϲ·
εὐλογεῖτε τὰ ἔργα κυρίου τὸν κύριον.

Ῥᾳθυμίαν | ἄποθεν ἡμῶν
βαλλώμεθα | καὶ φαιδραῖϲ ταῖϲ λαμπάϲι
τῷ ἀθανάτῳ νυμφίῳ Χριϲτῷ
ὕμνοιϲ ϲυναντήϲωμεν,
εὐλογεῖτε, βοῶντεϲ, τὰ ἔργα τὸν κύριον.

Ἱκανούϲθω | τὸ κοινωνικὸν
ψυχῆϲ ἡμῖν | ἔλαιον ἐν ἀγγείοιϲ,
ὅπωϲ ἐπάθλων μὴ θέντεϲ καιρὸν
ἐμπορίαϲ ψάλλωμεν·
εὐλογεῖτε τὰ ἔργα κυρίου τὸν κύριον.

Τὸ τάλαντον, | ὅϲοι πρὸϲ θεοῦ
ἐδέξαϲθε | ἰϲοδύναμον χάριν,
ἐπικουρίᾳ τοῦ δόντοϲ Χριϲτοῦ
αὐξήϲατε ψάλλοντεϲ·
εὐλογεῖτε τὰ ἔργα κυρίου τὸν κύριον.

ᾠδὴ θ'.

Ἡ τὸν ἀχώρητον θεὸν
ἐν γαϲτρὶ χωρήϲαϲα
καὶ χαρὰν τῷ κόϲμῳ κυήϲαϲα,
ϲὲ ὑμνοῦμεν, | παναγία παρθένε.

Τοῖϲ μαθηταῖϲ ὁ ἀγαθόϲ,
γρηγορεῖτε, ἔφηϲαϲ·
ᾗ γὰρ ὥρᾳ ἥξω ὁ κύριοϲ,
ἀγνοεῖτε, | ἀποδοῦναι ἑκάϲτῳ.

Ἐν τῇ δευτέρᾳ ϲου φρικτῇ
παρουϲίᾳ, δέϲποτα,
δεξιοῖϲ προβάτοιϲ με ϲύϲτηϲον,
τῶν πταιϲμάτων
παριδών μου τὰ πλήθη.

---

48 ἡ πάντων ϲοφία Barth. — 52 ἑαυτοῦ in cod. A inter τοῖϲ et μαθεταῖϲ adiectum nos eiiciendum curavimus, ut turbatis huius carminis modis aliqua ex parte consuleremus. — 55 Marc. X 39. — πίεϲθε A, πίετε Barth. fort.: ποτήριον πίεϲθε. — 56 βαϲιλεία δὲ A: βαϲιλείᾳ Barth. nos recepta cod. A lectione, quam numeri tantum non efflagitant, particulam ὅτι ad prius membrum pertinere significavimus; falsa lectione et divisione Ioannes Lampadarius, cuius hirmologio vulgo utuntur, in errores inductus est.

Cod. A — v. 8 Matth. XXV 1—13. — βοῶντεϲ om. A nescio an vere, si cum hirmologio in hac quoque stropha κυρίου τὸν κύριον scripseris — 12 ἡμῶν Barth. — 16 Matth. XXV 14—30. — θεὸν A — 25 Matth. XXV 13. — 27 ὥρα ᾖ A — ἥξει Barth. — 29 Matth. XXV 31—46. — 31 ϲύνταξον Barth.

X

Τριῴδιον εἰς τὴν τετάρτην τῆς μεγάλης ἑβδομάδος (Τριῴδ. σελ. 357).

Ἡ ἀκροστιχίς: «Τετράδι ψαλῶ.»

ἦχος β΄.

ᾠδὴ γ΄.

Τῆς πίστεως ἐν πέτρᾳ με στερεώσας
ἐπλάτυνας τὸ στόμα μου ἐπ' ἐχθρούς μου·
εὐφράνθη δὲ τὸ πνεῦμά μου ἐν τῷ ψάλλειν·
οὐκ ἔστιν ἅγιος | ὡς ὁ θεὸς ἡμῶν,
καὶ οὐκ ἔστι δίκαιος | πλήν σου, κύριε.

Ἐν κενοῖς τὸ συνέδριον τῶν ἀνόμων
καὶ γνώμῃ συναθροίζεται κακοτρόπῳ,
κατάκριτον τὸν ῥύστην σε ἀποφῆναι,
Χριστέ, ᾧ κράζομεν· | σὺ εἶ θεὸς ἡμῶν
καὶ οὐκ ἔστιν ἅγιος | πλήν σου, κύριε.

Τὸ δεινὸν βουλευτήριον τῶν ἀνόμων
σκέπτεται, θεομάχου ψυχῆς ὑπάρχον,
ὡς δύσχρηστον τὸν δίκαιον ἀποκτεῖναι
Χριστόν, ᾧ ψάλλομεν· | σὺ εἶ θεὸς ἡμῶν
καὶ οὐκ ἔστιν ἅγιος | πλήν σου, κύριε.

ᾠδὴ η΄.

Ῥῆμα τυράννου | ἐπεὶ ὑπερίσχυσεν,
ἑπταπλασίως κάμινος | ἐξεκαύθη ποτέ,
ἐν ᾗ παῖδες οὐκ ἐφλέχθησαν,
βασιλέως πατήσαντες δόγμα,
ἀλλ' ἐβόων· πάντα τὰ ἔργα κυρίου
τὸν κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ἀποκενοῦσα | γυνὴ μύρον ἔντιμον
δεσποτικῇ καὶ θείᾳ φρικτῇ
κορυφῇ, Χριστέ,
τῶν ἰχνῶν σου ἐπελάβετο
τῶν ἀχράντων κεχραμέναις παλάμαις
καὶ ἐβόα· πάντα τὰ ἔργα κυρίου
τὸν κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Δάκρυσι πλύνει | τοὺς πόδας ὑπεύθυνος
ἁμαρτίαις τοῦ πλάσαντος
καὶ ἐκμάσσει θριξί·
διὸ τῶν ἐν βίῳ οὐ διήμαρτε
πεπραγμένων τῆς ἀπολυτρώσεως,
ἀλλ' ἐβόα· πάντα τὰ ἔργα κυρίου
τὸν κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ἱερουργεῖτο | τὸ λύτρον εὐγνώμονι
ἐκ σωτηρίων σπλάγχνων τε
καὶ δακρύων πηγῆς,
ἐν ᾗ διὰ τῆς ἐξαγορεύσεως
ἐκπλυθεῖσα οὐ κατῃσχύνετο,
ἀλλ' ἐβόα· πάντα τὰ ἔργα κυρίου
τὸν κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ΄.

Ψυχαῖς καθαραῖς
καὶ ἀρρυπάντοις χείλεσι

Cod. AV — Acrostichides carminum Cosmae in secundum tertium quartum diem sacrae hebdomadis coniunctae unum efficiunt trimetrum iambicum. — v. 3 εὐφράνθη γὰρ Barth. — 6 Matth. XXVII 1. Marc. XV 1. Luc. XXIII 1. Ioann. XVIII. XIX. — 9 κράζομεν AV: ψάλλομεν vulgo — 23 Matth. XXVI 6—13. Marc. XIV 3-9. Luc. VII 37—38. Ioann. XII 3. — 24 Post κορυφῇ cod. A et hirmologium versus finem statuunt, parum illud quidem verisimile, quamquam maiore licentia plus semel in hoc carmine poeta usus esse videtur — 37 Ἱερουργεῖται Barth. — 45 ἀρρυπώτοις Barth.

δεῦτε μεγαλύνωμεν | τὴν ἀκηλίδωτον,
καὶ ὑπέραγνον μητέρα τοῦ Ἐμμανουήλ,
δι' αὐτῆς τῷ ἐξ αὐτῆς
προσφέροντες πρεσβείαν τεχθέντι·
φεῖσαι τῶν ψυχῶν ἡμῶν,
Χριστὲ ὁ θεός, καὶ σῶσον ἡμᾶς.

Ἀγνώμων φανεὶς
καὶ πονηρὸς ζηλότυπος
δῶρον ἀξιόθεον | λογοπραγεῖ, δι' οὗ
ὀφειλέσιον ἐλύθη ἁμαρτημάτων,
καπηλεύων ὁ δεινὸς
Ἰούδας τὴν φιλόθεον χάριν·
φεῖσαι τῶν ψυχῶν ἡμῶν,
Χριστὲ ὁ θεός, καὶ σῶσον ἡμᾶς.

Λέγει πορευθεὶς
τοῖς παρανόμοις ἄρχουσι,
τί μοι δοῦναι θέλετε;
κἀγὼ Χριστὸν ἡμῖν
τὸν ζητούμενον
τοῖς θέλουσι παραδώσω,
οἰκειότητα Χριστοῦ
Ἰούδας ἀντωσάμενος χρυσοῦ·
φεῖσαι τῶν ψυχῶν ἡμῶν,
Χριστὲ ὁ θεός, καὶ σῶσον ἡμᾶς.

Ὦ πηρωτικῆς
φιλαργυρίας, ἄσπονδε!
λήθης ὅθεν ἔτυχες,
ὅτι ψυχῆς οὐδ' ὃς
ἰσοστάσιος κόσμος, ὡς ἐδιδάχθης·
ἀπογνώσει γὰρ σαυτὸν
ἐβρόχισας ἀνάψας, προδότα·
φεῖσαι τῶν ψυχῶν ἡμῶν,
Χριστὲ ὁ θεός, καὶ σῶσον ἡμᾶς.

XI

Κανὼν εἰς τὴν πέμπτην τῆς μεγάλης ἑβδομάδος (Τριῳδ. σελ. 364).

Η ἀκροστιχίς:

«Τῇ μακρᾷ πέμπτῃ μακρὸν ὕμνον ἐξᾴδω.»

ἦχος πλ. β'.

ᾠδὴ α'.

Τμηθείσῃ τμᾶται | πόντος ἐρυθρός,
κυματοτρόφος δὲ ξηραίνεται βυθός,
ὁ αὐτὸς ὁμοῦ ἀόπλοις | γεγονὼς βατὸς
καὶ πανοπλίταις τάφος·
ᾠδὴ δὲ θεοτερπὴς ἀνεμέλπετο·
ἐνδόξως δεδόξασται
Χριστὸς ὁ θεὸς ἡμῶν.

Ἡ πανταιτία | καὶ παρεκτικὴ
ζωῆς, ἡ ἄπειρος σοφία τοῦ θεοῦ
ᾠκοδόμησε τὸν οἶκον | ἑαυτῆς ἁγνῆς
ἐξ ἀπειράνδρου μητρός·
ναὸν γὰρ σωματικὸν περιθέμενος
ἐνδόξως δεδόξασται
Χριστὸς ὁ θεὸς ἡμῶν.

Μυσταγωγοῦσα | φίλους ἑαυτῆς
τὴν ψυχοτρόφον ἑτοιμάζει τράπεζαν,
ἀμβροσίας δὲ ἡ ὄντως | σοφία θεοῦ
κιρνᾷ κρατῆρα πιστοῖς·
προσέλθωμεν εὐσεβῶς καὶ βοήσωμεν·
ἐνδόξως δεδόξασται
Χριστὸς ὁ θεὸς ἡμῶν.

Ἀκουσθῶμεν | πάντες οἱ πιστοὶ

---

52 Matth. XXVI 15—16. Marc. XIV 10—11. Luc. XXII 3—6. Ioann. XVIII 2—3. — 70 Marc. VIII 36 — οὐδ' ὃς AV Barth.: coniicias οὐδέ, nisi Cosmam Homericis exemplis male intellectis οὐδ' ὅς pro οὐδ' αὐτός dixisse arbitraris. — 71 ὧν ἐδιδάχθης alter scholiasta cod. A interpretatur et sic legit Gallandus Bibl. Patr. t. XIII p. 240.

Cod. A — v. 15 et 21 τοῦ θεοῦ Barth.

ϲυγκαλουμένηϲ ὑψηλῷ κηρύγματι
τῆϲ ἀκτίϲτου καὶ ἐμφύτου ϲοφίαϲ θεοῦ·
βοᾷ γάρ· Γεύϲαϲθε,
καὶ γνόντεϲ, ὅτι χρηϲτὸϲ ἐγώ, κράξατε·
ἐνδόξωϲ δεδόξαϲται
Χριϲτὸϲ ὁ θεὸϲ ἡμῶν.

ᾠδὴ γ'.

Κύριοϲ ὢν πάντων καὶ κτίϲτηϲ θεὸϲ
τὸ κτιϲτὸν ὁ ἀπαθὴϲ
πτωχεύϲαϲ ϲεαυτῷ ἥνωϲαϲ·
καὶ τὸ πάϲχα οἷϲ ἔμελλεϲ θανεῖν
αὐτὸϲ ὢν ϲεαυτὸν προετίθηϲ,
φάγετε, βοῶν, τὸ ϲῶμά μου
καὶ πίϲτει ϲτερεωθήϲεϲθε.

Ῥύϲιον παντὸϲ τοῦ βροτείου γένουϲ
τὸ οἰκεῖον, ἀγαθέ,
τοὺϲ ϲοὺϲ μαθητὰϲ ἐπότιϲαϲ
εὐφροϲύνηϲ ποτήριον πλήϲαϲ·
αὐτὸϲ γὰρ ϲεαυτὸν ἱερούργειϲ,
πίετε, βοῶν, τὸ αἷμά μου
καὶ πίϲτει ϲτερεωθήϲεϲθε.

Ἄφρων ἀνήρ, ὃϲ ἐν ὑμῖν προδότηϲ,
τοῖϲ οἰκείοιϲ μαθηταῖϲ
προέφηϲ ὁ ἀνεξίκακοϲ,
οὐ μὴ γνώϲεται ταῦτα, καὶ οὗτοϲ
ἀϲύνετοϲ ὢν οὐ μὴ ϲυνήϲει·
ὅμωϲ ἐν ἐμοὶ μείνατε
καὶ πίϲτει ϲτερεωθήϲεϲθε.

ᾠδὴ δ'.

Προκατιδὼν ὁ προφήτηϲ
τοῦ μυϲτηρίου ϲου τὸ ἀπόρρητον,
Χριϲτέ, προανεβόηϲεν·
ἔθου κραταιὰν
ἀγάπηϲιν ἰϲχύοϲ, πάτερ οἰκτίρμον·
τὸν μονογενῆ υἱὸν γάρ, ἀγαθέ,
ἱλαϲμὸν εἰϲ τὸν κόϲμον ἀπέϲτειλαϲ.

Ἐπὶ τὸ πάθοϲ τὸ πᾶϲι
τοῖϲ ἐξ Ἀδὰμ πηγάϲαν ἀπάθειαν,
Χριϲτέ, μολὼν τοῖϲ φίλοιϲ ϲου
εἶπαϲ· μεθ' ὑμῶν
τοῦ πάϲχα μεταϲχεῖν ἐπεθύμηϲα τούτου·
τὸν μονογενῆ ἐπεί με ἱλαϲμὸν
ὁ πατὴρ εἰϲ τὸν κόϲμον ἀπέϲτειλε.

Μεταλαμβάνων κρατῆροϲ
τοῖϲ μαθηταῖϲ ἐβόαϲ, ἀθάνατε·
γεννήματοϲ ἀμπέλου δὲ
πίομαι λοιπὸν
οὐκέτι μεθ' ὑμῶν βιοτεύων·
τὸν μονογενῆ ἐπεί με ἱλαϲμὸν
ὁ πατὴρ εἰϲ τὸν κόϲμον ἀπέϲτειλε.

Πόμα καινὸν ὑπὲρ λόγον
ἐγώ φημι ἐν τῇ βαϲιλείᾳ μου,
Χριϲτέ, τοῖϲ φίλοιϲ, πίομαι,
ὥϲτε γὰρ θεοῖϲ
θεὸϲ ὑμῖν ϲυνέϲομαι, εἶπαϲ·
τὸν μονογενῆ καὶ γάρ με ἱλαϲμὸν
ὁ πατὴρ εἰϲ τὸν κόϲμον ἀπέϲτειλε.

ᾠδὴ ε'.

Τῷ ϲυνδέϲμῳ τῆϲ ἀγάπηϲ
ϲυνδεόμενοι οἱ ἀπόϲτολοι
τῷ δεϲπόζοντι τῶν ὅλων
ἑαυτούϲ, Χριϲτῷ, ἀναθέμενοι

---

23 χριϲτόϲ A, at confer Psalm. XXX 8 — κράξατε add. m. sec in marg. A — 27 ἑαυτῷ A — 30 τὸ ante ϲῶμα in hac et ante αἷμα in sequenti stropha eiiciendum esse videtur, nisi poetam, ne sacram formulam migraret, maiore licentia numerorum usum esse statuas — 36 ἑαυτὸν A — 42 γνώϲηται Barth. — 44 ὅμωϲ ὑμεῖϲ ἐν ἐμοὶ scholiasta cod. A interpretatur. — 49 Prec. Abbac. 4. — 50 et 57 pluribus syllabis versus, qui in tertia et quarta stropha iis respondent, superant. — 55 μολὼν significationem temporis praesentis habet, ut apud eundem Cosmam VIII 25 et Sophronium Anacr. I 2 in Maii Spicil. rom. t. IV p. 49. — 56 Luc. XXII 15. — 57 τούτου ἐπεθύμηϲα Barth. — 62 Matth. XXVI 29. — 67 Marc. XIV 25. — 71 verbum εἶπαϲ mirum in modum ab iis quibus adhaeret vocabulis Χριϲτὲ τοῖϲ φίλοιϲ disiunctum est; sed ne transpositione facta hoc vitium orationis removeas, modi carminis obstant, unde nescio an ὑμῖν τοῖϲ φίλοιϲ scribendum sit.

ὡραίουϲ πόδαϲ | ἐξαπενίζοντο,
εὐαγγελιζόμενοι | πᾶϲιν εἰρήνην.

Ἡ τὸ ἄϲχετον κρατοῦϲα
καὶ ὑπέρροον ἐν αἰθέρι ὕδωρ,
ἡ ἀβύϲϲουϲ χαλινοῦϲα
καὶ θαλάϲϲαϲ ἀναχαιτίζουϲα
θεοῦ ϲοφία | ὕδωρ νιπτῆρι βάλλει,
πόδαϲ ἀποπλύνει δὲ | δούλων δεϲπότηϲ.

Μαθηταῖϲ ὑποδεικνύει
ταπεινώϲεωϲ ὁ δεϲπότηϲ τύπον·
ὁ νεφέλαιϲ δὲ τὸν πόλον
περιβάλλων ζώννυται λέντιον
καὶ κάμπτει γόνυ
δούλων ἐκπλῦναι πόδαϲ·
οὗ ἐν τῇ χειρὶ πνοὴ
πάντων τῶν ὄντων.

ᾠδὴ ϛʹ.

Ἄβυϲϲοϲ ἐϲχάτη
ἁμαρτημάτων ἐκύκλωϲέ με,
καὶ τὸν κλύδωνα μηκέτι φέρων
ὡϲ Ἰωνᾶϲ τῷ δεϲπότῃ βοῶ ϲοι·
ἐκ φθορᾶϲ με ἀνάγαγε.

Κύριον φωνεῖτε,
ὦ μαθηταί, καὶ διδάϲκαλόν με·
καὶ γὰρ πέφυκα, ϲωτὴρ ἐβόαϲ·
διὸ μιμεῖϲθε τὸν τύπον, ὃν τρόπον
ἐν ἐμοὶ ἐθεάϲαϲθε.

Ῥύπον τιϲ μὴ ἔχων
ἀπορρυφθῆναι οὐ δεῖται πόδαϲ,
καθαροί, ὦ μαθηταί, ὑμεῖϲ δέ,
ἀλλ' οὐχὶ πάντεϲ· ῥοπὴ γὰρ ἀτάκτωϲ
ἐξ ὑμῶν ἑνὸϲ μαίνεται.

ᾠδὴ ζʹ.

Οἱ παῖδεϲ ἐν Βαβυλῶνι
καμίνου φλόγα οὐκ ἔπτηξαν,
ἀλλ' ἐν μέϲῳ φλογὸϲ ἐμβληθέντεϲ
δροϲιζόμενοι ἔψαλλον·
εὐλογητὸϲ εἶ, κύριε,
ὁ θεὸϲ τῶν πατέρων ἡμῶν.

Νευϲτάζων κάραν Ἰούδαϲ
κακὰ προβλέπων ἐκίνηϲεν,
εὐκαιρίαν ζητῶν παραδοῦναι
τὸν κριτὴν εἰϲ κατάκριϲιν,
ὃϲ πάντων ἐϲτὶ κύριοϲ
ὁ θεὸϲ τῶν πατέρων ἡμῶν.

Ὑμῶν, ὁ Χριϲτὸϲ τοῖϲ φίλοιϲ
ἐβόα, εἷϲ παραδώϲει με·
εὐφροϲύνηϲ λαθόντεϲ ἀγωνίᾳ
καὶ φόβῳ ϲυνείχοντο,
τίϲ οὗτοϲ; φράϲον, λέγοντεϲ,
ὁ θεὸϲ τῶν πατέρων ἡμῶν.

Μεθ' ὅϲτιϲ ἐμοῦ τὴν χεῖρα
τρυβλίῳ βάλλει θραϲύτητι,
τούτῳ πλὴν καλὸν ἦν πύλαϲ βίου
περάϲαι μηδέποτε·
τοῦτον εἰπὼν ἐδήλου δὲ
ὁ θεὸϲ τῶν πατέρων ἡμῶν.

ᾠδὴ ηʹ.

Νόμων πατρῴων | οἱ μακαριϲτοὶ
ἐν Βαβυλῶνι νέοι | προκινδυνεύοντεϲ
βαϲιλεύοντοϲ κατέπτυϲαν
προϲταγῆϲ ἀλογίϲτου·
καὶ ϲυνημμένοι
ᾧ οὐκ ἐχωνεύθηϲαν πυρὶ
τοῦ κρατοῦντοϲ ἐπάξιον
ἀνέμελπον τὸν ὕμνον·

80 ὑπερῷον Barth. — 83 Ioann. XIII 5—15. — 93 ὡϲ ὁ Ἰωνᾶϲ Barth. contra numerorum concinnitatem — 96 ϲῶτερ A, quod modis carminis parum convenit — 100 ὦ om. A — 105 φλογὸϲ Barth. et schol. cod. A: τοῦ πυρόϲ A — 110 κακὰ A et schol.: κατὰ Barth. — 114 καὶ θεὸϲ Barth. — 115 ὑμῖν Barth., nos cod. A lectione recepta genetivum ab εἷϲ pendere significavimus. cf. Matth. XXVI 21. Marc. XIV 18. Luc. XXII 21. Ioann. XIII 21. — 118 καὶ λύπῃ Barth. — 125 τούτου ὃϲ ἦν ἐδήλου Barth. — 129 κατέπτυξαν Barth.

τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας.

Οἱ δαιτυμόνες | οἱ μακαριστοὶ
ἐν τῇ Σιὼν τῷ λόγῳ
προσκαρτερήσαντες
οἱ ἀπόστολοι παρείποντο
τῷ ποιμένι ὡς ἄρνες,
καὶ συνημμένοι
οὗ οὐκ ἐχωρίσθησαν Χριστοῦ,
θείῳ λόγῳ τρεφόμενοι
εὐχαρίστως ἐβόων·
τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Νόμου φιλίας | ὁ δυσώνυμος
Ἰσκαριώτης γνώμῃ | ἐπιλαθόμενος
οὓς ἐνίψατο ηὐτρέπισεν
εἰς προδοσίαν πόδας·
καὶ σοῦ ἐσθίων
ἄρτον, σῶμα θεῖον, ἐπῆρε
πτερνισμὸν ἐπὶ σέ, Χριστέ,
καὶ βοᾶν οὐ συνῆκε·
τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

Ἐδεξιοῦτο | τὸ λυτήριον
τῆς ἁμαρτίας σῶμα | ὁ ἀσυνείδητος
καὶ τὸ αἷμα τὸ χεόμενον
ὑπὲρ κόσμου τὸ θεῖον·
ἀλλ' οὐκ ᾐδεῖτο
πίνων ὃ ἐπίπρασκε τιμῆς,
οὐ κακίᾳ προσώχθισε
καὶ βοᾶν οὐ συνῆκε·
τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε
εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'.

Ξενίας δεσποτικῆς
καὶ ἀθανάτου τραπέζης
ἐν ὑπερῴῳ τόπῳ
ταῖς ὑψηλαῖς φρεσί,
πιστοί, δεῦτε ἀπολαύσωμεν,
ἐπαναβεβηκότα λόγον
ἐκ τοῦ λόγου μαθόντες,
ὃν μεγαλύνομεν.

Ἄπιτε, τοῖς μαθηταῖς
ὁ λόγος ἔφη, τὸ πάσχα
ἐν ὑπερῴῳ τόπῳ, | ᾧ νοῦς ἐνίδρυται,
οἷς μυσταγωγῶ σκευάσατε
ἀζύμῳ ἀληθείας λόγῳ·
τὸ στερρὸν δὲ τῆς χάριτος
μεγαλύνατε.

Δημιουργὸν ὁ πατὴρ
πρὸ τῶν αἰώνων σοφίαν
γεννᾷ, ἀρχὴν ὁδῶν με
εἰς ἔργα ἔκτισε
τὰ νῦν μυστικῶς τελούμενα·
λόγος γὰρ ἄκτιστος ὢν φύσει
τὰς φωνὰς οἰκειοῦμαι
οὗ νῦν προσείληφα.

Ὡς ἄνθρωπος ὑπάρχω
οὐσίᾳ, οὐ φαντασίᾳ,
οὕτω θεὸς τῷ τρόπῳ
τῆς ἀντιδόσεως
ἡ φύσις ἡ ἑνωθεῖσά μοι·
Χριστὸν ἕνα διό με γνῶτε
τὰ ἐξ ὧν, ἐν οἷς, ἅπερ
πέφυκα σώζοντα.

134 ὑπερυψοῦτε εἰς πάντας τοὺς Barth. — 135 Luc. XXIV 49. 53. Act. Apost. I 4. — 139 οὗ scholiasta interpretatur: ᾧ A Barth. cuius attractionis audaciam comprobare veriti sumus — 145 εὐτρέπιζεν A — 146 πρὸς προδοσίαν Barth. — 169 Paroem. Sal. VIII 22 — δημιουργῶν A — 170 fort. γεννῶν. cf. Paroem. VIII 22. — 173 προσείληφα Barth. cum schol. cod. A: προσείληφε A.

XII

Τριῴδιον εἰϲ τὴν μεγάλην παραϲκευήν (Τριῴδ. ϲελ. 378).

Ἡ ἀκροϲτιχίϲ: «Προϲάββατόν τε.»

ἦχοϲ πλ. β'.

ᾠδὴ ε'.

Πρὸϲ ϲὲ ὀρθρίζω | τὸν δι' εὐϲπλαγχνίαν
ἑαυτὸν τῷ πεϲόντι | ἑνώϲαντα ἀτρέπτωϲ
καὶ μέχρι παθῶν | ἀπαθῶϲ ὑποκύψαντα, λόγε θεοῦ·
τὴν εἰρήνην παράϲχου μοι, φιλάνθρωπε.

Ῥυφθέντεϲ πόδαϲ | καὶ προκαθαρθέντεϲ
μυϲτηρίου μεθέξει | τοῦ θείου νοῦν, Χριϲτέ, ϲοῦ
οἱ ὑπηρέται | ἐκ Σιὼν ἐλαιῶνοϲ μέγα πρὸϲ ὄροϲ
ϲυνανῆλθον, | ὑμνοῦντέϲ ϲε, φιλάνθρωπε.

Ὁρᾶτε, ἔφηϲ, | φίλοι, μὴ θροεῖϲθε·
νῦν γὰρ ἤγγικεν ἡ ὥρα | ληφθῆναί με, κτανθῆναι
χερϲὶν ἀνόμων· | πάντεϲ δὲ ϲκορπιϲθήϲεϲθε ἐμὲ λιπόντεϲ,
οὓϲ ϲυνάξω | κηρῦξαί με φιλάνθρωπον.

ᾠδὴ η'.

Στήλην κακίαϲ ἀντιθέου
παῖδεϲ θεῖοι παρεδειγμάτιϲαν·
κατὰ Χριϲτοῦ δὲ φρυαττόμενον
ἀνόμων ϲυνέδριον | βουλεύεται κενά,
κτεῖναι μελετᾷ | τὸν ζωῆϲ κρατοῦντα παλάμῃ,
ὃν πᾶϲα κτίϲιϲ | εὐλογεῖ δοξάζουϲα εἰϲ τοὺϲ αἰῶναϲ.

Ἀπὸ βλεφάρων, μαθηταί, νῦν
ὕπνον, ἔφηϲ, Χριϲτέ, τινάξατε·
ἐν προϲευχῇ δὲ γρηγορεῖτε,
πειραϲμῷ μή πωϲ ὄληϲθε, | καὶ μάλιϲτα Σίμων·
τῷ κραταιῷ γὰρ | μείζων πεῖρα· γνῶθί με, Πέτρε,
ὃν πᾶϲα κτίϲιϲ | εὐλογεῖ δοξάζουϲα εἰϲ τοὺϲ αἰῶναϲ.

Βέβηλον ἔποϲ τῶν χειλέων
οὔποτε προήϲομαι, δέϲποτα,

Codd. AV — Triodion hoc cum tetraodio vel quatuor posterioribus odis canonis magni Sabbati cohaerere scholiasta cod. A adnotat. — 2 ϲεαυτὸν Barth. — ἑνώϲαντι V κενώϲαντα Barth. — 6 νοῦν A cum schol. V: νῦν Barth. — 7 οἱ ὑπηρέται om. V. cf. Matth. XXVI. XXVII. Marc. XIV. XV. Luc. XXII. XXIII. Ioann. XVIII. XVIX. — 8 ϲὲ φιλάνθρωπε ὑμνοῦντέϲ ϲε A — 16 ἄνομον Barth., codicum lectio accentu commendatur — 19 Matth. XXVI 41. Marc. XIV 58. Luc. XXII 46 — μαθηταῖϲ AV — 25 Matth. XXVI 33—35. 74—75. Marc. XIV 29—31. 66—72. Luc XXII 33—34. 58—62. Ioann. XVIII 17—18. 25—27.

cὺν cοὶ θανοῦμαι ὡc εὐγνώμων,
κἂν οἱ πάντεc ἀρνήcωνται, | ἐβόηcε Πέτροc·
cὰρξ οὐδὲ αἷμα, | ὁ πατήρ cου ἀπεκάλυψέ μοι cέ,
ὃν πᾶcα κτίcιc | εὐλογεῖ δοξάζουcα εἰc τοὺc αἰῶναc.

Βάθοc cοφίαc θεϊκῆc
καὶ γνώcεωc οὐ πᾶν ἐξηρεύνηcαc,
ἄβυccον δέ μου τῶν κριμάτων·
οὐ κατέλαβεc, ἄνθρωπε, | ὁ κύριοc ἔφη·
cὰρξ οὖν ὑπάρχων | μὴ καυχῶ· ἀρνήcῃ τρίτον γάρ με,
ὃν πᾶcα κτίcιc | εὐλογεῖ δοξάζουcα εἰc τοὺc αἰῶναc.

Ἀπαγορεύειc, Cίμων Πέτρε,
ὅπερ πείcῃ τάχοc, ὡc εἴρηται,
καὶ cοὶ παιδίcκη οἷα θᾶττον
προcελθοῦcα πτοήcει cε, | ὁ κύριοc ἔφη·
πικρῶc δακρύcαc | ἕξειc ὅμωc εὐΐλατόν με,
ὃν πᾶcα κτίcιc | εὐλογεῖ δοξάζουcα εἰc τοὺc αἰῶναc.

ᾠδὴ θ′.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ
καὶ ἐνδοξοτέραν | ἀcυγκρίτωc τῶν Cεραφὶμ,
τὴν ἀδιαφθόρωc | θεὸν λόγον τεκοῦcαν,
τὴν ὄντωc θεοτόκον, | cὲ μεγαλύνομεν.

Ὀλέθριοc cπεῖρα θεοcτυγῶν,
πονηρευομένων | θεοκτόνων cυναγωγὴ
ἐπέcτη, Χριcτέ, cοι | καὶ ὡc ἄδικον εἷλκε
τὸν κτίcτην τῶν ἁπάντων, | ὃν μεγαλύνομεν.

Νόμον ἀγνοοῦντεc οἱ ἀcεβεῖc,
φωνὰc προφητῶν τε | μελετῶντεc διὰ κενῆc,
ὡc πρόβατον εἷλκον | cὲ τὸν πάντων δεcπότην
ἀδίκωc cφαγιάcαι, | ὃν μεγαλύνομεν.

Τοῖc ἔθνεcιν ἔκδοτον τὴν ζωὴν
cὺν τοῖc γραμματεῦcιν | ἀναιρεῖcθαι οἱ ἱερεῖc
παρέcχον, πληγέντεc | αὐτοφθόνῳ κακίᾳ,
τὸν φύcει ζωοδότην, | ὃν μεγαλύνομεν.

Ἐκύκλωcαν κύνεc ὡcεὶ πολλοὶ,
ἐκρότηcαν, ἄναξ, cιαγόνα cὴν ῥαπιcμῷ·

---

27 εὐγνώμην Barth. typothetarum ut videtur, errore. — 28 εἰ καὶ . . . . ἀρνήcονται V — 29 Matth. XVI 17. — 35 μὴ καυχοῦ A — fort.: τρίc. — 40 ποιήcῃ A — 41 εὐΐλατόν τε . — 53 Ies. LIII 7. — 59 ὡc οἱ A ὡc Barth. post tertium carmen in cod. A tria troparia honorem Mariae composita adduntur, quae alius esse carminis acrostichide docemur.

ἠρώτων cε, coῦ δὲ | ψευδῆ κατεμαρτύρουν,
καὶ πάντα ὑπομείνας | ἅπαντας ἔcωcαc.

XIII

Κανὼν εἰc τὸ μέγα cάββατον (Τριῳδ. cελ. 408).

Ἡ ἀκροcτιχίc:

«Καὶ cήμερον δὲ cάββατον μέλπω μέγα.»

ἦχοc πλ. β΄.

ᾠδὴ α΄.

Κύματι θαλάccηc | τὸν κρύψαντα πάλαι
διώκτην τύραννον
ὑπὸ γῆν ἔκρυψαν | τῶν cεcωcμένων οἱ παῖδεc·
ἀλλ' ἡμεῖc ὡc αἱ νεάνιδεc | τῷ κυρίῳ ᾄcωμεν·
ἐνδόξωc γὰρ δεδόξαcται.

Κύριε θεέ μου, | ἐξόδιον ὕμνον
καὶ ἐπιτάφιον
ᾠδήν coι ᾄcομαι, | τῷ τῇ ταφῇ cου ζωῆc μοι
τὰc εἰcόδουc διανοίξαντι | καὶ θανάτῳ θάνατον
καὶ ᾅδην θανατώcαντι.

Ἄνω cε ἐν θρόνῳ | καὶ κάτω ἐν τάφῳ
τὰ ὑπερκόcμια
καὶ ὑποχθόνια | κατανοοῦντα, cωτήρ μου,
ἐδονεῖτο τῇ νεκρώcει cου· | ὑπὲρ νοῦν ὠράθηc γὰρ
νεκρὸc ζωαρχικώτατοc.

Ἵνα cου τῆc δόξηc | τὰ πάντα πληρώcηc,
καταπεφοίτηκαc
ἐν κατωτάτοιc τῆc γῆc· | ἀπὸ γάρ cου οὐκ ἐκρύβη
ἡ ὑπόcταcίc μου ἡ ἐν Ἀδάμ· | καὶ ταφεὶc φθαρέντα με
καινοποιεῖc, φιλάνθρωπε.

ᾠδὴ γ΄.

Cὲ τὸν ἐπὶ ὑδάτων | κρεμάcαντα
πᾶcαν τὴν γῆν ἀcχέτωc
ἡ κτίcιc κατιδοῦcα | ἐν τῷ Κρανίῳ κρεμάμενον,

Cod. A — Quatuor priora carmina a Marco monacho, quatuor posteriora a Cosma composita esse scholiastae codd. AV testantur, quam eandem rem Cedrenus rettulit: ὁ cοφώτατοc μοναχὸc Μάρκοc, οἰκονόμοc ὢν τῆc τοιαύτηc μονῆc, ὁ τὸ τετραῴδιον τοῦ μεγάλου cαββάτου ἀναπληρώcαc τοῦ κυρίου Κοcμᾶ . . .; praeterea in editionibus Triodii hirmi, e quibus quatuor certe priores aliorum esse carminum ipsae acrostichidis litterae arguunt, Cassiae feminae tribuuntur, cf. Leonem Allatium De libris eccles. Graecorum p. 72 sqq. — 3 γῆc Barth. — 13 χριcτέ μου A — 16 τὰ πάντα τῆc δόξηc A — 20 φιλανθρώπωc A

θαμβητικῶϲ ϲυνείχετο, | οὐκ ἔϲτιν ἅγιοϲ
πλήν ϲου, κύριε, κραυγάζουϲα.

Cύμβολα τῆϲ ταφῆϲ ϲου | παρέδειξαϲ,
τὰϲ ὁράϲειϲ πληθύναϲ·
νῦν δὲ τὰ κρύφιά ϲου | θεανδρικῶϲ διετράνωϲαϲ
καὶ τοῖϲ ἐν ᾅδου, δέϲποτα, | οὐκ ἔϲτιν ἅγιοϲ
πλήν ϲου, κύριε, κραυγάζουϲιν.

Ἥπλωϲαϲ τὰϲ ἀγκάλαϲ | καὶ ἥνωϲαϲ
τὰ τὸ πρὶν διεϲτῶτα·
καταϲτολῇ δὲ, ϲῶτερ, | τῇ ἐν ϲινδόνι καὶ μνήματι
πεπεδημένουϲ ἔλυϲαϲ, | οὐκ ἔϲτιν ἅγιοϲ
πλήν ϲου, κύριε, κραυγάζονταϲ.

Μνήματι καὶ ϲφραγῖϲιν, | ἀχώρητε,
ϲυνεϲχέθηϲ βουλήϲει·
καὶ γὰρ τὴν δύναμίν ϲου | ταῖϲ ἐνεργείαιϲ ἐγνώριϲαϲ
θεουργικῶϲ τοῖϲ μέλπουϲιν· οὐκ ἔϲτιν ἅγιοϲ
πλήν ϲου, κύριε φιλάνθρωπε.

ᾠδὴ δʹ.

Τὴν ἐν ϲταυρῷ ϲου θείαν κένωϲιν
προορῶν Ἀββακοὺμ | ἐξεϲτηκὼϲ ἐβόα·
ϲὺ δυναϲτῶν διέκοψαϲ | κράτοϲ, ἀγαθὲ,
ὁμιλῶν τοῖϲ ἐν ᾅδῃ | ὡϲ παντοδύναμοϲ.

Ἑβδόμην ϲήμερον ἡγίαϲαϲ,
ἣν εὐλόγηϲαϲ πρὶν | καταπαύϲει τῶν ἔργων·
παράγειϲ γὰρ τὰ ϲύμπαντα | καὶ καινοποιεῖϲ
ϲαββατίζων, ϲωτήρ μου, | καὶ ἀνακτώμενοϲ.

Ῥωμαλεότητι τοῦ κρείττονοϲ
ἐκνικήϲαντόϲ ϲου | τῆϲ ϲαρκὸϲ ἡ ψυχή ϲου
διῄρηται· ϲπαράττουϲι | ἄμφω γὰρ δεϲμοὺϲ
τοῦ θανάτου καὶ ᾅδου, λόγε, τῷ κράτει ϲου.

Ὁ ᾅδηϲ, λόγε, ϲυναντήϲαϲ ϲοι
ἐπικράνθη, βροτὸν | ὁρῶν τεθεωμένον,
κατάϲτικτον τοῖϲ μώλωψι | καὶ πανϲθενουργὸν,
τῷ φρικτῷ τῆϲ μορφῆϲ δὲ διαπεφώνηκεν.

24 θάμβει πολλῷ Barth. — 29 ᾅδῃ Barth. — 31 παλάμαϲ Barth. — 41 Prec. Abbac. 14. — 45 Genes. II 3. — 48 ϲῶτερ A — 51 ϲπαράττουϲα Barth. quod si retinueris, ἄμφω τοὺϲ δεϲμοὺϲ scribere debebis — 53 Ies. XIV 9.

ᾠδὴ ε'.

Θεοφανείαϲ ϲου, Χριϲτέ,
τῆϲ πρὸϲ ἡμᾶϲ ϲυμπαθῶϲ γενομένηϲ,
Ἡϲαΐαϲ φῶϲ ἰδὼν ἀνέϲπερον
ἐκ νυκτὸϲ ὀρθρίϲαϲ ἐκραύγαζεν·
ἀναϲτήϲονται οἱ νεκροὶ | καὶ ἐγερθήϲονται
οἱ ἐν τοῖϲ μνημείοιϲ
καὶ πάντεϲ οἱ ἐν τῇ γῇ ἀγαλλιάϲονται.

Νεοποιεῖϲ τοὺϲ γηγενεῖϲ
ὁ πλαϲτουργὸϲ χοϊκὸϲ χρηματίϲαϲ,
καὶ ϲινδὼν καὶ τάφοϲ ὑπεμφαίνουϲι
τὸ ϲυνόν ϲοι, λόγε, μυϲτήριον·
ὁ εὐϲχήμων δὲ βουλευτὴϲ | τὴν τοῦ ϲὲ φύϲαντοϲ
βουλὴν ϲχηματίζει,
ἐν ϲοὶ μεγαλοπρεπῶϲ | καινοποιοῦντόϲ με.

Διὰ θανάτου τὸ θνητόν,
διὰ ταφῆϲ τὸ φθαρτὸν μεταβάλλειϲ·
ἀφθαρτίζειϲ γὰρ θεοπρεπέϲτατα
ἀπαθανατίζων τὸ πρόϲλημμα·
ἡ γὰρ ϲάρξ ϲου διαφθορὰν | οὐκ εἶδε, δέϲποτα,
οὐδὲ ἡ ψυχή ϲου εἰϲ ᾅδην
ξενοπρεπῶϲ ἐγκαταλέλειπται.

Ἐξ ἀλοχεύτου προελθὼν
καὶ λογχευθεὶϲ τὴν πλευράν, πλαϲτουργέ μου,
ἐξ αὐτῆϲ εἰργάϲω τὴν ἀνάπλαϲιν
τὴν τῆϲ Εὔαϲ, Ἀδὰμ γενόμενοϲ,
ἀφυπνώϲαϲ ὑπερφυῶϲ | ὕπνον φυϲίζωον
καὶ ζωὴν ἐγείραϲ
ἐξ ὕπνου καὶ τῆϲ φθορᾶϲ, | ὡϲ παντοδύναμοϲ.

ᾠδὴ ϛ'.

Ϲυνεϲχέθη, | ἀλλ' οὐ κατεϲχέθη
ϲτέρνοιϲ κητῴοιϲ Ἰωνᾶϲ·
ϲοῦ γὰρ τὸν τύπον φέρων
τοῦ παθόντοϲ καὶ ταφῇ δοθέντοϲ,
ὡϲ ἐκ θαλάμου, τοῦ θηρὸϲ ἀνέθορε·
προϲεφώνει δὲ τῇ κουϲτωδίᾳ·
οἱ φυλαϲϲόμενοι μάταια καὶ ψευδῆ
ἔλεον αὐτοῖϲ ἐγκατελίπετε.

57 Ies. XXVI 19. — 68 δὲ] γὰρ Barth. — 76 ᾅδου Barth. fort.: ἐν ᾅδου. — 79 λοχευθεὶϲ A — 84 καὶ τῆϲ ϲαρκὸϲ A cum schol. — 91 Ion. II 9. — 92 αὐτῶν A

Ἀνῃρέθηϲ, ἀλλ᾽ οὐ διῃρέθηϲ,
λόγε, ἧϲ μετέϲχεϲ ϲαρκόϲ·
εἰ γὰρ καὶ λέλυταί ϲου
ὁ ναὸϲ ἐν τῷ καιρῷ τοῦ πάθουϲ,
ἀλλὰ καὶ οὕτω μία ἦν ὑπόϲταϲιϲ
τῆϲ θεότητοϲ καὶ τῆϲ ϲαρκόϲ ϲου·
ἐν ἀμφοτέροιϲ γὰρ εἶϲ ὑπάρχειϲ υἱὸϲ,
λόγοϲ τοῦ θεοῦ, θεὸϲ καὶ ἄνθρωποϲ.

Βροτοκτόνον, | ἀλλ᾽ οὐ θεοκτόνον
ἔφυ τὸ πταῖϲμα τοῦ Ἀδάμ·
εἰ γὰρ καὶ πέπονθέ ϲου
τῆϲ ϲαρκὸϲ ἡ χοϊκὴ οὐϲία,
ἀλλ᾽ ἡ θεότηϲ ἀπαθὴϲ διέμεινε·
τὸ φθαρτὸν δέ ϲου πρὸϲ ἀφθαρϲίαν
μετεϲτοιχείωϲαϲ καὶ ἀφθάρτου ζωῆϲ
ἔδειξαϲ πηγὴν ἐξ ἀναϲτάϲεωϲ.

Βαϲιλεύει, ἀλλ᾽ οὐκ αἰωνίζει
ᾅδηϲ τοῦ γένουϲ τῶν βροτῶν·
ϲὺ γὰρ τεθεὶϲ ἐν τάφῳ,
κραταιὲ, ζωαρχικῇ παλάμῃ
τὰ τοῦ θανάτου κλεῖθρα διεϲπάραξαϲ
καὶ ἐκήρυξαϲ τοῖϲ ἀπ᾽ αἰώνων
ἐκεῖ καθεύδουϲι λύτρωϲιν ἀψευδῆ,
ϲῶτερ γεγονὼϲ νεκρῶν πρωτότοκοϲ.

ᾠδὴ ζ΄.

Ἄφραϲτον θαῦμα! | ὁ ἐν καμίνῳ ῥυϲάμενοϲ
τοὺϲ ὁϲίουϲ παῖδαϲ ἐκ φλογὸϲ
ἐν τάφῳ νεκρὸϲ | ἄπνουϲ κατατίθεται
εἰϲ ϲωτηρίαν ἡμῶν τῶν μελῳδούντων·
λυτρωτὰ, | ὁ θεὸϲ εὐλογητὸϲ εἶ.

Τέτρωται ᾅδηϲ, | ἐν τῇ καρδίᾳ δεξάμενοϲ
τὸν τρωθέντα λόγχῃ τὴν πλευρὰν,
καὶ ϲθένει πυρὶ | θείῳ δαπανώμενοϲ
εἰϲ ϲωτηρίαν ἡμῶν τῶν μελῳδούντων·
λυτρωτὰ, | ὁ θεὸϲ εὐλογητὸϲ εἶ.

Ὄλβιοϲ τάφοϲ! | ἐν ἑαυτῷ γὰρ δεξάμενοϲ
ὡϲ ὑπνοῦντα τὸν δημιουργὸν,
ζωῆϲ θηϲαυρὸϲ | θείαϲ ἀναδέδεικται

---

114 αἰῶναϲ Barth. quod typothetarum errore pro αἰῶνοϲ scriptum esse videtur. — 16 ϲῶτερ A Barth. expectamus ϲωτὴρ, sed vulgata lectio modorum concinnitate commendatur. — 129 θεῖοϲ Barth.

εἰϲ ϲωτηρίαν ἡμῶν τῶν μελῳδούντων·
λυτρωτά, | ὁ θεὸϲ εὐλογητὸϲ εἶ.

Νόμῳ θανόντων | τὴν ἐν τῷ τάφῳ κατάθεϲιν
ἡ τῶν ὅλων δέχεται Ζωὴ
καὶ τοῦτον πηγὴν | δείκνυϲιν ἐγέρϲεωϲ
εἰϲ ϲωτηρίαν ἡμῶν τῶν μελῳδούντων·
λυτρωτά, | ὁ θεὸϲ εὐλογητὸϲ εἶ.

Μία ὑπῆρχεν | ἡ ἐν τῷ ᾅδῃ ἀχώριϲτοϲ
καὶ ἐν τάφῳ καὶ ἐν τῇ Ἐδὲμ
θεότηϲ Χριϲτοῦ | ϲὺν πατρὶ καὶ πνεύματι
εἰϲ ϲωτηρίαν ἡμῶν τῶν μελῳδούντων·
λυτρωτά, | ὁ θεὸϲ εὐλογητὸϲ εἶ.

ᾠδὴ η΄.

Ἔκϲτηθι φρίττων, οὐρανέ,
καὶ ϲαλευθήτωϲαν | τὰ θεμέλια τῆϲ γῆϲ·
ἰδοὺ γὰρ ἐν νεκροῖϲ λογίζεται | ὁ ἐν ὑψίϲτοιϲ οἰκῶν
καὶ τάφῳ μικρῷ ξενοδοχεῖται·
ὃν παῖδεϲ εὐλογεῖτε, | ἱερεῖϲ ἀνυμνεῖτε,
λαὸϲ ὑπερυψοῦτε | εἰϲ πάνταϲ τοὺϲ αἰῶναϲ.

Λέλυται ἄχραντοϲ ναόϲ,
τὴν πεπτωκυῖαν δὲ | ϲυνανίϲτηϲι ϲκηνήν·
Ἀδὰμ γὰρ τῷ προτέρῳ δεύτεροϲ | ὁ ἐν ὑψίϲτοιϲ οἰκῶν
κατῆλθε μέχριϲ ᾅδου ταμείων·
ὃν παῖδεϲ εὐλογεῖτε, | ἱερεῖϲ ἀνυμνεῖτε,
λαὸϲ ὑπερυψοῦτε | εἰϲ πάνταϲ τοὺϲ αἰῶναϲ.

Πέπαυται τόλμα μαθητῶν,
Ἀριμαθαίαϲ δὲ ἀριϲτεύει Ἰωϲήφ·
νεκρὸν γὰρ καὶ γυμνὸν θεώμενοϲ | τὸν ἐπὶ πάντων θεὸν
αἰτεῖται καὶ κηδεύει κραυγάζων·
οἱ παῖδεϲ εὐλογεῖτε, | ἱερεῖϲ ἀνυμνεῖτε,
λαὸϲ ὑπερυψοῦτε | εἰϲ πάνταϲ τοὺϲ αἰῶναϲ.

Ὢ τῶν θαυμάτων τῶν καινῶν!
ὢ ἀγαθότητοϲ! | ὢ ἀφράϲτου ἀνοχῆϲ!
ἑκὼν γὰρ ὑπὸ γῆν ϲφραγίζεται | ὁ ἐν ὑψίϲτοιϲ οἰκῶν
καὶ πλάνοϲ θεὸϲ ϲυκοφαντεῖται·
ὃν παῖδεϲ εὐλογεῖτε, | ἱερεῖϲ ἀνυμνεῖτε,
λαὸϲ ὑπερυψοῦτε | εἰϲ πάνταϲ τοὺϲ αἰῶναϲ.

---

146 εὐλογοῦϲι, ἱερεῖϲ ἀνυμνοῦϲι καὶ ὑπερυψοῦϲι A — 150 τῶν προτέρων A — 162 ἰδοὺ γὰρ A cum schol.

ᾠθὴ θ'.

Μὴ ἐποδύρου μοι, μῆτερ, | καθορῶϲα ἐν τάφῳ,
ὃν ἐν γαϲτρὶ ἄνευ ϲπορᾶϲ | ϲυνέλαβεϲ υἱόν·
ἀναϲτήϲομαι γὰρ καὶ δοξαϲθήϲομαι
καὶ ὑψώϲω ἐν δόξῃ | ἀπαύϲτωϲ ὡϲ θεὸϲ
τοὺϲ ἐν πίϲτει καὶ πόθῳ | ϲὲ μεγαλύνονταϲ.

Ἐπὶ τῷ ξένῳ ϲου τόκῳ | τὰϲ ὠδῖναϲ φυγοῦϲα
ὑπερφυῶϲ ἐμακαρίϲθην, | ἄναρχε υἱέ·
νῦν δέ ϲε, θεέ μου, ἄπνουν ὁρῶϲα νεκρὸν,
τῇ ῥομφαίᾳ τῆϲ λύπηϲ | ϲπαράττομαι δεινῶϲ·
ἀλλ᾽ ἀνάϲτηθι, ὅπωϲ | μεγαλυνθήϲομαι.

Γῆ με καλύπτει ἑκόντα, | ἀλλὰ φρίττουϲιν ᾅδου
οἱ πυλωροὶ, ἠμφιεϲμένον | βλέποντεϲ ϲτολὴν
ᾑμαγμένην, μῆτερ, τῆϲ ἐκδικήϲεωϲ·
τοὺϲ ἐχθροὺϲ ἐν ϲταυρῷ γὰρ | πατάξαϲ ὡϲ θεὸϲ
ἀναϲτήϲομαι αὖθιϲ | καὶ μεγαλύνω ϲε.

Ἀγαλλιάϲθω ἡ κτίϲιϲ, | εὐφραινέϲθωϲαν πάντεϲ
οἱ γηγενεῖϲ· ὁ γὰρ ἐχθρὸϲ | ἐϲκύλευται ᾅδηϲ·
μετὰ μύρων γυναῖκεϲ προϲυπαντάτωϲαν·
τὸν Ἀδὰμ ϲὺν τῇ Εὔᾳ | λυτροῦμαι παγγενῆ
καὶ τῇ τρίτῃ ἡμέρᾳ | ἐξαναϲτήϲομαι.

XIV

Κανὼν εἰϲ τὴν Πεντηκοϲτὴν (Πεντηκ. ϲελ. 189).

Ἡ ἀκροϲτιχίϲ: «Πεντηκοϲτὴν ἑορτάζωμεν.»

ἦχοϲ βαρύϲ.

ᾠδὴ α'.

Πόντῳ ἐκάλυψε | Φαραὼ ϲὺν ἅρμαϲιν
ὁ ϲυντρίβων πολέμουϲ | ἐν ὑψηλῷ βραχίονι·
ᾄϲωμεν αὐτῷ, | ὅτι δεδόξαϲται.

Ἔργῳ, ὡϲ πάλαι τοῖϲ | μαθηταῖϲ ἐπηγγείλω,
τὸ παράκλητον πνεῦμα | ἐξαποϲτείλαϲ, Χριϲτὲ,
ἔλαμψαϲ τὸ φῶϲ | κόϲμῳ, φιλάνθρωπε.

166 μου Barth. — 171 ὠδῖναϲ nos: ὀδύναϲ A Barth. — 179 γὰρ ἐν ϲταυρῷ A, quod concinnitate accentuum offendit. — 182 ϲκυλεύεται A — 183 fort.: γυναῖκεϲ ὑπαντάτωϲαν. 185 Matth. XVI 21. XVII 23. XX 18—19. XXVII 63. XXVIII. Marc. VIII 31. IX 31. X —34. XVI. Luc. IX 22. XVIII. 31—33. XXIV. Ioann. II 19—22. XX.

Codd. AV — v. 6 τῷ κόϲμῳ φῶϲ V Barth.

Νόμῳ τὸ πάλαι προκηρυχθὲν καὶ προφήταις
ἐπληρώθη· τοῦ θείου | πνεύματος ϲήμερον
πᾶϲι γὰρ πιϲτοῖϲ | χάριϲ ἐκκέχυται.

ᾠδὴ γ΄.

Τὴν ἐξ ὕψουϲ δύναμιν, | τοῖϲ μαθηταῖϲ, Χριϲτέ,
ἕωϲ ἂν ἐνδύϲηϲθε, ἔφηϲ,
καθίϲατε ἐν Ἱερουϲαλήμ·
ἐγὼ δὲ ὡϲ ἐμὲ παράκλητον ἄλλον,
πνεῦμα τὸ ἐμόν τε καὶ | πατρὸϲ ἀποϲτελῶ,
ἐν ᾧ ϲτερεωθήϲεϲθε.

Ἡ τοῦ θείου πνεύματοϲ | ἐπιδημήϲαϲα
δύναμιϲ τὴν μεριϲθεῖϲαν πάλαι
φωνὴν κακῶϲ ὁμονοηϲάντων
εἰϲ μίαν ἁρμονίαν θείωϲ ϲυνῆψε,
γνῶϲιν ϲυνετίζουϲα | πιϲτοὺϲ τῆϲ Τριάδοϲ,
ἐν ᾗ ἐϲτερεώθημεν.

ᾠδὴ δ΄.

Κατανοῶν ὁ προφήτηϲ | τὴν ἐπ᾽ ἐϲχάτων ϲου, Χριϲτέ,
ἔλευϲιν ἀνεβόα·
τὴν ϲὴν εἰϲακήκοα, κύριε, | δυναϲτείαν, ὅτι πάνταϲ
τοῦ ϲῶϲαι τοὺϲ χριϲτούϲ ϲου ἐλήλυθαϲ.

Ὁ ἐν προφήταιϲ λαλήϲαϲ | καὶ διὰ νόμου κηρυχθεὶϲ
πρῴην τοῖϲ ἀτελέϲι
θεὸϲ ἀληθὴϲ ὁ παράκλητοϲ | τοῖϲ τοῦ λόγου ὑπηρέταιϲ
καὶ μάρτυϲι γνωρίζεται ϲήμερον.

Ϲῆμα θεότητοϲ φέρον | τοῖϲ ἀποϲτόλοιϲ ἐν πυρὶ
πνεῦμα κατεμερίϲθη
καὶ ξέναιϲ ἐν γλώϲϲαιϲ ἐνέφηνεν, | ὡϲ πατρόθεν θεῖον ϲθένοϲ
ἐρχόμενόν ἐϲτιν αὐτοκέλευϲτον.

ᾠδὴ ε΄.

Τὸ διὰ τὸν φόβον ϲου ληφθὲν, κύριε,
ἐν γαϲτρὶ τῶν προφητῶν | καὶ κυηθὲν ἐπὶ γῆϲ
πνεῦμα ϲωτηρίαϲ
ἀποϲτολικὰϲ καρδίαϲ κτίζει καθαρὰϲ
καὶ ἐν τοῖϲ πιϲτοῖϲ εὐθὲϲ ἐγκαινίζεται·
φῶϲ γὰρ καὶ εἰρήνη διότι τὰ ϲὰ προϲτάγματα.

17 δύναμιϲ add. m. sec. A. — articulum τὴν eiicere praestat. — 20 ϲυνετίζουϲαν A 22 Prec. Abbac. — 30 φέρων Barth. — 32 ξέναιϲ ἐν om. m. pr. A — 35 τῆϲ γῆϲ Barth. 37 ἀποϲτολικῇ A — 38 εὐθὺϲ V

Ἡ ἐπιφοιτήϲαϲα ἰϲχὺϲ ϲήμερον
  αὕτη πνεῦμα ἀγαθόν, | πνεῦμα ϲοφίαϲ θεοῦ,
  πνεῦμα ἐκ πατρὸϲ
ἐκπορευθὲν καὶ δι᾽ υἱοῦ πιϲτοῖϲ ἡμῖν πεφηνόϲ,
  μεταδοτικὸν ἐν οἷϲ κατοικίζεται
φύϲει τῆϲ ἐν ᾗ κατοπτεύεται ἁγιότητοϲ.

ᾠδὴ ϛ΄.

Ναυτιῶν τῷ ϲάλῳ | τῶν βιωτικῶν μελημάτων,
ϲυμπλόοιϲ ποντούμενοϲ ἁμαρτίαιϲ
  καὶ ψυχοφθόρῳ θηρὶ προϲριπτόμενοϲ,
ὡϲ ὁ Ἰωνᾶϲ, Χριϲτέ, βοῶ ϲοι·
  ἐκ θανατηφόρου με βυθοῦ ἀνάγαγε.

Ἐκ τοῦ πνεύματόϲ ϲου | ϲάρκα ἐπὶ πᾶϲαν, ὡϲ εἶπαϲ,
πλουϲίωϲ ἐξέχεεϲ καὶ ἐπλήϲθη
  τῆϲ ϲῆϲ ἡ ϲύμπαϲα γνώϲεωϲ, κύριε·
ὅτι ἐκ πατρὸϲ ἀπεριγράπτωϲ
  ἔφυϲ καὶ τὸ πνεῦμα ἀμερίϲτωϲ πρόειϲιν.

ᾠδὴ ζ΄.

Οἱ ἐν καμίνῳ τοῦ πυρὸϲ ἐμβληθέντεϲ
  ὅϲιοι παῖδεϲ
τὸ πῦρ εἰϲ δρόϲον μετέβαλον
  διὰ τῆϲ ὑμνῳδίαϲ, οὕτω βοῶντεϲ·
εὐλογητὸϲ εἶ, κύριε, | ὁ θεὸϲ τῶν πατέρων ἡμῶν.

Ῥητορευόντων τὰ θεῖα μεγαλεῖα
  τῶν ἀποϲτόλων
τοῦ πνεύματοϲ ἡ ἐνέργεια
  ἐνομίζετο μέθη τοῖϲ ἀπιϲτοῦϲι,
δι᾽ ἧϲ Τριὰϲ κεκήρυκται | εἷϲ θεὸϲ τῶν πατέρων ἡμῶν.

Τὴν ἀδιαίρετον φύϲιν ὀρθοδόξωϲ
  θεολογοῦμεν,
θεὸν πατέρα τὸν ἄναρχον,
  τῆϲ αὐτῆϲ ἐξουϲίαϲ λόγον καὶ πνεῦμα,
εὐλογητὸϲ εἶ, κράζοντεϲ, | ὁ θεὸϲ τῶν πατέρων ἡμῶν.

ᾠδὴ η΄.

Ἀφλέκτωϲ πυρὶ ἐν | Ϲινᾷ προϲομιλοῦϲα
  βάτοϲ θεὸν ἐγνώριϲε

43 ἐκπορευτὸν Barth. — 46 ναυτιῶντα ϲάλῳ AV — 47 ποντούμενον AV — προϲιπτόμενον A προϲριπτούμενον V προϲριπτούμενοϲ Barth. — 51 μου A — 52 ἐξέχεαϲ Barth. - ἐπληρώθη A — 54 πατρὸϲ υἱὸϲ ἀρρεύϲτωϲ Barth. — 59 οὕτωϲ V — 64 ἀπιϲτοῦϲι Barth. πιθοῦϲι A ἀπειθοῦϲι V — 65 τριὰϲ γνωρίζεται Barth.

τῷ βραδυγλώϲϲῳ καὶ δυϲήχῳ Μωϲεῖ·
καὶ παῖδαϲ ζῆλοϲ θεοῦ
τοὺϲ ἀναλώτουϲ τῷ πυρὶ ὑμνῳδοὺϲ ἔδειξε·
πάντα τὰ ἔργα | τὸν κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε | εἰϲ πάνταϲ τοὺϲ αἰῶναϲ.

Ζωτικῆϲ ἐξ ὕψουϲ | βιαίαϲ φερομένηϲ
ἠχητικῶϲ τοῦ πνεύματοϲ
τοῦ παναγίου ἁλιεῦϲι πνοῆϲ
πυρίνων εἴδει γλωϲϲῶν,
τὰ μεγαλεῖα τοῦ θεοῦ ἐρρητορεύετο·
πάντα τὰ ἔργα | τὸν κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε | εἰϲ πάνταϲ τοὺϲ αἰῶναϲ.

Ὡϲ μὴ θιγομένῳ | προϲβαίνοντεϲ ἐν ὄρει
μὴ πεφρικότεϲ πῦρ δειματοῦν
δεῦτε καὶ ϲτῶμεν ἐν τῷ ὄρει Cιών,
ἐν πόλει ζῶντοϲ θεοῦ,
πνευματοφόροιϲ μαθηταῖϲ νῦν ϲυγχορεύοντεϲ·
πάντα τὰ ἔργα | τὸν κύριον ὑμνεῖτε
καὶ ὑπερυψοῦτε | εἰϲ πάνταϲ τοὺϲ αἰῶναϲ.

ᾠδὴ θ'.

Μὴ τῆϲ φθορᾶϲ διὰ πεῖραν | κυοφορήϲαϲα
καὶ παντεχνήμονι λόγῳ | ϲάρκα δανείϲαϲα,
μῆτερ ἀπείρανδρε, | παρθένε θεοτόκε,
δοχεῖον τοῦ ἀϲτέκτου, | χωρίον τοῦ ἀπείρου
πλαϲτουργοῦ ϲου, ϲὲ μεγαλύνομεν.

Ἐπιπαφλάζοντοϲ πάλαι | πυρίνου ἅρματοϲ
ὁ ζηλωτὴϲ καὶ πυρίπνουϲ | χαίρων ὀχούμενοϲ
τὴν νῦν ἐκλάμψαϲαν | ἐπίπνοιαν ἐδήλου
ἐξ ὕψουϲ ἀποϲτόλοιϲ, | ὑφ' ἧϲ καταλαμφθέντεϲ
τὴν Τριάδα πᾶϲιν ἐγνώριϲαν.

Νόμου τῶν φύϲεων δίχα | ξένον ἠκούετο·
τῶν μαθητῶν τῆϲ μιᾶϲ γὰρ | φωνῆϲ ἀπηχουμένηϲ,
πνεύματοϲ χάριτι | ποικίλωϲ ἐνηχοῦντο
λαοί, φυλαὶ καὶ γλῶϲϲαι, | τὰ θεῖα μεγαλεῖα
τῆϲ Τριάδοϲ γνῶϲιν μυούμενοι.

---

75 τοὺϲ] τρεῖϲ Barth. — 76 et 90 ἔργα κυρίου τὸν κύριον AV — 82 ἐρρητορεύον Barth. — 85 οἱ μὴ Barth., quod acrostichidis lectionem ἑορτάζομεν postulat — 92 διπείρᾳ Barth. — κυοφορήϲαϲαν V — 93 δανείϲαϲαν AV — 103 γὰρ τῆϲ μιᾶϲ A

ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑϹΚΗΝΟΥ ΚΑΝΟΝΕϹ.

I

Κανὼν ἰαμβικὸϲ εἰϲ τὴν Χριϲτοῦ γέννηϲιν (Δεκ. 25).

Ἡ ἀκροϲτιχίϲ:

Εὐεπίηϲ μελέεϲϲιν ἐφύμνια ταῦτα λιγαίνει
υἷα θεοῦ, μερόπων εἵνεκα τικτόμενον
ἐν χθονὶ καὶ λύοντα πολύϲτονα πήματα κόϲμου·
ἀλλ', ἄνα, ῥητῆραϲ ῥύεο τῶνδε πόνων.

ἦχοϲ α'.

ᾠδὴ α'.

Ἔϲωϲε λαὸν θαυματουργῶν δεϲπότηϲ,
Ὑγρὸν θαλάϲϲηϲ κῦμα χερϲώϲαϲ πάλαι·
Ἑκὼν δὲ τεχθεὶϲ ἐκ κόρηϲ, τρίβον βατὴν
Πόλου τίθηϲιν ἡμῖν, ὃν κατ' οὐϲίαν
Ἶϲόν τε πατρὶ καὶ βροτοῖϲ δοξάζομεν.

Ἤνεγκε γαϲτὴρ ἡγιαϲμένη λόγον,
Ϲαφῶϲ ἀφλέκτῳ ζωγραφουμένη βάτῳ,
Μιγέντα μορφῇ τῇ βροτηϲίᾳ θεόν,
Εὔαϲ τάλαιναν νηδὺν ἀρᾶϲ τῆϲ πάλαι
Λύοντα πικρᾶϲ, ὃν βροτοὶ δοξάζομεν.

Ἔδειξεν ἀϲτὴρ τὸν πρὸ ἡλίου λόγον,
Ἐλθόντα παῦϲαι τὴν ἁμαρτίαν, μάγοιϲ,
Ϲαφῶϲ πενιχρὸν εἰϲ ϲπέοϲ, τὸν ϲυμπαθῆ
Ϲὲ ϲπαργάνοιϲ ἑλικτὸν, ὃν γεγηθότεϲ
Ἴδον τὸν αὐτὸν καὶ βροτὸν καὶ κύριον.

ᾠδὴ γ'.

Νεῦϲον πρὸϲ ὕμνουϲ οἰκετῶν, εὐεργέτα,
Ἐχθροῦ ταπεινῶν τὴν ἐπηρμένην ὀφρύν,
Φέρων τε, παντεπόπτα, τῆϲ ἁμαρτίαϲ
Ὕπερθεν ἀκλόνητον ἐϲτηριγμένουϲ,
Μάκαρ, μελῳδοὺϲ τῇ βάϲει τῆϲ πίϲτεωϲ.

Νύμφηϲ πανάγνου τὸν πανόλβιον τόκον
Ἰδεῖν ὑπὲρ νοῦν ἠξιωμένοϲ χορὸϲ
Ἄγραυλοϲ ἐκλονεῖτο τῷ ξένῳ τρόπῳ
Τάξιν μελῳδοῦϲάν τε τῶν ἀϲωμάτων
Ἄνακτα Χριϲτὸν, ἀϲπόρωϲ ϲαρκούμενον.

Codd. ABC — v. 2 Exod. XIV. — 5 δοξάζωμεν A — 7 Exod. III — 8 θεοῦ A — 9 Gen. III — 11 Matth. II — 16 fort. ἱκετῶν, at conf. Cosm. VII 11. — 22 Luc. II.

Ὕψους ἀνάσσων οὐρανῶν, εὐσπλαγχνίᾳ
Τελεῖ καθ᾽ ἡμᾶς ἐξ ἀνυμφεύτου κόρης,
Ἄϋλος ὢν τὸ πρόσθεν, ἀλλ᾽ ἐπ᾽ ἐσχάτων
Λόγος παχυνθεὶς σαρκὶ, τὸν πεπτωκότα
Ἵνα πρὸς αὐτὸν ἑλκύσῃ πρωτόπλαστον.

Γένους βροτείου τὴν ἀνάπλασιν πάλαι
Ἄιδων προφήτης Ἀββακοὺμ προμηνύει,
Ἰδεῖν ἀφράστως ἀξιωθεὶς τὸν τύπον·
Νέον βρέφος γὰρ ἐξ ὄρους τῆς παρθένου
Ἐξῆλθε λαῶν εἰς ἀνάπλασιν λόγος.

ᾠδὴ δ΄.

Ἶσος προῆλθες τοῖς βροτοῖς ἑκουσίως,
Ὕψιστε, σάρκα προσλαβὼν ἐκ παρθένου,
Ἰὸν καθᾶραι τῆς δρακοντείας κάρας,
Ἄγων ἅπαντας πρὸς σέλας ζωηφόρον,
Θεὸς πεφυκὼς, ἐκ πυλῶν ἀνηλίων.

Ἔθνη τὰ πρόσθεν τῇ φθορᾷ βεβυσμένα,
Ὄλεθρον ἄρδην δυσμενοῦς πεφευγότα,
Ὑψοῦτε χεῖρας σὺν κρότοις ἐφυμνίοις,
Μόνον σέβοντες Χριστὸν ὡς εὐεργέτην,
Ἐν τοῖς καθ᾽ ἡμᾶς συμπαθῶς ἀφιγμένον.

Ῥίζης φυεῖσα τοῦ Ἰεσσαὶ, παρθένε,
Ὅρους παρῆλθες τῶν βροτῶν τῆς οὐσίας,
Πατρὸς τεκοῦσα τὸν πρὸ αἰώνων λόγον,
Ὡς ηὐδόκησεν αὐτὸς ἐσφραγισμένην
Νηδὺν διελθεῖν τῇ κενώσει τῇ ξένῃ.

ᾠδὴ ε΄.

Ἐκ νυκτὸς ἔργων ἐσκοτισμένοις πλάνης
Ἱλασμὸν ἡμῖν, Χριστὲ, τοῖς ἐγρηγόρως
Νῦν σοι τελοῦσιν ὕμνον ὡς εὐεργέτῃ,
Ἔλθοις πορίζων εὐχερῆ τε τὴν τρίβον,
Καθ᾽ ἣν ἀνατρέχοντες εὕροιμεν κλέος.

Ἀπηνὲς ἔχθος τὸ πρὸς αὐτὸν δεσπότης
Τεμὼν διαμπὰξ σαρκὸς ἐν παρουσίᾳ
Ἵνα κρατοῦντος ὤλεσε θυμοφθόρου,

30 ἑλκύσει B — πρωτόπλαστον scholiasta cod. A: πρωτόκτιστον A ex corr. BC, for πρωτόπλαστον ἑλκύσῃ — 34 Prec. Abbac. — 40 πηλῶν B — 44 σέβοντα Barth. — 46 πα[ρ]θένος . . . . παρῆλθε A. — 51 ἐσκοτισμένης A m. pr. — 52 ἱλασμὸς A m. pr. B — [5…] εὐεργέτης A — 58 ψυχοφθόρου B

Κόϲμον ϲυνάπτων ταῖϲ ἀΰλοιϲ οὐϲίαιϲ,
Τιθεὶϲ προϲηνῆ τὸν τεκόντα τῇ κτίϲει.

Ὁ λαὸϲ εἶδεν, ὁ πρὶν ἠμαυρωμένοϲ
Μεθ' ἡμέραν φῶϲ τῆϲ ἄνω φρυκτωρίαϲ·
Ἔθνη θεῷ δὲ κλῆρον υἱὸϲ προϲφέρει,
Νέμων ἐκεῖϲε τὴν ἀπόρρητον χάριν,
Οὗ πλεῖϲτον ἐξήνθηϲεν ἡ ἁμαρτία.

ᾠδὴ ϛ'.

Ναίων Ἰωνᾶϲ ἐν μυχοῖϲ θαλαττίοιϲ
Ἐλθεῖν ἐδεῖτο καὶ ζάλην ἀπαρκέϲαι·
Νυγεὶϲ ἐγὼ δὲ τοῦ τυραννοῦντοϲ βέλει,
Χριϲτὲ, προϲαυδῶ τὸν κακῶν ἀναιρέτην
Θᾶττον μολεῖν ϲε τῆϲ ἐμῆϲ ῥαθυμίαϲ.

Ὃϲ ἦν ἐν ἀρχῇ πρὸϲ θεὸν θεὸϲ λόγοϲ
Νυνὶ κρατύνει, μὴ ϲθένουϲαν τὴν πάλαι
Ἰδὼν φυλάξαι, τὴν καθ' ἡμᾶϲ οὐϲίαν,
Καθεὶϲ ἑαυτὸν δευτέρᾳ κοινωνίᾳ,
Αὖθιϲ προφαίνων τῶν παθῶν ἐλευθέραν.

Ἵκται δι' ἡμᾶϲ Ἀβραὰμ ἐξ ὀϲφύοϲ,
Λυγρῶϲ πεϲόνταϲ ἐν ζόφῳ τῶν πταιϲμάτων
Υἱοὺϲ ἐγεῖραι τῶν κάτω νενευκότων,
Ὁ φῶϲ κατοικῶν, καὶ φάτνην παρ' ἀξίαν
Νῦν εὐδοκήϲαϲ εἰϲ βροτῶν ϲωτηρίαν.

ᾠδὴ ζ'.

Τῷ παντάνακτοϲ ἐξεφαύλιϲαν πόθῳ
Ἄπλητα θυμαίνοντοϲ ἠγκιϲτρωμένοι
Παῖδεϲ τυράννου δύϲθεον γλωϲϲαλγίαν,
Οἷϲ εἴκαθε πῦρ ἄϲπετον, τῷ δεϲπότῃ
Λέγουϲιν· εἰϲ αἰῶναϲ εὐλογητὸϲ εἶ.

Ὑπηρέταϲ μὲν ἐμμανῶϲ καταφλέγει,
Ϲώζει δὲ παφλάζουϲα ῥοιζηδὸν νέουϲ,
Ταῖϲ ἑπταμέτροιϲ καύϲεϲι πυργουμένη,
Οὓϲ ἔϲτεφε φλὸξ, ἄφθονον τοῦ κυρίου
Νέμοντοϲ εὐϲεβείαϲ εἵνεκα δρόϲον.

Ἀρωγὲ Χριϲτὲ, τὸν βροτοῖϲ ἐναντίον,
Πρόβλημα τὴν ϲάρκωϲιν ἀρρήτωϲ ἔχων,

59 κόϲμου B — 66 Ion. II. — 68 τῷ B — 69 τῶν κακῶν A. — 71 Ioann. I. — 76 .tth. I. Luc. III. — 77 ϲκότει B. — 81 Daniel III. — 87 παφλάζουϲαν A.

Ἤισχυνας, ὄλβον τῆς θεώσεως φέρων,
Μορφούμενος νῦν· ἧστινος δι' ἐλπίδα
Ἄνωθεν εἰς κευθμῶνας ἤλθομεν ζόφου.

Τὴν ἀγριωπὸν ἀκρατῶς γαυρουμένην,
Ἄσεμνα βακχεύσασαν, ἐξοιστρουμένην
Κόσμου καθεῖλες πανσθενῶς ἁμαρτίαν·
Οὓς εἵλκυσε πρὶν, σήμερον τῶν ἀρκύων
Σώζεις δὲ σαρκωθεὶς ἑκὼν, εὐεργέτα.

ᾠδὴ η'.

Μήτραν ἀφλέκτως εἰκονίζουσι κόρης
Οἱ τῆς παλαιᾶς πυρπολούμενοι νέοι
Ὑπερφυῶς κύουσαν, ἐσφραγισμένην·
Ἄμφω δὲ δρῶσα θαυματουργίᾳ μιᾷ
Λαοὺς πρὸς ὕμνον ἐξανίστησι χάρις.

Λύμην φυγοῦσα τοῦ θεοῦσθαι τῇ πλάνῃ,
Ἄλληκτον ὑμνεῖ τὸν κενούμενον λόγον
Νεανικῶς ἅπασα σὺν τρόμῳ κτίσις,
Ἄδοξον εὖχος δειματουμένη φέρειν
Ῥευστὴ γεγῶσα, κἂν σοφῶς ἐκαρτέρει.

Ἥκεις, πλανῆτιν πρὸς νομὴν ἐπιστρέφων
Τὴν ἀνθοποιὸν ἐξ ἐρημαίων λόφων
Ἡ τῶν ἐθνῶν ἔγερσις ἀνθρώπων φύσιν,
Ῥώμην βιαίαν τοῦ βροτοκτόνου σβέσαι,
Ἀνὴρ φανείς τε καὶ θεὸς προμηθείᾳ.

ᾠδὴ θ'.

Στέργειν μὲν ἡμᾶς, ὡς ἀκίνδυνον φόβῳ,
Ῥᾷον σιωπήν· τῷ πόθῳ δὲ, παρθένε,
Ὕμνους ὑφαίνειν συντόνως τεθηγμένους
Ἐργῶδές ἐστιν, ἀλλὰ καὶ, μῆτερ, σθένος,
Ὅση πέφυκεν ἡ προαίρεσις, δίδου.

Τύπους ἀφεγγεῖς καὶ σκιὰς παρηγμένας,
Ὦ μῆτερ ἁγνὴ, τοῦ λόγου δεδορκότες
Νέον φανέντος ἐκ πύλης κεκλεισμένης,
Δοξούμενοί τε τῆς ἀληθείας φάος
Ἐπαξίως σὴν εὐλογοῦμεν γαστέρα.

---

95 κεθμῶνα A — 97 ἐξοιστρουμένην Ven.: ἐξοιστρουμένου A ἐξοιστρημένου B — 10 Daniel III. — 104 θαυματουργίαν μίαν A — 106 τὴν πλάνην C — 110 κἂν cum indicativ aoristi coniunctum habes apud Andream quoque I 194 — 116 φόβον B — 118 τεθειμένους Ven

Πόθου τετευχὼϲ καὶ θεοῦ παρουϲίαϲ
Ὁ χριϲτοτερπὴϲ λαὸϲ ἠξιωμένοϲ
Νῦν ποτνιᾶται τῆϲ παλιγγενεϲίαϲ
Ὡϲ ζωοποιοῦ· τὴν χάριν δέ, παρθένε,
Νέμοιϲ, ἄχραντε, προϲκυνῆϲαι τὸ κλέοϲ.

II

Κανὼν ἰαμβικὸϲ εἰϲ τὰ Θεοφάνεια (Ἰαν. 6).

Ἡ ἀκροϲτιχίϲ:

Ϲήμερον ἀχράντοιο βαλὼν θεοφεγγέϊ πυρϲῷ
Πνεύματοϲ ἐνθάπτει νάμαϲιν ἀμπλακίην
Φλέξαϲ παμμεδέοντοϲ ἐὺϲ πάϊϲ, ἠπιόων δὲ
Ὑμνηταῖϲ μελέων τῶνδε δίδωϲι χάριν.

ἦχοϲ β'.

ᾠδὴ α'.

Ϲτείβει θαλάϲϲηϲ κυματούμενον ϲάλον,
Ἤπειρον αὖθιϲ Ἰϲραὴλ δεδειγμένον·
Μέλαϲ δὲ πόντοϲ τριϲτάταϲ Αἰγυπτίων
Ἔκρυψεν ἄρδην ὑδατόϲτρωτοϲ τάφοϲ
Ῥώμῃ κραταιᾷ δεξιᾶϲ τοῦ δεϲπότου.

Ὄρθρου φανέντοϲ τοῖϲ βροτοῖϲ ϲελαϲφόρου
Νῦν ἐξ ἐρήμου πρὸϲ ῥοὰϲ Ἰορδάνου,
Ἄναξ ὑπέϲχεϲ ἡλίου ϲὸν αὐχένα,
Χώρου ζοφώδουϲ τὸν γενάρχην ἁρπάϲαι
Ῥύπου τε παντὸϲ ἐκκαθᾶραι τὴν κτίϲιν.

Ἄναρχε, ῥείθροιϲ ϲυνταφέντα ϲοι, λόγε,
Νέον περαίνειϲ τὸν φθαρέντα τῇ πλάνῃ,
Ταύτην ἀφράϲτωϲ πατρόθεν δεδεγμένοϲ
Ὄπα κρατίϲτην· οὗτοϲ ἠγαπημένοϲ
Ἰϲόϲ τέ μοι παῖϲ χρηματίζει τὴν φύϲιν.

ᾠδὴ γ'.

Ὅϲοι παλαιῶν ἐκλελύμεθα βρόχων,
Βορῶν λεόντων ϲυντεθλαϲμένων μύλαϲ,
Ἀγαλλιῶμεν καὶ πλατύνωμεν ϲτόμα,
Λόγῳ πλέκοντεϲ ἐκ λόγων μελῳδίαν,
Ὧι τῶν πρὸϲ ἡμᾶϲ ἥδεται δωρημάτων.

Codd. AB — v. 1 Exod. XIV — 5 τοῦ ὑψίϲτου ed. Paris. Ioannis Opp. a. 1712 — 7 Matth. III. Luc. III — 11 fort.: ϲυμβαφέντα. — 13 ὑψόθεν B — 14 Matth. III. Luc. III — 19 μελῳδίαϲ B

Νέκρωσιν ὁ πρὶν ἐμφυτεύσας τῇ κτίσει,
Θηρὸς κακούργου σχηματισθεὶς εἰς φύσιν,
Ἐπισκοτεῖται σαρκικῇ παρουσίᾳ,
Ὄρθρῳ φάναντι προσβαλὼν τῷ δεσπότῃ
Θλᾷν τὴν ἑαυτοῦ δυσμενεστάτην κάραν.

Ἕλκει προς αὐτὸν τὴν θεόδμητον φύσιν,
Γαστρὸς τυράννου συγκεχωσμένην ὅροις·
Γεννᾷ τε αὖθις γηγενῶν ἀναπλάσει,
Ἔργον φέριστον ἐκτελῶν ὁ δεσπότης·
Ἵκται γὰρ αὐτὴν ἐξαλεξῆσαι θέλων.

ᾠδὴ δ'.

Πυρσῷ καθαρθεὶς μυστικῆς θεωρίας,
Ὑμνῶν προφήτης τὴν βροτῶν καινουργίαν
Ῥήγνυσι γῆρυν πνεύματι κροτουμένην,
Σάρκωσιν ἐμφαίνουσαν ἀρρήτου λόγου,
Ὧι τῶν δυναστῶν τὰ κράτη συνετρίβη.

Πεμφθεὶς ὁ πατρὸς παμφαέστατος λόγος,
Νυκτὸς διῶσαι τὴν καχέσπερον σχέσιν
Ἔκριζον ἥκεις καὶ βροτῶν ἁμαρτίαν,
Υἷας συνελκῦσαί τε τῇ σῇ βαπτίσει,
Μάκαρ, φαεινοὺς ἐκ ῥοῶν Ἰορδάνου.

Αὐτὸν προσιδὼν τὸν περίκλυτον λόγον,
Τρανῶς ὁ κήρυξ ἐκβοᾶται τῇ κτίσει·
Οὗτος προὼν μου, δεύτερος τῷ σαρκίῳ,
Σύμμορφος ἐξέλαμψεν ἐνθέῳ σθένει,
Ἔχθιστον ἡμῶν ἐξελεῖν ἁμαρτίαν.

Νομὴν πρὸς αὐτὴν τὴν φερέσβιον φέρων
Θηρᾷ δρακόντων φωλεοῖς ἐπιτρέχων·
Ἄπλητα κύκλα καββαλὼν θεὸς λόγος,
Πτέρνῃ τε τὸν πλήττοντα παμπήδην γένος,
Τοῦτον καθειργνύς, ἐκσαώζει τὴν κτίσιν.

ᾠδὴ ε'.

Ἐχθροῦ ζοφώδη καὶ βεβορβορωμένον
Ἰὸν καθάρσει πνεύματος λελουμένοι

24 φάναντι Barth.: φανέντι AB. — 25 φλᾶν m. sec. AB — 27 γεννᾶται αὖθις A m pr. — 34 ἄρρητον A m. sec. B — 36 ὁ πατρὸς Barth. et sic alter scholiasta cod. A legisse videtur: πρὸς πατρὸς in ras. AB — 38 ἁμαρτίας Barth. et alter scholiasta cod. A — 4[illegible] Matth. III 11. Luc. III 16 — 51 ζοφώδους καὶ βεβορβορωμένου B

Νέαν προϲωρμίϲθημεν ἀπλανῆ τρίβον,
Ἄγουϲαν ἀπρόϲιτον εἰϲ θυμηδίαν,
Μόνοιϲ προϲιτὴν, οἷϲ θεὸϲ κατηλλάγη.

Ἀθρῶν ὁ πλάϲτηϲ ἐν ζόφῳ τῶν πταιϲμάτων
Ϲειραῖϲ ἀφύκτοιϲ, ὃν διαρθροῖ δακτύλοιϲ,
Ἵϲτηϲιν ἀμφ' ὤμοιϲιν ἐξάραϲ ἄνω,
Νῦν ἐν πολυρρύτοιϲι δίναιϲ ἐκπλύνων
Αἴϲχουϲ παλαιοῦ τῆϲ Ἀδὰμ καχεξίαϲ.

Μετ' εὐϲεβείαϲ προϲδράμωμεν εὐτόνωϲ
Πηγαῖϲ ἀχράντοιϲ ῥεύϲεωϲ ϲωτηρίου,
Λόγον κατοπτεύϲοντεϲ, ἐξ ἀκηράτου
Ἄντλημα προϲφέροντα δίψηϲ ἐνθέου,
Κόϲμου προϲηνῶϲ ἐξακεύμενον νόϲον.

ᾠδὴ ϛ'.

Ἱμερτὸν ἐξέφηνε ϲὺν πανολβίῳ
Ἤχῳ πατὴρ, ὃν γαϲτρὸϲ ἐξηρεύξατο·
Ναί, φηϲιν, οὗτοϲ ϲυμφυὴϲ γόνοϲ πέλων,
Φωταυγὸϲ ἐξώρουϲεν ἀνθρώπων γένουϲ
Λόγοϲ τ' ἐμοῦ ζῶν καὶ βροτὸϲ προμηθείᾳ.

Ἐκ ποντίου λέοντοϲ ὁ τριέϲπεροϲ
Ξένωϲ προφήτηϲ ἐγκάτοιϲ φλοιδούμενοϲ
Αὖθιϲ προῆλθε, τῆϲ παλιγγενεϲίαϲ
Ϲωτηρίαν δράκοντοϲ ἐκ βροτοκτόνου
Πᾶϲιν προφαίνων τῶν χρόνων ἐπ' ἐϲχάτων.

Ἀνειμένων πόλοιο παμφαῶν πτυχῶν
Μύϲτηϲ ὁρᾷ πρὸϲ πατρὸϲ ἐξικνούμενον
Μένον τε πνεῦμα τῷ παναχράντῳ λόγῳ,
Ἐπελθὸν ὡϲ πέλειαν ἀφράϲτῳ τρόπῳ,
Δήμοιϲ τε φαίνει προϲδραμὸν τῷ δεϲπότῃ.

ᾠδὴ ζ'.

Ἔφλεξε ῥείθρῳ τῶν δρακόντων τὰϲ κάραϲ
Ὁ τῆϲ καμίνου τὴν μετάρϲιον φλόγα
Νέουϲ φέρουϲαν εὐϲεβεῖϲ κατευνάϲαϲ·
Τὴν δυϲκάθεκτον ἀχλὺν ἐξ ἁμαρτίαϲ
Ὅλην πλύνει δὲ τῇ δρόϲῳ τοῦ πνεύματοϲ.

63 κατοπτεύοντεϲ B — ἀκηράτων A — 68 Matth. III. Luc. III. — 69 φωταυγὸϲ A: φώταυγοϲ B — 72 Ion. II. — 80 προϲδραμεῖν Barth. — 81 ῥεῖθρον A — 82 Daniel III.

Cὲ ζωγραφοῦcαν τὴν Ἀcύριον φλόγα
Ἑκcτῶcαν ἴcτης, εἰc δρόcον μετηγμένην,
Ὕδωρ ὅθεν νῦν ἀμφιέccαο φλέγον
Cίντιν κάκιcτον, Χριcτὲ, προcκεκευθμένον,
Πρὸc τὴν ὄλιcθον ἐκκαλούμενον τρίβον.

Ἀπορραγέντοc τοῦ Ἰορδάνου πάλαι
Ἰcθμῷ περᾶται λαὸc Ἰcραηλίτηc,
Cὲ τὸν κράτιcτον ἐκφοροῦντα τὴν κτίcιν
Ἠπειγμένωc νῦν ἐν ῥοαῖc διαγράφων
Πρὸc τὴν ἄρρευcτον καὶ ἀμείνονα τρίβον·

Ἴδμεν τὸ πρῶτον τὴν πανώλεθρον κλύcιν
Οἰκτρῶc cε πάντων εἰc φθορὰν παρειcάγειν,
Ὦ τριcμέγιcτα χρηματίζων καὶ ξένα,
Νῦν δὲ κλύcαντα, Χριcτὲ, τὴν ἁμαρτίαν
Δι᾿ εὐπάθειαν καὶ βροτῶν cωτηρίαν.

ᾠδὴ η'.

Ἐλευθέρα μὲν ἡ κτίcιc γνωρίζεται,
Υἱοὶ δὲ φωτὸc οἱ πρὶν ἐcκοτιcμένοι·
Μόνοc cτενάζει τοῦ cκότουc ὁ προcτάτηc·
Νῦν εὐλογείτω cυντόνωc τὸν αἴτιον
Ἡ πρὶν τάλαινα τῶν ἐθνῶν παγκληρία.

Τριττοὶ θεουδεῖc ἐμπύρωc δροcούμενοι
Αἰγλῆντα τριτταῖc παμφαῶc ἁγιcτείαιc
Cαφῶc ἐδήλουν τὴν ὑπέρτατον φύcιν,
Μίξει βροτείᾳ πυρπολοῦcαν ἐν δρόcῳ
Εὐκτῶc ἅπαcαν τὴν πανώλεθρον πλάνην.

Λευχειμονείτω πᾶcα γηΐνοc φύcιc,
Ἐκ πτώcεωc νῦν οὐρανῶν ἐπηρμένη·
Ὧι γὰρ τὰ πάντα cυντετήρηται λόγῳ
Νάουcι ῥείθροιc ἐκπλυθεῖcα πταιcμάτων
Τῶν πρὶν πέφευγεν ἐκφανῶc λελουμένη.

ᾠδὴ θ'.

Ὦ τῶν ὑπὲρ νοῦν τοῦ τόκου cου θαυμάτων,
Νύμφη πάναγνε, μῆτερ εὐλογημένη!

86 Ἀccύριον Barth. — 93 ἐμφοροῦντα Barth. — 96 Genes. VII. — 97 πάντων τὴν φθοράν A — 104 cυντόνοc A — 106 Daniel III. — 110 ὀλέθριον B — 114 ἐκπλυνθεῖcα A — 115 παμφαῶc B

Δι' ἧϲ τυχόντεϲ παντελοῦϲ ϲωτηρίαϲ
Ἐπάξιον κροτοῦμεν ὡϲ εὐεργέτι,
Δῶρον φέροντεϲ ὕμνον εὐχαριϲτίαϲ.

Ἴδμεν τὰ Μωϲεῖ τῇ βάτῳ δεδειγμένα,
Δεῦρο ξένοιϲ θεϲμοῖϲιν ἐξειργαϲμένα·
Ὣϲ γὰρ ϲέϲωϲται πυρφοροῦϲα παρθένοϲ,
Ϲελαϲφόρον τεκοῦϲα τὸν εὐεργέτην
Ἰορδάνου τε ῥεῖθρα προϲδεδεγμένον.

Χρίειϲ τελειῶν τὴν βρότειον οὐϲίαν,
Ἄναξ ἄναρχε, πνεύματοϲ κοινωνίᾳ·
Ῥοαῖϲ ἀχράντοιϲ ἐκκαθάραϲ καὶ ϲκότουϲ
Ἰϲχὺν θριαμβεύϲαϲ τε τὴν ἐπηρμένην
Νῦν εἰϲ ἄρηκτον ἐξαμείβεαι βίον.

III

Κανὼν ἰαμβικὸϲ εἰϲ τὴν Πεντηκοϲτήν (Πεντηκ. ϲελ. 200).

Ἡ ἀκροϲτιχίϲ:

Θειογενὲϲ λόγε, πνεῦμα παράκλητον πάλιν ἄλλον
Ἐκ γενέτου κόλπων ἧκαϲ ἐπιχθονίοιϲ,
Οἷα πυρὸϲ γλώϲϲῃϲι φέρον θεότητοϲ ἀΰλου
Ϲῆμα τεῆϲ φύτληϲ καὶ χάριν ὑμνοπόλοιϲ.

ἦχοϲ δ'.

ᾠδὴ α'.

Θείῳ καλυφθεὶϲ ὁ βραδύγλωϲϲοϲ γνόφῳ
Ἐρρητόρευϲε τὸν θεόγραφον νόμον·
Ἰλὺν γὰρ ἐκτινάξαϲ ὄμματοϲ νόου
Ὁρᾷ τὸν ὄντα καὶ μυεῖται πνεύματοϲ
Γνῶϲιν, γεραίρων ἐνθέοιϲ τοῖϲ ᾄϲμαϲιν.

Ἔφη τὸ ϲεπτὸν καὶ ϲεβάϲμιον ϲτόμα·
Νοϲφιϲμὸϲ ὑμῖν οὐ γενήϲεται, φίλοι·
Ἐγὼ γὰρ εἰϲ πατρῷον ὕψιϲτον θρόνον
Ϲυνεδριάζων ἐκχεῶ τοῦ πνεύματοϲ,
Λάμψαι ποθοῦϲι τὴν χάριν τὴν ἄφθονον.

Ὅροϲ βεβηκὼϲ ἀτρεκέϲτατοϲ λόγοϲ
Γαληνόμορφον ἐκτελεῖ τὴν καρδίαν·

119 εὐεργέτι A cum schol., B: εὐεργέτην ed. Venet. εὐεργέτῃ Barth. — 121 Exod. III. — 123 ὡϲ codd. edd. — ϲέϲωϲτο A — 128 fort. τοῦ ϲκότουϲ, nisi nimia licentia Ioannem in ordine verborum mutando usum statuas. — 129 δέ B

Codd. AB — v. 1 Exod. XIX. XX. — 7 Ioann. XIV. — 11 ὅροϲ B, quo spectat alterius scholiastae cod. A interpretatio: ὁ τοῦ πατρὸϲ ὅροϲ (sic) καὶ λόγοϲ.

Ἔργον γὰρ ἐκπεράνας ηὔφρανε φίλους
Πνοῇ βιαίᾳ καὶ πυρὸς γλωττήμαςι,
Νείμας τὸ πνεῦμα Χριςτὸς, ὡς ὑπέςχετο.

ᾠδὴ γ΄.

Ἔρρηξε γαςτρὸς ἠτεκνωμένης πέδας
Ὕβριν τε δυςκάθεκτον εὐτεκνουμένης
Μόνη προςευχὴ τῆς προφήτιδος πάλαι
Ἄννης, φερούςης πνεῦμα ςυντετριμμένον
Πρὸς τὸν δυνάςτην καὶ θεὸν τῶν γνώςεων.

Ἄληπτός ἐςτιν ἡ θεαρχικωτάτη·
Ῥήτρας γὰρ ἐξέφηνε τοὺς ἀγραμμάτους
Πλάνης ςοφιςτὰς ςυςτομίζοντας λόγῳ
Καὶ τῆς βαθείας νυκτὸς ἐξαιρουμένους
Λαοὺς ἀπείρους ἀςτραπῇ τοῦ πνεύματος.

Ἦν ἐκπορευτὸν ἐξ ἀγεννήτου φάους
Τὸ πανςθενουργόφωτον, ἄφθιτον ςέλας,
Οὗ τὴν δι᾽ υἱοῦ πατρικῆς ἐξουςίας
Νῦν ἐμφανίζει ςυμφυῆ φρυκτωρίαν
Πυρῶδες ἦχος ἐν Σιὼν τοῖς ἔθνεςιν.

ᾠδὴ δ΄.

Ἄναξ ἀνάκτων, οἷος ἐξ οἵου μόνος
Λόγος προελθὼν πατρὸς ἐξ ἀναιτίου,
Ἰςοςθενές ςου πνεῦμα τοῖς ἀποςτόλοις
Νημερτὲς ἐξέπεμψας ὡς εὐεργέτης
Ἄιδουςι δόξαν τῷ κράτει ςου, κύριε.

Λουτρὸν τὸ θεῖον τῆς παλιγγενεςίας
Λόγῳ κεραννὺς ςυντεθειμένῃ φύςει
Ὀμβροβλυτεῖς μοι ῥεῖθρον ἐξ ἀκηράτου
Νενυγμένης ςου πλευρᾶς, ὦ θεοῦ λόγε,
Ἐπιςφραγίζων τῇ ζέςει τοῦ πνεύματος.

Κάμπτει τὰ πάντα τῷ παρακλήτῳ γόνυ
Γόνῳ τε πατρὸς, πατρὶ ςυμφυεςτάτοις·

13 ἔργῳ B — εὔφρανε A — 14 Act. Apostol. II — 16 Reg. I 1, 11—17. — 22 ῥήτρας AB, cuius vocabuli usitata forma ῥήτορας in nonnullas editiones irrepsit — 23 πλάνης A et alter scholiasta cod. A: ἄλις B et prior scholiasta cod. A — 25 ἀςτραπή AB — 26 Ioann. XV 26 — 28 πατρικῆς ςυνουςίας alter scholiasta cod. A: πατρικὴν ςυνουςίαν AB — 30 πυρώδης B, quod ut grammatices legibus commendari, ita metrices reiici adnotavit alter schol. cod. A — Act. Apostol. II 2—4. — 34 ἐξέπεμψας B m. sec. et schol. cod. A: ἐξέλαμψας A, B m. pr. — 35 δόξα Barth. — 38 ὀμβροβλυτοῖς A — 42 ςυμφυεςτάτοις B: ςυμφυεςτάτῳ varia lectio cod. B ςυμφυεςτάτου A

Ἐν γὰρ προϲώποιϲ οἶδε τριττοῖϲ οὐϲίαν
Νημερτὲϲ ἀπρόϲιτον, ἄχρονον, μίαν·
Ἔλαμψε φῶϲ γὰρ ἡ χάριϲ τοῦ πνεύματοϲ.

Τελεῖϲθε πάντεϲ τῇ θεαρχικωτάτῃ,
Ὅϲοι λατρευταὶ τριϲϲοφεγγοῦϲ οὐϲίαϲ·
Ὑπερφυῶϲ τελεῖ γὰρ ὡϲ εὐεργέτηϲ
Καὶ πυρϲομορφοῖ Χριϲτὸϲ εἰϲ ϲωτηρίαν,
Ὅλην πορίζων τὴν χάριν τοῦ πνεύματοϲ.

ᾠδὴ ε΄.

Λυτήριον κάθαρϲιν ἀμπλακημάτων,
Πυρίπνοον δέξαϲθε πνεύματοϲ δρόϲον,
Ὦ τέκνα φωτόμορφα τῆϲ ἐκκληϲίαϲ·
Νῦν ἐκ Ϲιὼν γὰρ ἐξελήλυθεν νόμοϲ,
Ἡ γλωϲϲοπυρϲόμορφοϲ πνεύματοϲ χάριϲ.

Καθώϲπερ ηὐδόκηϲεν, αὐτεξουϲίωϲ
Ἀδέϲποτον κάτειϲι πνεῦμα πατρόθεν,
Ϲοφίζον ἐν γλώϲϲῃϲι τοὺϲ ἀποϲτόλουϲ,
Ἐπιϲφραγίζον τὸν φερέϲβιον λόγον,
Πατροϲθενὲϲ ξύμμορφον, ὃν ϲωτὴρ ἔφη.

Ἴητο τὰϲ φρέναϲ μὲν ἐξ ἁμαρτίαϲ
Χαὐτῷ κατεϲκεύαζε τῶν ἀποϲτόλων
Θεὸϲ λόγοϲ πάνταρχοϲ ἄχραντον δόμον,
Ὁμοϲθενοῦϲ δὲ καὶ ϲυνουϲιωμένου
Νῦν ἐγκατοικίζεται πνεύματοϲ φάοϲ.

ᾠδὴ ϛ΄.

Ἱλαϲμὸϲ ἡμῖν, Χριϲτέ, καὶ ϲωτηρία
Ὁ δεϲπότηϲ ἔλαμψαϲ ἐκ τῆϲ παρθένου,
Ἵν᾽ ὡϲ προφήτην θηρὸϲ ἐκ θαλαττίου
Ϲτέρνων Ἰωνᾶν, τῆϲ φθορᾶϲ διαρπάϲῃϲ
Ὅλον τὸν Ἀδὰμ παγγενῆ πεπτωκότα.

Ἱμερτὸν ἡμῖν εὐθὲϲ ἐν τοῖϲ ἐγκάτοιϲ
Αἰωνίωϲ ἕξουϲι πνεῦμα καινίϲοιϲ
Πατροπροβλήτωϲ πάντοτε ξυνημμένον,

47 τῆϲ τριφεγγοῦϲ Barth. — οὐϲία A cum rasura post α — 49 πυρϲολαμπεῖ Barth. — 51 λουτήριον A — 60 πατροϲθενὲϲ ξύμμορφον Barth., quocum conspirat interpretatio codicis A ὁ τῷ πατρὶ ϲύμμορφοϲ καὶ ὁμοδύναμοϲ: πατρόθεν δξύμμορφον AB, nisi quod πατρώθεν in A exaratum est — 62 κατεϲκεύαϲε A — 64 ϲυνουϲιουμένου B — 65 metricum vitium tollere veriti sumus — 72 καινίϲαιϲ Barth. — 73 πάντοθεν ϲυνημμένον ed. Paris. opp. Ioannis a. 1712.

Ὕλης ἀπεχθοῦς καυστικὸν μολυσμάτων,
Ῥύπου τε παντὸς ῥυπτικὸν, παντοκράτορ.

Ὀρεκτὸν ἀξίωμα τοῖς ἀποστόλοις,
Σιωνίταις μίμνουσι σὴν παρουσίαν
Γνώρισμα, πνεῦμα πατρογεννήτου λόγου,
Λέσχην ἀπηνῆ τῶν ἐθνῶν ποππυσμάτων
Ὤκιστα δεικνὺς πυρπνόως καθιδρύεις.

ᾠδὴ ζ'.

Σύμφωνον ἐθρόησεν ὀργάνων μέλος,
Σέβειν τὸ χρυσότευκτον ἄψυχον βρέτας·
Ἡ τοῦ παρακλήτου δὲ φωσφόρος χάρις
Σεβασμιάζει τοῦ βοᾶν, τριὰς μόνη,
Ἰσοσθενὴς, ἄναρχος, εὐλογητὸς εἶ.

Φωνὴν προφητόφθεγκτον ἠγνοηκότες
Ἔφασκον οἰνότευκτον ἄφρονες μέθην,
Ῥήσεις ξέναι ἠκούσθησαν ὡς ἀποστόλων·
Οἱ εὐσεβεῖς δέ σοι βοῶμεν ὀξέως,
Νεουργὲ τοῦ σύμπαντος, εὐλογητὸς εἶ.

Θέσπιν κατεβρόντησεν ὁ βλέπων ὄπα
Ἔνθους Ἰωὴλ τοῦ θεαρχικωτάτου,
Οἷς ἐκχεῶ, φήσαντος, οἷά περ λόγου,
Τοῦ πνεύματός μου, συμβοήσουσι· φύσις
Ἡ τρισσοφεγγόφωτος, εὐλογητὸς εἶ.

Τρίτη μὲν εὐμοίρησεν ὡρῶν τὴν χάριν,
Ὅπως ὑπεμφήνειε τρεῖς ὑποστάσεις
Σέβειν ἐν ἁπλότητι τῆς ἐξουσίας·
Ἀλλ' ἐν μιᾷ νῦν ἡμερῶν τῇ κυρίᾳ
Υἱὸς, πατὴρ καὶ πνεῦμα, εὐλογητὸς εἶ.

ᾠδὴ η'.

Λύει τὰ δεσμὰ καὶ δροσίζει τὴν φλόγα
Ὁ τρισσοφεγγὴς τῆς θεαρχίας τύπος·
Ὑμνοῦσι παῖδες· εὐλογείτω τὸν μόνον
Σωτῆρα καὶ παντουργὸν ὡς εὐεργέτην
Ἡ δημιουργηθεῖσα σύμπασα κτίσις.

77 σοῦ A — 80 καθιδρύεις Barth. cum scholiasta cod. A: καθιδρύει AB — 87 Ac Apostol. II 13 — 88 ξενηκούσθησαν AB; nos integras potius partes excudendas curavimu — 89 βοῶμεν ἐνθέως Barth. — 92 Joel II 28 — 93 λόγον A — 96 τριττὴ A —. Act. Aposto II 15 — 103 τὸν ὕμνον A

Μνήμην ὁ Χριϲτὸϲ τῶν βροτοϲϲόων ἐπῶν,
Ἃ πατρακουϲθεὶϲ τοῖϲ ἀποϲτόλοιϲ ἔφη,
Τὸ πνεῦμα τεύχει γλωϲϲοπυρϲεύτῳ θέᾳ
Ἐφίζον· εὐλογητὸν οἰκειουμένη,
Ἠλλοτριωμένη δὲ, μέλπει ϲε κτίϲιϲ.

Cωτηριωδῶϲ, αὐτοδεϲπότωϲ ἰὸν,
Φῶϲ αὐτολαμπὲϲ καὶ παρεκτικὸν φάουϲ
Ὑπάρχον ἧκεϲ ἐμφοροῦν ἀποϲτόλοιϲ,
Τιμῆεν ὡϲ ἄημα, τοῖϲ ϲοῖϲ οἰκέταιϲ
Λελιπαρημένον τε πνεῦμα προϲνέμειϲ.

Ἤιϲε προφητῶν πνευματέμφορον ϲτόμα
Cὴν ϲωματωδῶϲ, ὦ μέδων, ἐνδημίαν·
Καὶ πνεῦμα κόλπων πατρικῶν προηγμένον,
Ἀκτιϲτοϲυμπλαϲτουργοϲύνθρονον ϲέθεν
Ἵηϲ ἐνανθρωπήϲεωϲ πιϲτοῖϲ ϲέβαϲ.

ᾠδὴ θ'.

Χαίροιϲ, ἄναϲϲα, μητροπάρθενον κλέοϲ·
Ἅπαν γὰρ εὐδίνητον, εὔλαλον ϲτόμα
Ῥητρεῦον οὐ ϲθένει ϲε μέλπειν ἀξίωϲ·
Ἰλιγγιᾷ δὲ νοῦϲ ἅπαϲ ϲου τὸν τόκον
Νοεῖν· ὅθεν ϲε ϲὺν πόθῳ δοξάζομεν.

Ὕδειν ἔοικε τὴν φυϲίζωον κόρην·
Μόνη γὰρ ἐν δίνῃϲι κεκρύφει λόγον,
Νοϲοῦϲαν ἀλθαίνοντα τὴν βροτῶν φύϲιν,
Ὃϲ δεξιοῖϲ κλιϲμοῖϲι νῦν ἱδρυμένοϲ
Πατρὸϲ πέπομφε τὴν χάριν τοῦ πνεύματοϲ.

Ὅϲοιϲ ἔπνευϲεν ἡ θεόρρυτοϲ χάριϲ,
Λάμποντεϲ, ἀϲτράπτοντεϲ, ἠλλοιωμένοι
Ὀθνείαν ἀλλοίωϲιν, εὐπρεπεϲτάτην,
Ἰϲοϲθενοῦϲαν τὴν ἄτμητον εἰδότεϲ
Cοφὴν, τρίφεγγον οὐϲίαν δοξάζομεν.

109 ἐφίζων altera lectio cod. B — 113 ἧκαϲ A — ἀποϲτόλουϲ A — 115 δὲ Barth. — τροϲνέμοιϲ A et Barth. — 119 ἄκτιϲτον ϲυμπλάϲτουργον ed. Paris. opp. Ioannis a. 1712 contra numerorum leges — 120 ἵηϲ de coni. scripsimus: ἱεὶϲ AB Barth. — 121 μητροπαρθένων B — 125 ϲὺν πόθῳ A m. sec.: πόθῳ A m. pr. ϲυμφώνωϲ B — 126 Ὕδειν Barth. quod acrostichide confirmatur: ᾄδειν AB

IV

Κανὼν εἰϲ τὴν κυριακὴν τοῦ Πάϲχα (Πεντηκ. ϲελ. 2)

ἦχοϲ α'.

ᾠδὴ α'.

Ἀναϲτάϲεωϲ ἡμέρα, | λαμπρυνθῶμεν λαοί·
πάϲχα κυρίου, πάϲχα·
ἐκ γὰρ θανάτου πρὸϲ ζωὴν | καὶ ἐκ γῆϲ πρὸϲ οὐρανὸν
Χριϲτὸϲ ὁ θεὸϲ
ἡμᾶϲ διεβίβαϲεν, | ἐπινίκιον ᾄδονταϲ.

Καθαρθῶμεν τὰϲ αἰϲθήϲειϲ | καὶ ὀψόμεθα
τῷ ἀπροϲίτῳ φωτὶ
τῆϲ ἀναϲτάϲεωϲ Χριϲτὸν | ἐξαϲτράπτοντα, καὶ
«χαίρετε» φάϲκοντοϲ
τρανῶϲ ἀκουϲόμεθα, | ἐπινίκιον ᾄδοντεϲ.

Οὐρανοὶ μὲν ἐπαξίωϲ | εὐφραινέϲθωϲαν,
γῆ δὲ ἀγαλλιάϲθω·
ἑορταζέτω δὲ κόϲμοϲ | ὁρατόϲ τε ἅπαϲ
καὶ ἀόρατοϲ·
Χριϲτὸϲ γὰρ ἐγήγερται, | εὐφροϲύνη αἰώνιοϲ.

ᾠδὴ γ.

Δεῦτε πόμα πίωμεν καινὸν
οὐκ ἐκ πέτραϲ ἀγόνου τερατουργούμενον,
ἀλλ' ἀφθαρϲίαϲ πηγὴν | ἐκ τάφου ὀμβρήϲαντοϲ Χριϲτοῦ,
ἐν ᾧ ϲτερεούμεθα.

Νῦν πάντα πεπλήρωται φωτόϲ,
οὐρανόϲ τε καὶ γῆ καὶ τὰ καταχθόνια·
ἑορταζέτω δὲ πᾶϲα κτίϲιϲ | τὴν ἔγερϲιν Χριϲτοῦ,
ἐν ᾧ ϲτερεούμεθα.

Χθὲϲ ϲυνεθαπτόμην ϲοι, Χριϲτέ,
ϲυνεγείρομαι ϲήμερον ἀναϲτάντι ϲοι·
ϲυνεϲταυρούμην ϲοι χθέϲ· | αὐτόϲ με ϲυνδόξαϲον, ϲωτήρ,
ἐν τῇ βαϲιλείᾳ ϲου.

ᾠδὴ δ'.

Ἐπὶ τῆϲ θείαϲ φυλακῆϲ | ὁ θεηγόροϲ Ἀββακοὺμ
ϲτήτω μεθ' ἡμῶν καὶ δεικνύτω

Cod. A — cantatur canon per totam hebdomadem paschalem et insequentibus dieb dominicis usque ad diem assumptionis Christi. — v. 5 ᾄδοντα A — 9 φάϲκοντα Barth. 22 δέ] γοῦν Barth. — πᾶϲα ἡ A — 23 ἐν ᾗ ἐϲτερέωται Barth. — 26 ϲῶτερ A — 28 Abbac.

φαεcφόρον ἄγγελον | διαπρυcίωc λέγοντα·
cήμερον cωτηρία τῷ κόcμῳ,
ὅτι ἀνέcτη Χριcτὸc ὡc παντοδύναμοc.

Ἄρcην μὲν ὡc διανοίξαc | τὴν παρθενεύουcαν νηδὺν
πέφηνε Χριcτόc· ὡc βροτὸc δὲ
ἀμνὸc προcηγόρευται· ἄμωμοc δὲ ὡc ἄγευcτοc
κηλῖδοc τὸ ἡμέτερον πάcχα,
καὶ ὡc θεὸc ἀληθὴc τέλειοc λέλεκται.

Ὡc ἐνιαύcιοc ἀμνὸc | ὁ εὐλογούμενοc ἡμῖν
cτέφανοc Χριcτὸc ἑκουcίωc
ὑπὲρ πάντων τέθυται | πάcχα τὸ καθαρτήριον,
καὶ αὖθιc ἐκ τοῦ τάφου ὡραῖοc
δικαιοcύνηc ἡμῖν ἔλαμψεν ἥλιοc.

Ὁ θεοπάτωρ μὲν Δαυῒδ | πρὸ τῆc cκιώδουc κιβωτοῦ
ἥλατο cκιρτῶν· | ὁ λαὸc δὲ
τοῦ θεοῦ ὁ ἅγιοc, | τὴν τῶν cυμβόλων ἔκβαcιν
ὁρῶντεc, εὐφρανθῶμεν ἐνθέωc,
ὅτι ἀνέcτη Χριcτὸc ὡc παντοδύναμοc.

ᾠδὴ ε΄.

Ὀρθρίcωμεν ὄρθρου βαθέοc
καὶ ἀντὶ μύρου τὸν ὕμνον | προcοίcομεν τῷ δεcπότῃ,
καὶ Χριcτὸν ὀψόμεθα | δικαιοcύνηc ἥλιον,
πᾶcι ζωὴν ἀνατέλλοντα.

Τὴν ἄμετρόν cου εὐcπλαγχνίαν
οἱ ταῖc τοῦ ᾄδου cειραῖc cυνεχόμενοι δεδορκότεc
πρὸc τὸ φῶc ἠπείγοντο, | Χριcτέ, ἀγαλλομένῳ ποδί,
πάcχα κροτοῦντεc αἰώνιον.

Προcέλθωμεν λαμπαδηφόροι
τῷ προϊόντι Χριcτῷ | ἐκ τοῦ μνήματοc ὡc νυμφίῳ,
καὶ cυνεορτάcωμεν | ταῖc φιλεόρτοιc τάξεcι
πάcχα θεοῦ τὸ cωτήριον.

ᾠδὴ ϛ΄.

Κατῆλθεc ἐν τοῖc κατωτάτοιc τῆc γῆc
καὶ cυνέτριψαc μοχλοὺc | αἰωνίουc κατόχουc
πεπεδημένων, Χριcτέ, | καὶ τριήμεροc
ὡc ἐκ κήτουc Ἰωνᾶc | ἐξανέcτηc τοῦ τάφου.

33 ἄρcεν A Barth. — διανοίξαc A: διανοῖξαν Barth. — 39 χρηcτὸc Barth. — 40 τέθειται A — 43 Paralip. I, XIII 8 — 61 αἰωνίωc schol. legisse videtur, nescio an recte — 62 πεπεδημένουc A

Φυλάξας τὰ cήμαντρα cῶα, Χριcτὲ,
ἐξηγέρθης τοῦ τάφου, | ὁ τὰς κλεῖς τῆς παρθένου
μὴ λυμηνάμενος | ἐν τῷ τόκῳ cου,
καὶ ἀνέῳξας ἡμῖν | παραδείcου τὰς πύλας.

Cωτήρ μου τὸ ζῶν τε καὶ ἄθυτον
ἱερεῖον ὡς θεὸς | cεαυτὸν ἑκουcίως
προcαγαγὼν τῷ πατρὶ | cυνανέcτηcας
παγγενῆ τὸν Ἀδὰμ, | ἀναcτὰς ἐκ τοῦ τάφου.

ᾠδὴ ζ΄.

Ὁ παῖδας ἐκ καμίνου ῥυcάμενος
γενόμενος ἄνθρωπος
πάcχει ὡς θνητὸς | καὶ διὰ πάθους τὸ θνητὸν
ἀφθαρcίας ἐνδύει εὐπρέπειαν,
ὁ μόνος εὐλογητὸς τῶν πατέρων
θεὸς καὶ ὑπερένδοξος.

Γυναῖκες μετὰ μύρων θεόφρονες
ὀπίcω cου ἔδραμον·
ὃν δὲ ὡς θνητὸν | μετὰ δακρύων ἐζήτουν,
προcεκύνηcαν χαίρουcαι ζῶντα θεὸν,
καὶ πάcχα τὸ μυcτικὸν cοῖς, Χριcτὲ,
μαθηταῖς εὐηγγελίcαντο.

Θανάτου ἑορτάζομεν νέκρωcιν,
ᾅδου τὴν καθαίρεcιν,
ἄλλης βιοτῆς | τῆς αἰωνίου ἀπαρχὴν,
καὶ cκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον,
τὸν μόνον εὐλογητὸν τῶν πατέρων
θεὸν καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος
αὕτη ἡ cωτήριος
νὺξ καὶ φωταυγὴς, | τῆς λαμπροφόρου ἡμέρας
τῆς ἐγέρcεως οὖcα προάγγελος,
ἐν ᾗ τὸ ἄχρονον φῶς ἐκ τάφου
cωματικῶς πᾶcιν ἐπέλαμψεν.

ᾠδὴ η΄.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα,
ἡ μία τῶν cαββάτων, | ἡ βαcιλὶς καὶ κυρία,

68 cῶτερ Barth. — 78 Matth. XXVIII. Marc. XVI. Luc. XXIV. Ioann. XX — 82 τοῖ Χριcτοῦ μαθηταῖς A — 96 an ἡ κλυτή?

ἑορτῶν ἑορτὴ | καὶ πανήγυρίc ἐcτι πανηγύρεων,
ἐν ᾗ εὐλογοῦμεν | Χριcτὸν εἰc τοὺc αἰῶναc.

Δεῦτε τοῦ καινοῦ τῆc ἀμπέλου γεννήματοc,
τῆc θείαc εὐφροcύνηc, | ἐν τῇ εὐcήμῳ ἡμέρᾳ
τῆc ἐγέρcεωc | βαcιλείαc τε Χριcτοῦ κοινωνήcωμεν,
ὑμνοῦντεc αὐτὸν | ὡc θεὸν εἰc τοὺc αἰῶναc.

Ἆρον κύκλῳ τοὺc ὀφθαλμούc cου, Cιών, καὶ ἴδε·
ἰδοὺ γὰρ ἥκαcί cοι | θεοφεγγεῖc ὡc φωcτῆρεc
ἐκ δυcμῶν καὶ βορρᾶ | καὶ θαλάccηc καὶ ἑῴαc τὰ τέκνα cου,
ἐν cοὶ εὐλογοῦντα | Χριcτὸν εἰc τοὺc αἰῶναc.

Πάτερ παντοκράτορ καὶ λόγε καὶ πνεῦμα,
τριcὶν ἑνιζομένη | ἐν ὑποcτάcεcι φύcιc,
ὑπερούcιε | καὶ ὑπέρθεε, εἰc cὲ βεβαπτίcμεθα
καὶ cὲ εὐλογοῦμεν | εἰc πάνταc τοὺc αἰῶναc.

ᾠδὴ θ'.

Φωτίζου, φωτίζου ἡ νέα Ἱερουcαλήμ·
ἡ γὰρ δόξα κυρίου | ἐπὶ cὲ ἀνέτειλε·
χόρευε νῦν καὶ ἀγάλλου, Cιών·
cὺ δέ, ἁγνή, | τέρπου, θεοτόκε,
ἐν τῇ ἐγέρcει τοῦ τόκου cου.

Ὦ θείαc! ὦ φίληc! ὦ γλυκυτάτηc cου φωνῆc!
μεθ' ἡμῶν ἀψευδῶc γὰρ | ἐπηγγείλω ἔcεcθαι
μέχρι τερμάτων αἰῶνοc, Χριcτέ·
ἣν οἱ πιcτοὶ | ἄγκυραν ἐλπίδοc
κατέχοντεc ἀγαλλόμεθα.

Ὦ πάcχα τὸ μέγα | καὶ ἱερώτατον, Χριcτέ·
ὦ cοφία καὶ λόγε | τοῦ θεοῦ καὶ δύναμιc,
δίδου ἡμῖν ἐκτυπώτερον
cοῦ μεταcχεῖν | ἐν τῇ ἀνεcπέρῳ
ἡμέρᾳ τῆc βαcιλείαc cου.

V

Κανὼν εἰc τὴν κυριακὴν τοῦ Ἀντίπαcχα (Πεντηκ. cελ. 26)

ἦχοc α'.

ᾠδὴ α'.

Ἄιcωμεν πάντεc λαοὶ | τῷ ἐκ πικρᾶc δουλείαc
Φαραὼ τὸν Ἰcραὴλ ἀπαλλάξαντι

104 duae syllabae abundant, sed eiecto Cιὼν numerorum aequalitatem restituere dubito. cf. Ies. LX 4. — 106 ἑώcαc A — 117 ὀφειλῆc A cum schol. -- 118 Matth. XXVIII 20.

καὶ ἐν βυθῷ θαλάςςης | ποδὶ ἀβρόχως ὁδηγήςαντι
ᾠδὴν ἐπινίκιον, | ὅτι δεδόξαςται.

Cήμερον ἔαρ ψυχῶν, | ὅτι Χριςτὸς ἐκ τάφου
ὥςπερ ἥλιος ἐκλάμψας τριήμερος
τὸν ζοφερὸν χειμῶνα | ἀπήλαςε τῆς ἁμαρτίας ἡμῶν·
αὐτὸν ἀνυμνήςωμεν, | ὅτι δεδόξαςται.

Ἡ βαςιλὶς τῶν ὡρῶν | τῇ λαμπροφόρῳ ἡμέρᾳ
ἡμερῶν τε βαςιλίδι φανότατα
δορυφοροῦςα τέρπει | τὸν ἔκκριτον τῆς ἐκκληςίας λαόν,
ἀπαύςτως ἀνυμνοῦςα | τὸν ἀναςτάντα Χριςτόν.

Πύλαι θανάτου, Χριςτέ, | οὐδὲ τοῦ τάφου ςφραγῖδες,
οὐδὲ κλεῖθρα τῶν θυρῶν ςοι ἀντέςτηςαν·
ἀλλ᾽ ἀναςτὰς ἐπέςτης | τοῖς φίλοις ςου, εἰρήνην, δέςποτα,
δωρούμενος τὴν πάντα | νοῦν ὑπερέχουςαν.

ᾠδὴ γ΄.

Cτερέωςόν με, Χριςτέ, | ἐπὶ τὴν ἄςειςτον πέτραν
τῶν ἐντολῶν ςου,
καὶ φώτιςόν με | φωτὶ τοῦ προςώπου ςου·
οὐκ ἔςτι γὰρ ἅγιος πλήν ςου, φιλάνθρωπε.

Καινοὺς ἀντὶ παλαιῶν, | ἀντὶ φθαρτῶν δὲ ἀφθάρτους
διὰ ςταυροῦ ςου,
Χριςτέ, τελέςας | ἡμᾶς ἐν καινότητι
ζωῆς πολιτεύεςθαι ἀξίως προςέταξας.

Ἐν τάφῳ περικλειςθεὶς | τῇ περιγράπτῳ ςαρκί ςου
ὁ ἀπερίγραπτος,
Χριςτέ, ἀνέςτης· | θυρῶν κεκλειςμένων τε
ἐπέςτης ςοῦ τοῖς μαθηταῖς, παντοδύναμε.

Τοὺς μώλωπάς ςου, Χριςτέ, | οὓς ἑκουςίως ὑπέςτης
ὑπὲρ ἡμῶν,
τοῖς μαθηταῖς ςου | φυλάξας μαρτύριον
τῆς ςῆς ἔδειξας ἐνδόξου ἀναςτάςεως.

ᾠδὴ δ΄.

Μέγα τὸ μυςτήριον | τῆς ςῆς, Χριςτέ, οἰκονομίας·
τοῦτο γὰρ ἄνωθεν προβλέπων | θεοπτικῶς ὁ Ἀββακούμ,

Cod. A — v. 11 ἔγκριτον Barth. — 14 ςου ἀντέςτηςαν A — 15 ἐξαναςτὰς Barth. un syllaba superflua — Luc. XXIX 36. Ioann. XX 19 — 17 ἄςειςτον πέτραν A: in Penteco stario et Hirmologio voce ἄςειςτον omissa numeri misere turbati sunt — 24 ἀξίως cor ruptum esse videtur, possis emendare θείως — 27 Χριςτὸς A — δέ Barth. — 30 fort. ὑπὲρ ἀνθρώπων — 32 ἐνδόξως A, modis magis consulueris, si scribas ἔδειξας ἐνδόξου τῆ ςῆς ἀναςτάςεως.

ἐξῆλθεϲ, ἐβόα ϲοι,
  εἰϲ ϲωτηρίαν λαοῦ ϲου, φιλάνθρωπε.

Χολῆϲ μὲν ἐγεύϲατο, | τὴν πάλαι γεῦϲιν ἰώμενοϲ·
νυνὶ δὲ ϲὺν κηρίῳ μέλιτοϲ | τοῦ φωτιϲμοῦ μεταδιδοὺϲ
Χριϲτὸϲ τῷ προπάτορι
  καὶ τῆϲ αὐτοῦ γλυκείαϲ μεθέξεωϲ.

Χαίρειϲ ἐρευνώμενοϲ· | διό, φιλάνθρωπε, πρὸϲ τοῦτο
προτρέπειϲ τὸν Θωμᾶν, προτείνων | διαπιϲτοῦντι τὴν πλευρὰν,
τῷ κόϲμῳ πιϲτούμενοϲ
  τὴν ϲὴν, Χριϲτὲ, τριήμερον ἔγερϲιν.

Πλοῦτον ἀρυϲάμενοϲ | ἐκ θηϲαυροῦ τοῦ ἀϲυλήτου,
τῆϲ θείαϲ, εὐεργέτα, λόγχῃ | διανυγείϲηϲ ϲου πλευρᾶϲ,
ϲοφίαϲ καὶ γνώϲεωϲ
  ἀναπιμπλᾷ τὸν κόϲμον ὁ Δίδυμοϲ.

Ϲοῦ ἡ παμμακάριϲτοϲ | ὑμνεῖται γλῶϲϲα, ὦ Δίδυμε·
πρώτη γὰρ εὐϲεβῶϲ κηρύττει | τὸν ζωοδότην Ἰηϲοῦν
θεόν τε καὶ κύριον,
  ἐκ τῆϲ ἁφῆϲ πληϲθεῖϲα τῆϲ χάριτοϲ.

ᾠδὴ ε΄.

Ἐκ νυκτὸϲ ὀρθρίζοντεϲ ὑμνοῦμέν ϲε, Χριϲτὲ,
τὸν τῷ πατρὶ ϲυνάναρχον | καὶ ϲωτῆρα τῶν ψυχῶν ἡμῶν·
τὴν εἰρήνην τῷ κόϲμῳ | παράϲχου, φιλάνθρωπε.

Ἐπιϲτὰϲ τοῖϲ φίλοιϲ ἀθυμοῦϲιν ὁ ϲωτὴρ
τῇ παρουϲίᾳ ἅπαϲαν | ἀπελαύνει τὴν κατήφειαν
καὶ ϲκιρτᾶν διεγείρει | ἐν τῇ ἀναϲτάϲει αὐτοῦ.

Ὢ τῆϲ ἀληθῶϲ ἐπαινουμένηϲ τοῦ Θωμᾶ
φρικτῆϲ ἐγχειρήϲεωϲ! | τολμηρῶϲ γὰρ ἐψηλάφηϲε
τὴν πλευρὰν τὴν τῷ θείῳ | πυρὶ ἀπαϲτράπτουϲαν.

Ἀπιϲτίαν πίϲτεωϲ γεννήτριαν ἡμῖν
τὴν τοῦ Θωμᾶ ἀνέδειξαϲ· | ϲὺ γὰρ πάντα τῇ ϲοφίᾳ ϲου
προνοεῖϲ ϲυμφερόντωϲ, | Χριϲτὲ, ὡϲ φιλάνθρωποϲ.

ᾠδὴ ϛ΄.

Τὸν προφήτην διέϲωϲαϲ
  ἐκ τοῦ κήτουϲ, φιλάνθρωπε·
κἀμὲ τοῦ βυθοῦ τῶν πταιϲμάτων | ἀνάγαγε, δέομαι.

35 Prec. Abbac. 13 — 38 τοῦ om. A — 39 Χριϲτοῦ A — 41 χαίροιϲ A — 58 ἐν om. Barth. 60 fort.: φρικτῆϲ τῆϲ ἐγχειρήϲεωϲ

Τὸν Θωμᾶν οὐ κατέλιπες
  βαπτιζόμενον, δέcποτα,
βυθῷ ἀπιcτίαc, παλάμαc | προτείναc εἰc ἔρευναν.

Ὁ cωτὴρ ἡμῶν ἔλεγε·
  ψηλαφῶντέc με ἴδετε
ὀcτέα καὶ cάρκα φοροῦντα· | ἐγὼ οὐκ ἠλλοίωμαι.

Τὴν πλευρὰν ἐψηλάφηcε
  καὶ πιcτεύcαc ἐπέγνω cε
Θωμᾶc, μὴ παρὼν cου τῇ πρώτῃ | εἰcόδῳ, cωτὴρ ἡμῶν.

ᾠδὴ ζ′.

Εἰκόνι λατρεύειν | μουcικῆc cυμφωνίαc
  cυγκαλουμένηc λαοὺc
ἐκ τῶν ᾠδῶν Cιὼν ᾄδοντεc | πατρικῶc οἱ παῖδεc Δαυῒδ
  τυράννου ἔλυcαν | τὸ παλίμφημον δόγμα,
καὶ τὴν φλόγα εἰc δρόcον μετέβαλον,
ὕμνον ἀναμέλποντεc· ὁ ὑπερυψούμενοc
  τῶν πατέρων καὶ ἡμῶν | θεόc, εὐλογητὸc εἶ.

Ὡc πρώτη ὑπάρχει | ἡμερῶν καὶ κυρία
  ἡ λαμπροφόροc αὕτη,
ἐν ᾗ ἀγάλλεcθαι ἄξιον | τὸν καινὸν καὶ θεῖον λαόν·
  ἐν τρόμῳ φέρει γὰρ | καὶ αἰῶνοc τὸν τύπον,
ὡc ὀγδοὰc τελοῦcα, τοῦ μέλλοντοc·
ὕμνον ἀναμέλποντα· | ὁ ὑπερυψούμενοc
  τῶν πατέρων καὶ ἡμῶν | θεὸc εὐλογητὸc εἶ.

Ὁ μόνοc τολμήcαc | τῇ ἀπίcτῳ τε πίcτει
  εὐεργετήcαc ἡμᾶc
Θωμᾶc ὁ Δίδυμοc λύει μὲν | τὴν ζοφώδη ἄγνοιαν
  τοῖc πᾶcι πέραcι | τῇ πιcτῇ ἀπιcτίᾳ·
ἑαυτῷ δὲ τὸν cτέφανον πλέκει, cαφῶc
λέγων· cὺ εἶ κύριοc | ὁ ὑπερυψούμενοc
  τῶν πατέρων καὶ ἡμῶν | θεὸc εὐλογητὸc εἶ.

Οὐ μάτην διcτάcαc | ὁ Θωμᾶc τῇ ἐγέρcει
  cου οὐ κατέθετο,
ἀλλ' ἀναμφίλεκτον ἔcπευδεν | ἀποδεῖξαι ταύτην, Χριcτέ,
  τοῖc πᾶcιν ἔθνεcιν· | ὅθεν δι' ἀπιcτίαc
πιcτωcάμενοc πάνταc ἐδίδαξε

75 ἐπέγνωκε omisso cε Barth. — 76 cῶτερ A — 86 λαὸν Barth. et schol.: ναὸν A — 89 ante ὁ ὑπερυψούμενοc totum membrum in cod. et Pentecostario intercidit, quam lacunam ut explerem, ὕμνον ἀναμέλποντα addidimus — 91 ἀπλήcτω A cum schol.

λέγειν· cὺ εἶ κύριος, | ὁ ὑπερυψούμενος
τῶν πατέρων καὶ ἡμῶν | θεὸς εὐλογητὸς εἶ.

Ἐμφόβως τὴν χεῖρα | ὁ Θωμᾶς τῇ πλευρᾷ cου
τῇ ζωηφόρῳ, Χριcτέ,
ἐνθεὶς ὑπότρομος ᾔcθετο | ἐνεργείας, cῶτερ, διπλῆς
τῶν δύο φύcεων | τῶν ἐν cοὶ ἡνωμένων
ἀcυγχύτως καὶ πίcτει ἐκραύγαζε
λέγων· cὺ εἶ κύριος, | ὁ ὑπερυψούμενος
τῶν πατέρων καὶ ἡμῶν | θεὸς εὐλογητὸς εἶ.

ᾠδὴ η΄.

Τὸν ἐν φλογὶ πυρὸς | καιομένης καμίνου
διαφυλάξαντα παῖδας
καὶ ἐν μορφῇ ἀγγέλου | cυγκαταβάντα τούτοις
ὑμνεῖτε κύριον
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἐπιποθήcας cου | τὴν χαρμόcυνον θέαν
τὸ πρὶν ἠπίcτει Θωμᾶς·
ἀξιωθεὶς δὲ ταύτης | θεὸν καὶ κύριόν cε
ἐκάλει, δέcποτα,
ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἀναcχόμενον | τῆς Θωμᾶ ἀπιcτίας
καὶ ὑποδείξαντα πλευρὰν
καὶ τῇ αὐτοῦ παλάμῃ | ἀκριβολογηθέντα
ὑμνεῖτε κύριον
καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Cοῦ τὸ περίεργον | θηcαυρὸν κεκρυμμένον
ἡμῖν ἀνέῳξε, Θωμᾶ·
θεολογήcας γλώccῃ γὰρ | θεοφορουμένῃ,
ὑμνεῖτε, ἔλεγες
καὶ ὑπερυψοῦτε Χριcτὸν εἰς τοὺς αἰῶνας.

ᾠδὴ θ΄.

Cὲ τὴν φαεινὴν λαμπάδα | καὶ μητέρα τοῦ φωτός,
τὴν ἀρίζηλον δόξαν
καὶ ἀνωτέραν πάντων τῶν ποιημάτων
ἐν ὕμνοις μεγαλύνομεν.

Cοῦ τὴν φαεινὴν ἡμέραν | καὶ ὑπέρλαμπρον, Χριcτέ,
τὴν ὁλόφωτον χάριν,

116 ὑπερυψοῦτε αὐτὸν A — 119 δὲ add. m. sec. A — 132 φωτὸς A cum schol.: θεοῦ Barth. — 135 ὃν ὕμνοις A

ἐν ᾗ ὡραῖος κάλλει τοῖς μαθηταῖς σου
ἐπέστης, μεγαλύνομεν.

Σὲ τὸν χοϊκῇ παλάμῃ | ψηλαφώμενον πλευρὰν
καὶ μὴ φλέξαντα ταύτην
πυρὶ τῷ τῆς ἀΰλου θείας οὐσίας
ἐν ὕμνοις μεγαλύνομεν.

Σὲ τὸν ὡς θεὸν ἐκ τάφου | ἀναστάντα Ἰησοῦν
οὐ βλεφάροις ἰδόντες,
ἀλλὰ καρδίας πόθῳ πεπιστευκότες
ἐν ὕμνοις μεγαλύνομεν.

VI

Κανὼν εἰς τὴν Ἀνάληψιν τοῦ Χριστοῦ (Πεντηκ. σελ. 150)

ἦχος πλ. α΄.

ᾠδὴ α΄.

Τῷ σωτῆρι θεῷ, | τῷ ἐν θαλάσσῃ λαὸν
ποσὶν ἀβρόχοις | ὁδηγήσαντι
καὶ Φαραὼ πανστρατιᾷ | καταποντίσαντι,
αὐτῷ μόνῳ ᾄσωμεν, | ὅτι δεδόξασται.

Ἄισωμεν πάντες λαοὶ
τῷ ἐπὶ ὤμων Χερουβὶμ
ἀναληφθέντι | μετὰ δόξης Χριστῷ
καὶ συγκαθίσαντι ἡμᾶς
ἐν δεξιᾷ τοῦ πατρὸς
ᾠδὴν ἐπινίκιον, | ὅτι δεδόξασται.

Τὸν μεσίτην θεοῦ
καὶ ἀνθρώπων Χριστὸν
χοροὶ ἀγγέλων | θεασάμενοι
μετὰ σαρκὸς ἐν ὑψίστοις | ἐξεπλήττοντο,
συμφώνως δὲ ἀνέμελπον
ὕμνον ἐπινίκιον.

ᾠδὴ γ΄.

Δυνάμει τοῦ σταυροῦ σου, Χριστέ,
στερέωσόν μου τὴν διάνοιαν
εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σου
τὴν σωτήριον ἀνάληψιν.

Ἀνέπτης, ζωοδότα Χριστέ,
πρὸς τὸν πατέρα καὶ ἀνύψωσας
ἡμῶν τὸ γένος, φιλάνθρωπε,
τῇ ἀφάτῳ εὐσπλαγχνίᾳ σου.

Αἱ τάξεις τῶν ἀγγέλων, Χριστέ,
βροτείαν φύσιν θεασάμεναι
συνανιοῦσάν σοι ἀπαύστως
ἐκπληττόμεναι ἀνύμνουν σε.

ᾠδὴ δ΄.

Εἰσακήκοα, κύριε, ἀκοὴν
τῆς δυναστείας τοῦ σταυροῦ,
ὡς παράδεισος ἠνοίγη δι' αὐτοῦ,
καὶ ἐβόησα·
δόξα τῇ δυνάμει σου, κύριε.

Ἀνελήφθης ἐν δόξῃ ὁ τῶν ἀγγέλων
βασιλεύς, τὸν παράκλητον

Cod. A — v. 6 Marc. XVI 19. Luc. XXIV 51. Act. apostol. I 9. — 9 fort.: τῶν ἀνθρώπων. — 11 fort.: τοῖς ὑψίστοις. — 12 post tertiam stropham alias duas et in hac et in altera oda addit Pentecostarium — 17 ἀνῆλθες Barth. — 21 Χριστέ] σωτήρ Barth. — 24 ἐδόξαζον omisso σε A — 26 τοῦ σταυροῦ σου Barth.

ἡμῖν ἐκ τοῦ πατρὸς ἀποστέλλων·
διὸ βοῶμεν·
δόξα, Χριστέ, τῇ ἀναλήψει σου.

Ὡς ἀνῆλθεν ὁ σωτὴρ πρὸς τὸν πατέρα
σὺν σαρκί, κατεπλάγησαν
αὐτῷ αἱ τῶν ἀγγέλων στρατιαὶ
καὶ ἐβόησαν·
δόξα, Χριστέ, τῇ ἀναλήψει σου.

Αἱ τῶν ἄνω δυνάμεις ταῖς ἀνωτέραις
ἐβόων, πύλας ἄρατε
Χριστῷ τῷ ἡμετέρῳ βασιλεῖ,
ὃν ἀνυμνοῦμεν
ἅμα τῷ πατρὶ καὶ τῷ πνεύματι.

ᾠδὴ ε΄.

Ὀρθρίζοντες βοῶμέν σοι, κύριε·
σῶσον ἡμᾶς·
σὺ γὰρ εἶ θεὸς ἡμῶν,
ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

Πληρώσας εὐφροσύνης τὰ σύμπαντα,
ἐλεῆμον,
ταῖς ἄνω δυνάμεσι
μετὰ σαρκὸς ἐπεδήμησας.

Ἀγγέλων αἱ δυνάμεις αἰρόμενον
σὲ ἰδοῦσαι,
τὰς πύλας, ἐκραύγαζον,
τῷ βασιλεῖ ἡμῶν ἄρατε.

ᾠδὴ ς΄.

Ἐκύκλωσέ με ἄβυσσος, | ταφή μοι τὸ κῆτος ἐγένετο·
ἐγὼ δὲ ἐβόησα | πρὸς σὲ τὸν φιλάνθρωπον,
καὶ ἔσωσέ με | ἡ δεξιά σου, κύριε.

Ἐσκίρτησαν ἀπόστολοι, | ὁρῶντες μετάρσιον σήμερον
τὸν κτίστην αἰρόμενον, | ἐλπίδι τοῦ πνεύματος
καὶ φόβῳ ἔκραζον· | δόξα τῇ ἀνόδῳ σου.

Ἐπέστησαν οἱ ἄγγελοι | βοῶντες, Χριστέ, τοῖς μαθηταῖς σου·
ὃν τρόπον κατείδετε | Χριστὸν ἀνερχόμενον,
σαρκὶ ἐλεύσεται | δίκαιος πάντων κριτής.

Ὡς εἶδόν σε, σωτὴρ ἡμῶν, | αἱ ἄνω δυνάμεις ἐν ὑψίστοις
αἰρόμενον σύσσωμον, | ἐν φόβῳ ἐκραύγαζον·
μεγάλη, δέσποτα, | ἡ φιλανθρωπία σου.

ᾠδὴ ζ΄.

Ὁ ἐν καμίνῳ πυρὸς | τοὺς ὑμνολόγους σώσας παῖδας
εὐλογητὸς ὁ θεός, | ὁ τῶν πατέρων ἡμῶν.

31 ἀποστεῖλαι Barth. cf. Luc. XXIV 49. Ioann. XV 26. Act. apostol. I 4 — 32 διὸ schol. Barth.: ἵνα A — 35 αὐτὸν A — 37 ἄνω] ἀγγέλων Barth. — 40 σὺν πατρὶ Barth. post quartam stropham θεοτοκίον addit Pentecostarium — 49 post tertiam stropham duae aliae in Pentecostario additae sunt — 53 secunda et tertia stropha inverso ordine in Pentecostario leguntur — 54 φερόμενον A — 56 Act. apostol. I 10—11. — 58 οὕτω σαρκὶ A — ἁπάντων A — 59 δυνάμεις αἱ οὐράνιαι εἰς ὕψος Barth., quae lectio nisi eiecto articulo αἱ probari non potest. — 60 ἐκραύγαζον λέγουσα Barth. — 61 post quartam stropham θεοτοκίον addit Pentecostarium — 62 παῖδας σώσας A, quod non recepimus, quia in tertia stropha idem codex collocationem verborum ἄρας φύσιν comprobat

Ἐπὶ τῶν ὤμων, Χριστέ, | τὴν πλανηθεῖσαν ἄρας φύσιν
ἀναληφθεὶς τῷ θεῷ | καὶ πατρὶ προσήγαγες.

Ὁ ἐν νεφέλῃ φωτὸς | ἀναληφθεὶς καὶ σώσας κόσμον
εὐλογητὸς ὁ θεὸς, | ὁ τῶν πατέρων ἡμῶν.

Ὁ ἀνελθὼν ἐπὶ γῆς | πρὸς τὸν ἀσώματον πατέρα
εὐλογητὸς ὁ θεὸς, | ὁ τῶν πατέρων ἡμῶν.

ᾠδὴ η'.

Τὸν ἐκ πατρὸς πρὸ αἰώνων | γεννηθέντα υἱὸν καὶ θεὸν
καὶ ἐπ' ἐσχάτων τῶν χρόνων | σαρκωθέντα ἐκ παρθένου μητρὸς,
ἱερεῖς, ὑμνεῖτε, | λαὸς ὑπερυψοῦτε | εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐν δυσὶ ταῖς οὐσίαις | ἀναπτάντα ζωοδότην Χριστὸν
εἰς οὐρανοὺς μετὰ δόξης | καὶ πατρὶ συγκαθεζόμενον,
ἱερεῖς, ὑμνεῖτε, | λαὸς ὑπερυψοῦτε | εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐκ δουλείας τὴν κτίσιν | τῶν εἰδώλων λυτρωσάμενον
καὶ παραστήσαντα ταύτην | ἐλευθέραν τῷ ἰδίῳ πατρὶ,
ἱερεῖς, ὑμνεῖτε, | λαὸς ὑπερυψοῦτε | εἰς πάντας τοὺς αἰῶνας.

Τὸν τῇ αὐτοῦ καταβάσει | καθελόντα τὸν ἀντίπαλον
καὶ τῇ αὐτοῦ ἀναβάσει | ἀνυψώσαντα τὸν ἄνθρωπον,
ἱερεῖς, ὑμνεῖτε, | λαὸς ὑπερυψοῦτε | εἰς πάντας τοὺς αἰῶνας.

ᾠδὴ θ'.

Σὲ τὴν ὑπὲρ νοῦν καὶ λόγον μητέρα θεοῦ,
τὴν ἐν χρόνῳ τὸν ἄχρονον | ἀφράστως κυήσασαν
οἱ πιστοὶ ὁμοφρόνως μεγαλύνομεν.

Σὲ τὸν λυτρωτὴν τοῦ κόσμου, Χριστὸν τὸν θεόν,
οἱ ἀπόστολοι βλέποντες | ἐνθέως ὑψούμενον,
μετὰ δέους σκιρτῶντες ἐμεγάλυνον.

Σὲ τὸν καταβάντα ἕως ἐσχάτου τῆς γῆς
καὶ τὸν ἄνθρωπον σώσαντα | καὶ τῇ ἀναβάσει σου
ἀνυψώσαντα, τοῦτον μεγαλύνομεν.

Χαῖρε, θεοτόκε μῆτερ Χριστοῦ τοῦ θεοῦ,
ὃν ἐκύησας, σήμερον | ἐκ γῆς ἀνιπτάμενον
σὺν ἀγγέλοις ὁρῶσα ἐμεγάλυνες.

---

68 ἀνελθὼν ἐν σαρκὶ Barth. — 69 quintam stropham addit Pentecostarium — 72 αὐτὸν εἰς τοὺς αἰῶνας A — 78 σὲ σωτῆρ ὑμνοῦμεν καὶ σὲ ὑπερυψοῦμεν Barth. — 81 θεοτοκίον addit Pentecostarium — 87 inter alteram et tertiam duae aliae strophae insertae sunt in Pentecostario — 91 τοῦ θεοῦ om. A

VII

Κανὼν εἰς τὴν Κοίμηςιν τῆς θεοτόκου (Αὐγ. 15)

ἦχος δ'.

ᾠδὴ α'.

Ἀνοίξω τὸ cτόμα μου,
καὶ πληρωθήcεται πνεύματοc·
καὶ λόγον ἐρεύξομαι | τῇ βαcιλίδι μητρί·
καὶ ὀφθήcομαι | φαιδρῶc πανηγυρίζων·
καὶ ᾄcω γηθόμενοc | ταύτηc τὰ θαύματα.

Παρθένοι νεάνιδεc,
cὺν Μαριὰμ τῇ προφήτιδι
ᾠδὴν τὴν ἐξόδιον | νῦν ἀλαλάξατε·
ἡ παρθένοc γὰρ | καὶ μόνη θεομήτωρ
πρὸc λῆξιν οὐράνιον | διαβιβάζεται.

Ἀξίωc ὡc ἔμψυχον
cὲ οὐρανὸν ὑπεδέξατο
οὐράνια, πάναγνε, | θεῖα cκηνώματα·
καὶ παρέcτηκαc | φαιδρῶc ὡραϊcμένη
ὡc νύμφη πανάμωμοc
τῷ βαcιλεῖ καὶ θεῷ.

ᾠδὴ γ'.

Τοὺc cοὺc ὑμνολόγουc, θεοτόκε,
ἡ ζῶcα καὶ ἄφθονοc πηγή,
θίαcον cυγκροτήcανταc
πνευματικὸν cτερέωcον,
καὶ ἐν τῇ θείᾳ μνήμῃ cου
cτεφάνων δόξηc ἀξίωcον.

Θνητῆc ἐξ ὀcφύοc προαχθεῖcα
τῇ φύcει κατάλληλον, ἁγνή,
τὴν ἔξοδον διήνυcαc·
τεκοῦcα δὲ τὴν ὄντωc ζωὴν
πρὸc τὴν ζωὴν μεθέcτηκαc
τὴν θείαν καὶ ἐνυπόcτατον.

Δῆμοc θεολόγων ἐκ περάτων,
ἐξ ὕψουc ἀγγέλων δὲ πληθὺc
πρὸc τὴν Cιὼν ἠπείγοντο
παντοδυνάμῳ νεύματι,
ἀξιοχρέωc, δέcποινα,
τῇ cῇ ταφῇ λειτουργήcοντεc.

ᾠδὴ δ'.

Τὴν ἀνεξιχνίαcτον | θείαν βουλὴν
τῆc ἐκ τῆc παρθένου cαρκώcεωc
cοῦ τοῦ ὑψίcτου
ὁ προφήτηc Ἀββακοὺμ
κατανοῶν ἐκραύγαζε·
δόξα τῇ δυνάμει cου, κύριε.

Θάμβοc ἦν θεάcαcθαι | τὸν οὐρανὸν
τοῦ παμβαcιλέωc τὸν ἔμψυχον
τοὺc κενεῶναc
ὑπερχόμενον τῆc γῆc·
ὡc θαυμαcτὰ τὰ ἔργα cου!
δόξα τῇ δυνάμει cου, κύριε.

Ἐν τῇ μεταcτάcει cου, | μῆτερ θεοῦ,
τὸ εὐρυχωρότατον cῶμά cου
καὶ θεοδόχον
τῶν ἀγγέλων cτρατιαὶ
ἱερωτάταιc πτέρυξι
φόβῳ καὶ χαρᾷ cυνεκάλυπτον.

Cod. A — v. 4 φαιδρὸc A — 5 τὰ θαύματα A cum schol.: τὴν κοίμηcιν Barth. — 7 Exod. XV 20—21. — 9 θεομήτωρ] θεοτόκοc Barth. — 12 ὑπεδέξαντο Barth. — 18 cυγκροτήcονταc A, sed aoriston scholiasta legisse videtur — 29 ἀγγέλων τε A — 33 λειτουργήcαντεc A — 34 primam stropham, cum parum apte cum reliquis cohaereat, non Ioannes composuisse, sed tamquam hirmum suo carmini proposuisse videtur, quod idem sentio de reliquis huius canonis carmniibus, quae quatuor strophis constant — 35 τῆc ἐκ τῆc Barth.: τὴν ἐκ A — 38 κατανοῶν Barth.: ἐξεcτηκὼc A, κατανοῶν ἐξεcτηκὼc scholiasta legisse videtur — Abbac. prec. 2. — 43 ὑπερχόμενοc A

Εἰ ὁ ἀκατάληπτος | ταύτης καρπὸς,
δι' ὃν οὐρανὸς ἐχρημάτισε,
ταφὴν ὑπέστη
ἑκουσίως ὡς θνητὸς,
πῶς τὴν ταφὴν ἀρνήσεται
ἡ ἀπειρογάμως κυήσασα;

ᾠδὴ ε΄.

Ἐξέστη τὰ σύμπαντα
ἐπὶ τῇ θείᾳ δόξῃ σου·
σὺ γὰρ, ἀπειρόγαμε παρθένε,
γῆθεν μετέστης | πρὸς αἰωνίους μονὰς
καὶ πρὸς ἀτελεύτητον ζωὴν,
πᾶσι τοῖς ὑμνοῦσί σε
σωτηρίαν βραβεύουσα.

Κροτείτωσαν σάλπιγγες
τῶν θεολόγων σήμερον·
γλῶσσα δὲ πολύφθογγος ἀνθρώπων
νῦν εὐφημείτω· | περιηχείτω ἀὴρ,
ἀπείρῳ λαμπόμενος φωτί·
ἄγγελοι ὑμνείτωσαν
τῆς πανάγνου τὴν κοίμησιν.

Τὸ σκεῦος διέπρεπε
τῆς ἐκλογῆς τοῖς ὕμνοις σου
ὅλος ἐξιστάμενος, παρθένε,
ἔκδημος, ὅλος | ἱερωμένος θεῷ,
τοῖς πᾶσι θεόληπτος καὶ ὢν
ὄντως καὶ δεικνύμενος,
θεοτόκε πανύμνητε.

ᾠδὴ ϛ΄.

Τὴν θείαν ταύτην καὶ πάνδημον
τελοῦντες ἑορτὴν οἱ θεόφρονες
τῆς θεομήτορος
δεῦτε τὰς χεῖρας κροτήσωμεν,
τὸν ἐξ αὐτῆς τεχθέντα
πιστῶς δοξάζοντες.

Ἐκ σοῦ ζωὴ ἀνατέταλκε,
τὰς κλεῖς τῆς παρθενίας μὴ λύσασα·
πῶς οὖν τὸ ἄχραντον
ζωαρχικόν τέ σου σκήνωμα
τῆς τοῦ θανάτου πείρας
γέγονε μέτοχον;

Ζωῆς ὑπάρξασα τέμενος
ζωῆς τῆς ἀϊδίου τετύχηκας·
διὰ θανάτου γὰρ
πρὸς τὴν ζωὴν μεταβέβηκας
ἡ τὴν ζωὴν τεκοῦσα | τὴν ἐνυπόστατον.

ᾠδὴ ζ΄.

Οὐκ ἐλάτρευσαν | τὴν κτίσιν οἱ θεόφρονες
παρὰ τὸν κτίσαντα,
ἀλλὰ πυρὸς ἀπειλὴν | ἀνδρείως πατήσαντες
ἔχαιρον ψάλλοντες· | ὑπερύμνητε,
ὁ τῶν πατέρων κύριος | καὶ θεὸς εὐλογητὸς εἶ.

Νεανίσκοι καὶ | παρθένοι τῆς παρθένου τε
καὶ θεομήτορος
τὴν μνήμην σέβοντες, | πρεσβῦται καὶ ἄρχοντες
καὶ βασιλεῖς σὺν κριταῖς | μελῳδήσατε·
ὁ τῶν πατέρων κύριος | καὶ θεὸς εὐλογητὸς εἶ.

59 δόξῃ] μνήμῃ A — 61 inde ab γῆθεν μετέστης antiquam hirmi formam, quam a poeta sic, uti cum Bartholomaeo scripsimus, variatam esse scholiasta testatur, librarius cod. A retinuit — 71 πανάγνου] παρθένου Barth. — 74 contortam verborum structuram equidem expedire nequeo, nisi neutrius generis formas ὅλον ἐξιστάμενον κ. τ. λ. reponam. 79 πάνδημον A cum schol.: πάντιμον Barth. — 83 πιστῶς A cum schol.: θεὸν Barth. — 88 τοῦ om. A — 94 τῇ κτίσει Barth. — 97 χαίροντες ἔψαλλον Barth.

Caλπιcάτωcαν ⁝ τῇ cάλπιγγι τοῦ πνεύματοc
ὄρη οὐράνια,
ἀγαλλιάcθωcαν | βουνοί, καὶ cκιρτάτωcαν
θεῖοι ἀπόcτολοι· | ἡ πανήγυριc
τῆc θεοτόκου cήμερον· | μυcτικῶc εὐωχηθῶμεν.

Ἡ πανίεροc | μετάcταcιc τῆc θείαc cου
καὶ ἀκηράτου μητρὸc
τὰ ὑπερκόcμια ⁝ τῶν ἄνω δυνάμεων
ἤθροιcε τάγματα | cυνευφραίνεcθαι
τοῖc ἐπὶ γῆc cε μέλπουcιν· | ὁ θεὸc εὐλογητὸc εἶ.

ᾠδὴ η΄.

Παῖδαc εὐαγεῖc ἐν τῇ καμίνῳ
ὁ τόκοc τῆc θεοτόκου διεcώcατο·
τότε μὲν τυπούμενοc, | νῦν δὲ ἐνεργούμενοc
τὴν οἰκουμένην ἅπαcαν | ἐγείρει ψάλλουcαν·
τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε | εἰc πάνταc τοὺc αἰῶναc.

Τὴν μνήμην cου, ἄχραντε παρθένε,
ἀρχαί τε καὶ ἐξουcίαι cὺν δυνάμεcιν,
ἄγγελοι, ἀρχάγγελοι, | θρόνοι, κυριότητεc,
τὰ Χερουβὶμ δοξάζουcι | καὶ τὰ φρικτὰ Cεραφίμ·
ἀνθρώπων δὲ τὸ γένοc ὑμνοῦμεν
καὶ ὑπερυψοῦμεν | εἰc πάνταc τοὺc αἰῶναc,

Ὁ ξένωc οἰκήcαc, θεοτόκε,
ἐν τῇ ἀχράντῳ νηδύϊ cου cαρκούμενοc,
οὗτοc τὸ πανίερον | πνεῦμά cου δεξάμενοc
ἐν ἑαυτῷ κατέπαυcεν ὡc ὀφειλέτηc υἱόc·
διό cε, τὴν παρθένον, ὑμνοῦμεν
καὶ ὑπερυψοῦμεν | εἰc πάνταc τοὺc αἰῶναc.

Ὢ τῶν ὑπὲρ ἔννοιαν θαυμάτων
τῆc ἀειπαρθένου τε καὶ θεομήτοροc·
τάφον γὰρ οἰκήcαcα | ἔδειξε παράδειcον·
ᾧ παρεcτῶτεc cήμερον χαίροντεc ψάλλομεν·
τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε | εἰc πάνταc τοὺc αἰῶναc.

---

106 ἀγαλλιάcθωcαν νῦν Barth. — 107 ἡ βαcίλιccα πρὸc τὸν υἱὸν μεθίcταται cὺν αὐτῷ εἰ κρατοῦcα Barth. — 115 διεcώζετο A — 117 ἐγείρει Ven.: ἤγειρε A ἀγείρει Barth. — άλλειν cοι Ven. — 119 ὑπερυψοῦτε αὐτὸν εἰc τοὺc A — 121 καὶ δυνάμειc A contra morum concinnitatem — 126 ξένοc A — 128 cῶμα legisse videtur scholiasta.

ᾠδὴ θ'.

Ἅπας γηγενὴς | σκιρτάτω τῷ πνεύματι
λαμπαδοχούμενος·
πανηγυριζέτω δὲ | ἀΰλων νόων φύσις γεραίρουσα
τὴν ἱερὰν μετάστασιν | τῆς θεομήτορος,
καὶ βοάτω· | χαίροις, παμμακάριστε
θεοτόκε ἁγνή, ἀειπάρθενε.

Δεῦτε ἐν Σιών, | τῷ θείῳ καὶ πίονι
ὄρει τοῦ ζῶντος θεοῦ,
ἀγαλλιασώμεθα | τὴν θεοτόκον ἐνοπτριζόμενοι·
πρὸς γὰρ τὴν λίαν κρείττονα | καὶ θειοτέραν σκηνὴν
ὡς μητέρα | ταύτην εἰς τὰ ἅγια
τῶν ἁγίων Χριστὸς μετατίθησι.

Δεῦτε οἱ πιστοὶ | τῷ τάφῳ προσέλθωμεν
τῆς θεομήτορος·
καὶ περιπτυξώμεθα | καρδίας χείλη, ὄμματα, μέτωπα
εἰλικρινῶς προσάπτοντες· | καὶ ἀρυσώμεθα
ἰαμάτων | ἄφθονα χαρίσματα,
ἐκ πηγῆς ἀεννάου βλυστάνοντα.

Δέχου παρ' ἡμῶν | ᾠδὴν τὴν ἐξόδιον,
μῆτερ τοῦ ζῶντος θεοῦ·
καὶ τῇ φωτοφόρῳ σου | καὶ θείᾳ ἐπισκίασον χάριτι,
τῷ βασιλεῖ τὰ τρόπαια, | τῷ φιλοχρίστῳ λαῷ
τὴν εἰρήνην, | ἄφεσιν τοῖς μέλπουσι
καὶ ψυχῶν σωτηρίαν βραβεύουσα.

VIII

Κανὼν ἀναστάσιμος τῆς Ὀκτωήχου (Ὀκτ. σελ. 19)

ἦχος α'.

ᾠδὴ α'.

Σοῦ ἡ τροπαιοῦχος δεξιὰ
θεοπρεπῶς ἐν ἰσχύϊ δεδόξασται·
αὕτη γάρ, ἀθάνατε, ἡ πανσθενὴς
ὑπεναντίους ἔθραυσε,
τοῖς Ἰσραηλίταις
ὁδὸν βυθοῦ καινουργήσασα.

Ὁ χερσὶν ἀχράντοις ἐκ χοὸς
θεουργικῶς κατ' ἀρχὰς διαπλάσας με
χεῖρας διεπέτασας ἐν τῷ σταυρῷ,
ἐκ γῆς ἀνακαλούμενος
τὸ φθαρέν μου σῶμα,
ὃ ἐκ παρθένου προσείληφας.

140 γεραίρουσαν A — 146 ἀγαλλιασόμεθα A — 153 ἀρευσώμεθα A — 155 βλυστάζοντα A — 161 βραβεύουσαν A
Canon octava quaque dominica inter diem festum Omnium sanctorum et Paschatis cantari vel recitari solet — Codd. AD — v. 3 ἀθάνατε ex ἀθάνατος corr. A

Νέκρωϲιν ὑπέϲτη δι᾽ ἐμὲ
καὶ τὴν ψυχὴν τῷ θανάτῳ προδίδωϲιν
ὁ ἐμπνεύϲει θείᾳ ψυχήν μοι ἐνθείϲ,
καὶ λύϲαϲ αἰωνίων δεϲμῶν
καὶ ϲυναναϲτήϲαϲ
τῇ ἀφθαρϲίᾳ ἐδόξαϲεν.

Χαῖρε, ἡ τῆϲ χάριτοϲ πηγή,
χαῖρε, ἡ κλίμαξ καὶ πύλη οὐράνιοϲ·
χαῖρε, ἡ λυχνία καὶ ϲτάμνοϲ χρυϲῆ
καὶ ὄροϲ ἀλατόμητον,
ἡ τὸν ζωοδότην
Χριϲτὸν τῷ κόϲμῳ κυήϲαϲα.

ᾠδὴ γʹ.

Ὁ μόνοϲ εἰδὼϲ τῆϲ τῶν βροτῶν
οὐϲίαϲ τὴν ἀϲθένειαν,
καὶ ϲυμπαθῶϲ αὐτὴν μορφωϲάμενοϲ
περίζωϲόν με ἐξ ὕψουϲ δύναμιν
τοῦ βοᾶν ϲοι· ἅγιοϲ | ὁ ναὸϲ ὁ ἔμψυχοϲ
τῆϲ ἀφράϲτου ϲου δόξηϲ, φιλάνθρωπε.

Θεόϲ μου ὑπάρχων, ἀγαθέ,
πεϲόντα κατῳκτείρηϲαϲ
καὶ καταβῆναι πρόϲ με ηὐδόκηϲαϲ
ἀνύψωϲάϲ τε διὰ ϲταυρώϲεωϲ
τοῦ βοᾶν ϲοι· ἅγιοϲ | ὁ τῆϲ δόξηϲ κύριοϲ,
ὁ ἀνείκαϲτοϲ ἐν ἀγαθότητι.

Ζωὴ ἐνυπόϲτατοϲ, Χριϲτέ,
ὑπάρχων καὶ φθαρέντα με
ὁ ϲυμπαθὴϲ θεὸϲ ἐνδυϲάμενοϲ
εἰϲ χοῦν θανάτου καταβάϲ, δέϲποτα,
τὸ θνητὸν διέρρηξαϲ
καὶ νεκρὸϲ τριήμεροϲ
ἀναϲτὰϲ ἀφθαρϲίαν ἠμφίεϲαϲ.

Θεὸν ϲυλλαβοῦϲα ἐν γαϲτρί,
παρθένε, διὰ πνεύματοϲ
τοῦ παναγίου ἔμειναϲ ἄφλεκτοϲ·
ἐπεί ϲε βάτοϲ τῷ νομοθέτῃ Μωϲεῖ
φλεγομένη ἄκαυϲτα | ϲαφῶϲ προεμήνυϲε
τὴν τὸ πῦρ δεξαμένην τὸ ἄϲτεκτον.

ᾠδὴ δʹ.

Ὄροϲ ϲε τῇ χάριτι τῇ θείᾳ κατάϲκιον
προβλεπτικοῖϲ ὁ Ἀββακοὺμ
κατανοήϲαϲ ὀφθαλμοῖϲ,
ἐκ ϲοῦ ἐξελεύϲεϲθαι
τοῦ Ἰϲραὴλ προανεφώνει τὸν ἅγιον
εἰϲ ϲωτηρίαν ἡμῶν καὶ ἀνάπλαϲιν.

Τίϲ οὗτοϲ ϲωτὴρ ὁ ἐξ Ἐδὼμ ἀφικόμενοϲ
ϲτεφηφορῶν ἐξ ἀκανθῶν
πεφοινιγμένοϲ τὴν ϲτολὴν
ἐν ξύλῳ κρεμάμενοϲ;
τοῦ Ἰϲραὴλ ὑπάρχει οὗτοϲ ὁ ἅγιοϲ
εἰϲ ϲωτηρίαν ἡμῶν καὶ ἀνάπλαϲιν.

Ἴδετε λαὸϲ τῶν ἀπειθῶν καὶ αἰϲχύνθητε·
ὃν ὡϲ κακοῦργον γὰρ ὑμεῖϲ
ἀναρτηθῆναι ἐν ϲταυρῷ
Πιλάτον ᾐτήϲαϲθε
φρενοβλαβῶϲ, θανάτου λύϲαϲ τὴν δύναμιν
θεοπρεπῶϲ ἐξανέϲτη τοῦ μνήματοϲ.

Ξύλον ϲε, παρθένε, τῆϲ ζωῆϲ ἐπιϲτάμεθα·
οὐ γὰρ τῆϲ γνώϲεωϲ καρπὸϲ
θανατηφόροϲ τοῖϲ βροτοῖϲ
ἐκ ϲοῦ ἀνεβλάϲτηϲεν,
ἀλλὰ ζωῆϲ τῆϲ ἀϊδίου ἀπόλαυϲιϲ
εἰϲ ϲωτηρίαν ἡμῶν τῶν ὑμνούντων ϲε.

15 ἐδόξαϲαϲ A — 26 ἀχράντου Oct. — 30 τε D: δὲ A με Oct. — 31 ὁ ναὸϲ ὁ ἔμψυχοϲ ὁ ἀνεικ. D — 35 ὡϲ ϲυμπ. D — 37 νεκροὺϲ Oct. — 38 ἠμφίεϲεν A — 43 φλεγομένην Oct. — 45 unum tantum versum hirmi huius et sequentis carminis exaratum exhibet D, quo cum accedat sententia parum cum reliquis strophis conexa, hirmos si minus omnes, at certe aliquot huius canonis ab Ioanne Damasceno extrinsecus adscitos esse iudico — 48 ἐκ ϲοῦ A m. pr.: ἐξ οὗ A m. sec. — ἐξελεύϲεϲθαι ex ἐξελεύϲεται, ut videtur, corr. A — 53 πεφοινιγμένοϲ ex πεφοινημένοϲ corr. A — 60 Πιλάτον D: Πιλάτῳ A — 64 βρώϲεωϲ D

ᾠδὴ ε΄.

Ὁ φωτίςας
τῇ ἐλλάμψει τῆς cῆς παρουςίας
καὶ φαιδρύνας [Χριςτὲ,
τῷ σταυρῷ cου τοῦ κόςμου τὰ πέρατα,
τὰς καρδίας φώτιςον φωτὶ
τῆς cῆς θεογνωςίας
τῶν ὀρθοδόξως ὑμνούντων cε.

Τὸν ποιμένα
τῶν προβάτων τὸν μέγαν καὶ κύριον
Ἰουδαῖοι
διὰ ξύλου σταυροῦ ἐθανάτωςαν·
ἀλλ᾽ αὐτὸς ὡς πρόβατα νεκροὺς
ἐν ᾅδῃ τεθαμμένους
κράτους θανάτου ἐρρύςατο.

Τῷ σταυρῷ cου
τὴν εἰρήνην εὐαγγελιςάμενος
καὶ κηρύξας
αἰχμαλώτοις, cωτήρ μου, τὴν ἄφεςιν
τὸν κρατοῦντα ᾔςχυνας, Χριςτὲ,
γυμνὸν ἠπορημένον
δείξας τῇ θείᾳ ἐγέρςει cου.

Τὰς αἰτήςεις
τῶν πιςτῶς αἰτουμένων, πανύμνητε,
μὴ παρίδῃς,
ἀλλὰ δέχου καὶ ταύτας προςάγαγε
τῷ υἱῷ cου, ἄχραντε, θεῷ,
τῷ μόνῳ εὐεργέτῃ·
cὲ γὰρ προςτάτιν κεκτήμεθα.

ᾠδὴ ς΄.

Ἐκύκλωςεν ἡμᾶς ἐςχάτη ἄβυςςος,
οὐκ ἔςτιν ὁ ῥυόμενος·
ἐλογίςθημεν ὡς πρόβατα σφαγῆς·
cῶςον τὸν λαόν cου ὁ θεὸς ἡμῶν·
cὺ γὰρ ἰςχὺς | τῶν ἀςθενούντων
καὶ ἐπανόρθωςις.

Τῷ πταίςματι τοῦ πρωτοπλάςτου, κύ-
δεινῶς ἐτραυματίςθημεν, [ριε,
τῷ δὲ μώλωπι ἰάθημεν τῷ cῷ,
ᾧ ὑπὲρ ἡμῶν ἐτραυματίςθης, Χριςτέ·
cὺ γὰρ ἰςχὺς | τῶν ἀςθενούντων
καὶ ἐπανόρθωςις.

Ἀνήγαγες ἡμᾶς ἐξ ᾅδου, κύριε,
τὸ κῆτος χειρωςάμενος
τὸ παμφάγον, παντοδύναμε, τῷ cῷ
κράτει καθελὼν αὐτοῦ τὴν δύναμιν·
cὺ γὰρ ζωὴ | καὶ φῶς ὑπάρχεις
καὶ ἡ ἀνάςταςις.

Εὐφραίνονται ἐν coί, παρθένε ἄχραντε,
τοῦ γένους οἱ προπάτορες,
τὴν Ἐδὲμ ἀπολαβόντες διὰ coῦ,
ἣν ἐκ παραβάςεως ἀπώλεςαν·
cὺ γὰρ ἁγνὴ | καὶ πρὸ τοῦ τόκου
καὶ μετὰ γέννηςιν.

ᾠδὴ ζ΄.

Cὲ νοητὴν, | θεοτόκε, κάμινον
κατανοοῦμεν οἱ πιςτοί·
ὡς γὰρ παῖδας ἔςωςε τρεῖς,
ὁ ὑπερυψούμενος | κόςμον ἀνεκαίνιςεν
ἐν τῇ γαςτρί cου ὁλόκληρον,
ὁ αἰνετὸς τῶν πατέρων
θεὸς καὶ ὑπερένδοξος.

Ἔφριξε γῆ, | ἀπεςτράφη ἥλιος
καὶ cυνεςκότας τὸ φῶς·
διερράγη τὸ τοῦ ναοῦ
θεῖον καταπέταςμα,
πέτραι δὲ ἐςχίςθηςαν·

81 τεθειμένας D — 87 ἴςχυνας A — 90 loco eius, quod ex D repetivimus, in cod. A hoc theotokion exaratum est: Εὐφραίνονται οὐρανῶν αἱ δυνάμεις ὁρῶςαί cε· ἀγάλλονται cὺν αὐταῖς τῶν βροτῶν τὰ cυςτήματα· τῷ γὰρ τόκῳ ἥνωνται τῷ cωτῆρι παρθένε θεοτόκε· ὃν ἐπαξίως δοξάζομεν, cuius numeri parum expediti sunt. — 108 τὸ κῆτος . . . τὸ παμφάγον ex τοῦ κήτους . . . τοῦ παμφάγου, ut videtur, corr. A — 120 ὅλον με τὸν ἄνθρωπον. ἐν τῇ γαςτρί cου ἀνέπλαςεν Oct.

διὰ σταυροῦ γὰρ ἤρθη ὁ δίκαιος,
ὁ αἰνετὸς τῶν πατέρων
θεὸς καὶ ὑπερένδοξος.

Ϲὺ γεγονὼς | ὡςεὶ ἀβοήθητος
καὶ τραυματίας ἐν νεκροῖς
ἑκουςίως τὸ καθ' ἡμᾶς,
ὁ ὑπερυψούμενος
πάντας ἠλευθέρωςας
καὶ κραταιᾷ χειρὶ ςυνανέςτηςας,
ὁ αἰνετὸς τῶν πατέρων
θεὸς καὶ ὑπερένδοξος.

Χαῖρε, πηγὴ | ἀειζώου νάματος·
χαῖρε, παράδειςε τρυφῆς·
χαῖρε, τεῖχος τὸ τῶν πιςτῶν·
χαῖρε, ἀπειρόγαμε·
χαῖρε, ἡ παγκόςμιος χαρά,
δι' ἧς ἡμῖν ἐξανέτειλεν
ὁ αἰνετὸς τῶν πατέρων
θεὸς καὶ ὑπερένδοξος.

ᾠδὴ η'.

Ἐν καμίνῳ παῖδες Ἰςραήλ, | ὡς ἐν χωνευτηρίῳ,
τῷ κάλλει τῆς εὐςεβείας | καθαρώτερον χρυςοῦ
ἀπέςτιλβον ψάλλοντες·
εὐλογεῖτε πάντα τὰ ἔργα | τὸν κύριον, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὁ βουλήςει ἅπαντα ποιῶν, | ὁ καὶ μεταςκευάζων,
ἐκτρέπων ςκιὰν θανάτου | εἰς αἰώνιον ζωὴν
τῷ πάθει ςου, λόγε θεοῦ,
ςὲ ἀπαύςτως πάντα τὰ ἔργα | τὸν κύριον ὑμνοῦμεν
καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ϲὺ καθεῖλες ςύντριμμα, Χριςτέ, | καὶ τὴν ταλαιπωρίαν
ἐν πύλαις καὶ ὀχυρώμαςι τοῦ ᾅδου ἀναςτὰς
ἐκ τάφου τριήμερος·
ςὲ ἀπαύςτως πάντα τὰ ἔργα | τὸν κύριον ὑμνοῦςι
καὶ ὑπερυψοῦςιν εἰς πάντας τοὺς αἰῶνας.

Τὴν ἀςπόρως καὶ ὑπερφυῶς | ἐξ ἀςτραπῆς τῆς θείας
τεκοῦςαν τὸν μαργαρίτην | τὸν πολύτιμον, Χριςτόν,
ὑμνήςωμεν λέγοντες·
εὐλογεῖτε πάντα τὰ ἔργα | τὸν κύριον, ὑμνεῖτε
καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

---

127 ἦρται D - vv. 127 et 133 voce bisyllaba abundant. — 135 cod. D hoc alterum exhibet theotokion: Χαῖρε ςεμνή, τοῦ Ἀδὰμ τὸ κώδιον, ἐξ οὗ προῆλθεν ὁ ποιμήν, ἐνδυόμενος ἀληθῶς, ὅλον με τὸν ἄνθρωπον, ὁ ὑπερυψούμενος, δι' εὐςπλαγχνίαν ἀκατάληπτον, ὁ αἰνετὸς τῶν πατέρων. — 138 numeris reliquarum stropharum incisio ante vocabulum χαρά commendatur. — 143 ψάλλοντες D: λέγοντες A — 144 post ἔργα et in hac et in quarta stropha κυρίου add. Oct. — 145 ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς A, in reliquis strophis cum Oct. conspirat cod. A, cod. D extrema verba strophae omisit — 149 ὡς κύριον in secunda et tertia stropha Oct. — exspectamus ὑμνοῦςι καὶ ὑπερυψοῦςι — 156 loco eius, quod ex cod. D recepimus, cod. A hoc alterum exhibet theotokion: χαῖρε θρόνε ἔνδοξε θεοῦ, πιςτῶν χαῖρε τὸ τεῖχος, δι' ἧς φῶς τοῖς ἐν ςκότει ἐξανέτειλε Χριςτός, τοῖς ςὲ μακαρίζουςι καὶ βοῶςιν· πάντα τὰ ἔργα τὸν κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε

ᾠδὴ θ΄.

Τύπον τῆς ἁγνῆς λοχείας σου
πυρπολουμένη βάτος ἔδειξεν ἄφλεκτος·
καὶ νῦν καθ᾽ ἡμῶν | τῶν πειρασμῶν ἀγριαίνουσαν
κατασβέσαι αἰτοῦμεν τὴν κάμινον,
ἵνα σε, θεοτόκε, | ἀκαταπαύστως μεγαλύνωμεν.

Ὢ πῶς ὁ λαὸς ὁ ἄνομος,
ὁ ἀπειθὴς καὶ πονηρὰ βουλευσάμενος
τὸν ἀλάστορα | καὶ ἀσεβῆ ἐδικαίωσε,
τὸν δὲ δίκαιον ξύλῳ κατέκρινε,
τὸν κύριον τῆς δόξης, | ὃν ἐπαξίως μεγαλύνομεν.

Σῶτερ ὁ ἀμνὸς ὁ ἄμωμος,
ὁ τὴν τοῦ κόσμου ἁμαρτίαν ἀράμενος,
σὲ δοξάζομεν, | τὸν ἀναστάντα τριήμερον,
σὺν πατρὶ καὶ τῷ θείῳ σου πνεύματι,
καὶ κύριον τῆς δόξης | θεολογοῦντες μεγαλύνομεν.

Σῶσον τὸν λαόν σου, κύριε,
ὅνπερ ἐκτήσω τῷ τιμίῳ σου αἵματι,
κατ᾽ ἐχθρῶν ἰσχὺν | τῷ βασιλεῖ χαριζόμενος
καὶ ταῖς σαῖς ἐκκλησίαις, φιλάνθρωπε,
βραβεύων τὴν εἰρήνην | τῆς θεοτόκου ταῖς ἐντεύξεσιν.

ΘΕΟΦΑΝΟΥΣ

I

Κανὼν εἰς τὸν Εὐαγγελισμὸν τῆς θεοτόκου (Μαρτ. 25).

Ἡ ἀκροστιχὶς κατ᾽ ἀλφάβητον.

ἦχος δ΄.

ᾠδὴ α΄.

κατὰ τὸ «Ἀνοίξω τὸ στόμα μου.»

Ἀιδέτω σοι, δέσποινα, | κινῶν τὴν λύραν τοῦ πνεύματος
Δαυῒδ ὁ προπάτωρ σου· | ἄκουσον, θύγατερ,

161 τύπος A — 162 πυρπολουμένην βάτον ἔδειξεν ἄφλεκτον A — 174 πατρί τε Oct. contra numerorum aequalitatem. — 175 δόξης ὃν ἐπαξίως A — 176 loco eius quod ex cod. D recepimus cod. A hoc theotokion exhibet: Ἅπας ἐγκωμίων, πάναγνε, νόμος ἡττᾶται τῷ μεγέθει τῆς δόξης σου· ἀλλὰ δέσποινα παρ᾽ οἰκετῶν ἀναξίων σου, ἐξ εὐνοίας δὲ σοὶ προσφερόμενον (scr. προσφερομένων) προσδέχου, θεοτόκε, μετ᾽ εὐμενοίας (scr. εὐμενείας) τὸ ἐφύμνιον.

Duae extremae huius canonis odae ab Ioanne Monacho compositae esse feruntur, unde intellegitur, qua de causa inde ab octava oda novus literarum in initiis singulorum versuum collocatarum ordo ordiatur -- Cod. A -- v. 1 Psalm. XLIV 11

τὴν χαρμόϲυνον | φωνὴν πρὸϲ τοῦ ἀγγέλου·
χαρὰν γὰρ μηνύει ϲοι | τὴν ἀνεκλάλητον.

Ὁ ἄγγελοϲ.

Βοῶ ϲοι γηθόμενοϲ· | κλῖνον τὸ οὖϲ ϲου καὶ πρόϲχεϲ μοι
θεοῦ καταγγέλλοντι | ϲύλληψιν ἄϲπορον·
εὗρεϲ χάριν γὰρ | ἐνώπιον κυρίου,
ἣν εὗρεν οὐδέποτε | ἄλλη τιϲ, πάναγνε.

Ἡ θεοτόκοϲ.

Γνωϲθήτω μοι, ἄγγελε, | τῶν ϲῶν ῥημάτων ἡ δύναμιϲ·
πῶϲ ἔϲται ὃ εἴρηκαϲ; | λέγε ϲαφέϲτατα,
πῶϲ ϲυλλήψομαι | παρθένοϲ οὖϲα κόρη;
πῶϲ δὲ καὶ γενήϲομαι | μήτηρ τοῦ κτίϲαντοϲ;

Ὁ ἄγγελοϲ.

Δολίωϲ με φθέγγεϲθαι | διαλογίζῃ, ὡϲ ἔοικε,
καὶ χαίρω θεώμενοϲ | τὴν ϲὴν ἀϲφάλειαν·
θάρϲει, δέϲποινα· | θεοῦ γὰρ βουλομένου
ῥᾳδίωϲ περαίνεται | καὶ τὰ παράδοξα.

ᾠδὴ γ΄.
κατὰ τὸ «Τοὺϲ ϲοὺϲ ὑμνολόγουϲ.»
Ἡ θεοτόκοϲ.

Ἐξέλιπεν ἄρχων ἐξ Ἰούδα, | ὁ χρόνοϲ ἐπέϲτη δὲ λοιπὸν,
καθ' ὃν ἀναφανήϲεται | ἡ τῶν ἐθνῶν ἐλπὶϲ, ὁ Χριϲτόϲ·
ϲὺ δὲ, πῶϲ τοῦτον τέξομαι | παρθένοϲ οὖϲα, ϲαφήνιϲον.

Ὁ ἄγγελοϲ.

Ζητεῖϲ παρ' ἐμοῦ γνῶναι, παρθένε, | τὸν τρόπον ϲυλλήψεωϲ τῆϲ ϲῆϲ·
ἀλλ' οὗτοϲ ἀνερμήνευτοϲ· | τὸ πνεῦμα δὲ τὸ ἅγιον
δημιουργῷ δυνάμει ϲοι | ἐπιϲκιάϲαν ἐργάϲεται.

Ἡ θεοτόκοϲ.

Ἡ ἐμὴ προμήτωρ δεξαμένη | τὴν γνώμην τοῦ ὄφεωϲ, τρυφῆϲ
τῆϲ θείαϲ ἐξωϲτράκιϲται· | διόπερ κἀγὼ δέδοικα
τὸν ἀϲπαϲμὸν τὸν ξένον ϲου, | εὐλαβουμένη τὸν ὄλιϲθον.

Ὁ ἄγγελοϲ.

Θεοῦ παραϲτάτηϲ ἀπεϲτάλην | τὴν θείαν μηνύϲαι ϲοι βουλήν·
τί με φοβῇ, πανάμωμε, | τὸν μᾶλλον ϲὲ φοβούμενον;
τί εὐλαβεῖ με, δέϲποινα, | τὸν ϲὲ ϲεπτῶϲ εὐλαβούμενον;

3 φωνὴν τὴν τοῦ Barth. -- 6 γὰρ χάριν A, quo numerorum dulcedo minuitur — 9 malo ϲαφέϲτερον — 11 κτίϲτου μου Barth. — 15 τὰ om. A — 18 παρθένον A — 22 Genes. III — 25 μηνύϲων Barth. -- ϲοι βουλὴν schol, cod. A Barth.: ϲυμβουλήν A

ᾠδὴ δʹ.
κατὰ τὸ «Ὁ καθήμενος ἐν δόξῃ.»
Ἡ θεοτόκος.

Ἱεράν τινα παρθένον | τεξομένην ἀκήκοα
τοῦ προφήτου πάλαι | τὸν Ἐμμανουὴλ προθεcπίcαντος·
ἐπιποθῶ δὲ τὸ γνῶναι, | πῶς θεότητος
τὴν ἀνάκραςιν | φύcιc βροτῶν ὑποcτήcεται;

Ὁ ἄγγελος.

Κατεμήνυςεν ἡ βάτος | ἀκατάφλεκτος μείναςα
δεξαμένη φλόγα, | κεχαριτωμένη ἀνύμφευτε,
τοῦ κατὰ cὲ μυcτηρίου | τὸ παράδοξον·
μετὰ τόκον γὰρ | μενεῖς, ἁγνή, ἀειπάρθενος.

Ἡ θεοτόκος.

Λαμπρυνόμενος τῷ φέγγει | τοῦ θεοῦ παντοκράτορος,
ἀληθείας κῆρυξ, | λέγε, Γαβριήλ, ἀληθέστατα·
πῶς ἀκηράτου μενούςης | τῆς ἁγνείας μου
λόγον τέξομαι | μετὰ capκὸς τὸν ἀςώματον;

Ὁ ἄγγελος.

Μετὰ δέους cοι ὡς δοῦλος | τῇ κυρίᾳ παρίςταμαι·
μετὰ φόβου, κόρη, | νῦν κατανοεῖν εὐλαβοῦμαί cε·
ὡς ὑετὸς ἐπὶ πόκον | καταβήςεται
ἐπὶ cὲ λόγος | ὁ τοῦ πατρός, ὡς ηὐδόκηςεν.

ᾠδὴ εʹ.
κατὰ τὸ «Ἐξέςτη τὰ cύμπαντα.»
Ἡ θεοτόκος.

Νοεῖν cου οὐ δύναμαι | τῶν λόγων τὴν ἀκρίβειαν·
θαύματα γὰρ γέγονε πολλάκις
θείᾳ δυνάμει | τερατουργούμενα,
cύμβολα καὶ τύποι νομικοί,
τέτοκε παρθένος δὲ | ἀπειράνδρως οὐδέποτε.

Ὁ ἄγγελος.

Ξενίζῃ, πανάμωμε· | καὶ ξένον γὰρ τὸ θαῦμά cου·
μόνη γὰρ τὸν πάντων βαςιλέα
δέξῃ ἐν μήτρᾳ | capκωθηςόμενον·
καὶ cὲ προτυποῦςι προφητῶν
ῥήςεις καὶ αἰνίγματα | καὶ τοῦ νόμου τὰ cύμβολα.

29 προθεcπίζοντα A, unde coniicias προθεcπίζοντος. cf. Ies. VII 14 — 30 τοῦ γνῶναι Barth. — 32 κατεμήνυεν A — 34 ἀπόρρητον Barth. — 35 μενεῖς γάρ A — 50 βαcιλέαν A 51 μήτρα cου A

Ἡ θεοτόκος.

Ὁ πᾶσιν ἀχώρητος | καὶ πᾶσιν ἀθεώρητος
πῶς οὗτος δυνήσεται παρθένου
μήτραν οἰκῆσαι, | ἣν αὐτὸς ἔπλασε;
πῶς δὲ καὶ συλλήψομαι θεόν,
λόγον τὸν συνάναρχον | τῷ πατρὶ καὶ τῷ πνεύματι;

Ὁ ἄγγελος.

Πρὸς τὸν σὸν προπάτορα | Δαυῒδ ἐπαγγειλάμενος
θήσειν ἐκ καρποῦ τοῦ τῆς κοιλίας
ἐπὶ τοῦ θρόνου | τῆς βασιλείας αὐτοῦ,
τὴν τοῦ Ἰακὼβ σὲ καλλονὴν
μόνην ἐξελέξατο | λογικὸν ἐνδιαίτημα.

ᾠδὴ ϛʹ
κατὰ τὸ «Ἐβόησε προτυπῶν.»

Ἡ θεοτόκος.

Ῥημάτων σου | τὴν φωνήν, Γαβριήλ, τὴν χαρμόσυνον
δεξαμένη | εὐφροσύνης ἐνθέου πεπλήρωμαι·
χαρὰν γὰρ μηνύεις | καὶ χαρὰν καταγγέλλεις τὴν ἄληκτον.

Ὁ ἄγγελος.

Σοὶ δέδοται | ἡ χαρά, θεομῆτορ, ἡ ἔνθεος·
σοὶ τὸ χαῖρε | πᾶσα κτίσις κραυγάζει, θεόνυμφε·
σὺ γὰρ μόνη μήτηρ | τοῦ υἱοῦ τοῦ θεοῦ προωρίσθης, ἁγνή.

Ἡ θεοτόκος.

Τῆς Εὔας νῦν | δι' ἐμοῦ καταργείσθω κατάκριμα·
ἀποδότω | δι' ἐμοῦ τὸ ὀφείλημα σήμερον·
δι' ἐμοῦ τὸ χρέος | τὸ ἀρχαῖον δοθήτω πληρέστατον.

Ὁ ἄγγελος.

Ὑπέσχετο | ὁ θεὸς Ἀβραὰμ τῷ προπάτορι
εὐλογεῖσθαι | ἐν τῷ σπέρματι τούτου τὰ ἔθνη, ἁγνή·
διὰ σοῦ δὲ πέρας | ἡ ὑπόσχεσις δέχεται σήμερον.

ᾠδὴ ζʹ.
κατὰ τὸ «Οὐκ ἐλάτρευσαν τῇ κτίσει.»

Ἡ θεοτόκος.

Φῶς τὸ ἄϋλον | μηνύων ὕλῃ σώματος
ἑνωθησόμενον
δι' εὐσπλαγχνίαν πολλήν, | φαιδρὸν εὐαγγέλιον,
θεῖα κηρύγματα | νῦν κραυγάζεις μοι·
εὐλογημένος, πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

---

59 Luc. I 32 — 61 τὸν θρόνον Barth. — 62 καλονὴν A — 66 χαρὰν ἥκεις κομίζων A
74 Genes. XII 2—3.

Ὁ ἄγγελοϲ.

Χαῖρε, δέϲποινα | παρθένε, χαῖρε, πάναγνε·
χαῖρε, δοχεῖον θεοῦ·
χαῖρε, λυχνία φωτόϲ, | Ἀδὰμ ἡ ἀνάκληϲιϲ,
Εὔαϲ ἡ λύτρωϲιϲ, | ὄροϲ ἅγιον,
περιφανὲϲ ἁγίαϲμα | καὶ νυμφὼν ἀθαναϲίαϲ.

Ἡ θεοτόκοϲ.

Ψυχὴν ἥγνιϲε, | τὸ ϲῶμα καθηγίαϲε,
ναὸν εἰργάϲατο
χωρητικόν με θεοῦ, | ϲκηνὴν θεοκόϲμητον,
ἔμψυχον τέμενοϲ | ἡ ἐπέλευϲιϲ
τοῦ παναγίου πνεύματοϲ | καὶ ζωῆϲ ἁγνὴν μητέρα.

Ὁ ἄγγελοϲ.

Ὡϲ πολύφωτον | λαμπάδα καὶ θεότευκτον
παϲτάδα βλέπω ϲε·
νῦν ὡϲ χρυϲῆ κιβωτὸϲ | τοῦ νόμου τὸν πάροχον
δέχου, θεόνυμφε, | εὐδοκήϲαντα
τὴν τῶν ἀνθρώπων ῥύϲαϲθαι | διὰ ϲοῦ φθαρτὴν οὐϲίαν.

ᾠδὴ η'.
κατ' ἀλφάβητον.

Ὁ ἄγγελοϲ.

Ἄκουε, κόρη παρθένε ἁγνή,
εἰπάτω δὴ ὁ Γαβριήλ,
Βουλὴν ὑψίϲτου ἀρχαίαν ἀληθινήν.
Γενοῦ πρὸϲ ὑποδοχὴν ἑτοίμη θεοῦ·
Διὰ ϲοῦ γὰρ ὁ ἀχώρητοϲ
βροτοῖϲ ἀναϲτραφήϲεται·
διὸ καὶ χαίρων βοῶ·
εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον.

Ἡ θεοτόκοϲ.

Ἔννοια πᾶϲα ἡττᾶται βροτῶν,
ἀντέφηϲεν ἡ παρθένοϲ,
Ζητοῦϲα ἅπερ μοι φθέγγῃ παράδοξα·
Ἥϲθην ϲου τοῖϲ λόγοιϲ, ἀλλὰ δέδοικα
Θαμβηθεῖϲα, μὴ ἀπάτῃ με
ὡϲ Εὔαν πόρρω πέμψῃϲ θεοῦ·
ἀλλ' ὅμωϲ ἤδη βοῶ·
εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον.

Ὁ ἄγγελοϲ.

Ἴδε, ϲοι τὸ ἄπορον λέλυται,
φηϲὶ πρὸϲ ταῦτα [ὁ] Γαβριήλ·
Καλῶϲ γὰρ ἔφηϲ τὸ πρᾶγμα δυϲτέκμαρτον.
Λόγοιϲ ϲῶν χειλέων πειθαρχοῦϲα λοιπὸν
Μὴ ἀμφίβαλλε ὡϲ πλάϲματι,
ὡϲ πράγματι δὲ πίϲτευε·
ἐγὼ γὰρ χαίρων βοῶ·
εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον.

86 καὶ ϲῶμα Barth. — 94 δέχου πανάμωμε Barth. — 101 ἀναϲτραφήϲεται Barth.: ϲυναναϲτρέφεται A — 103 Exclamatio εὐλογεῖτε κ. τ. λ. a reliqua stropharum parte ita disiuncta est, ut acrostichidis ordinem interrumpat — 110 ἤδη βοῶ] ἴδε βοᾷϲ et in hac et in quarta stropha Barth. — 112 nescio an τὸ vel ϲοι delendum sit — 113 ὁ cum superfluat uncinis inclusimus — 116 ἀμφίβαλε A

Ἡ θεοτόκος.

Νόμος οὗτος θεόθεν βροτοῖς,
ἡ ἄμεμπτος αὖθις φησὶ,
Ξυνοῦ ἐξ ἔρωτος τόκον προέρχεσθαι·
Οὐκ οἶδα συζύγου παντελῶς ἡδονήν·
Πῶς οὖν λέγεις, ὅτι τέξομαι;
φοβοῦμαι, μὴ ἀπάτῃ λαλῇς·
ἀλλ' ὅμως ἤδη βοῶ·
εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον.

Ὁ ἄγγελος.

Ῥήματα, ἅπερ μοι φθέγγῃ, σεμνὴ,
ὁ ἄγγελος πάλιν βοᾷ,
Συνήθη πέλει λοχείας ἀνθρώπων θνητῶν·
Τὸν ὄντως θεόν σοι ἐπαγγέλλομαι
Ὑπὲρ λόγον τε καὶ ἔννοιαν
σαρκούμενον, ὡς οἶδεν αὐτός·
διὸ καὶ χαίρων βοῶ·
εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον.

Ἡ θεοτόκος.

Φαίνῃ μοι ἀληθείας ῥήτωρ,
κατέθετο ἡ παρθένος·
Χαρᾶς κοινῆς γὰρ ἐλήλυθας ἄγγελος·
Ψυχὴν οὖν ἐπεὶ συγκαθήγνισμαι σώματι,
Ὡς τὸ ῥῆμά σου, γενέσθω μοι·
σκηνούτω ἐν ἐμοὶ ὁ θεὸς,
πρὸς ὃν βοῶ μετὰ σοῦ·
εὐλογεῖτε πάντα τὰ ἔργα κυρίου τὸν κύριον.

ᾠδὴ θʹ.

κατ' ἀλφάβητον ἀντιστρόφως.

Ὡς ἐμψύχῳ θεοῦ κιβωτῷ
Ψαυέτω μηδαμῶς χεὶρ ἀμυήτων·
Χείλη δὲ πιστῶν τῇ θεοτόκῳ ἀσιγήτως
Φωνὴν τοῦ ἀγγέλου ἀναμέλποντα
ἐν ἀγαλλιάσει βοάτω·
χαῖρε κεχαριτωμένη·
ὁ κύριος μετὰ σοῦ.

Ὑπὲρ ἔννοιαν συλλαβοῦσα θεὸν
Τῆς φύσεως θεσμοὺς ἔλαθες, κόρη·
Σὺ γὰρ ἐν τῷ τίκτειν τὰ μητέρων διέδρας,
Ῥευστὴ φύσις καίπερ καθεστηκυῖα·
ὅθεν ἐπαξίως ἀκούεις·
χαῖρε κεχαριτωμένη·
ὁ κύριος μετὰ σοῦ.

Πῶς πηγάζεις γάλα, παρθένε ἁγνή;
Οὐ φέρει ἐξειπεῖν γλῶσσα βροτεία·
Ξένον γὰρ φύσεως ἐπιδείκνυσαι πρᾶγμα
Νομίμου γονῆς ὅρους ὑπερβαῖνον·
ὅθεν ἐπαξίως ἀκούεις·
χαῖρε κεχαριτωμένη·
ὁ κύριος μετὰ σοῦ.

Μυστικῶς ταῖς ἱεροτεύκτοις γραφαῖς
Λαλεῖται περὶ σοῦ, μῆτερ ὑψίστου·
Κλίμακα γὰρ πάλαι Ἰακὼβ σε προτυποῦσαν
Ἰδὼν ἔφη· βάσις θεοῦ αὕτη·
ὅθεν ἐπαξίως ἀκούεις·
χαῖρε κεχαριτωμένη·
ὁ κύριος μετὰ σοῦ.

Θαυμαστὸν τῷ ἱεροφάντῃ Μωσεῖ
Ἡ βάτος καὶ τὸ πῦρ ἔδειξε τέρας·
Ζητῶν δὲ τὸ πέρας εἰς διάβασιν χρόνου
Ἐν κόρῃ ἁγνῇ, ἔφη, κατοπτεύσω·

---

130 συνήθους Barth. — 133 ὡς οἶδεν αὐτὸς de coni. scripsimus· ὡς αὐτὸς οἶδεν ἐκ σοῦ A sed ἐκ σοῦ in rasura, ὡς οἶδεν ἐκ σοῦ Barth. — 136 fort.: τῆς ἀληθείας — 139 συγκαθήγνισμαι σώματι A cum schol.: καθήγνισμαι πνεύματι Barth. — 144 post ἐμψύχῳ vocabulum bisyllabum, ut οὔσῃ vel κόρῃ, excidisse videtur — 148 βοᾷ A cum rasura post α duarum vel trium syllabarum — 153 φύσις περ Barth. — 164 Genes. XXVIII 12—13. — 168 θαυμαστὸν A m. pr. Barth.: θαυμαστῶς A m. sec. — παράδοξον, post Μωσεῖ m. pr. additum, m. sec. delevit A — 169 Exod. III 2.

ἢ ὡς θεοτόκῳ λεχθείη·
χαῖρε κεχαριτωμένη·
ὁ κύριος μετὰ coῦ.

Δανιὴλ cε ὄρος καλεῖ νοητόν,
Γεννήτριαν θεοῦ ὁ Ἡcαΐας·
Βλέπει δὲ ὡς πόκον Γεδεών· ὁ
Δαυῒδ δὲ
Ἁγίαcμα φάcκει, πύλην δέ cε ἄλλος·
ὁ Γαβριὴλ δέ coι κραυγάζει·
χαῖρε κεχαριτωμένη·
ὁ κύριος μετὰ coῦ.

ΙΩCΗΦ ΤΟΥ ΥΜΝΟΓΡΑΦΟΥ

I

Κανὼν εἰς ἀνάμνηcιν τοῦ cειcμοῦ ἔτει 740 γεγονότος (Ὀκτωβ. 26).

Ἡ ἀκροcτιχίς:

«Ὦ Χριcτέ, τῆς γῆς τὸν κλόνον παῦcον τάχος· Ἰωcήφ.»

ἦχος πλ. β΄.

ᾠδὴ α΄.

Ὡς φοβερὰ ἡ ὀργή cου, | ἐξ ἧς ἡμᾶς
ἐλυτρώcω, κύριε, | μὴ cυγχώcας ἐν τῇ γῇ
ἅπαν τὸ ἀνάcτημα ἡμῶν!
εὐχαρίcτως cε διὸ | ἀεὶ δοξάζομεν.

Χαίρων ἀεὶ καθ' ἑκάcτην | τῇ παντελεῖ
διορθώcει, δέcποτα, | ὥcπερ φύλλον εὐτελὲς
διαcείεις ἅπαcαν τὴν γῆν,
εἰς τὸν φόβον cου πιcτοὺς | cτηρίζων, κύριε.

Ῥῦcαι cειcμοῦ βαρυτάτου | πάντας ἡμᾶς
καὶ μὴ δῴης, κύριε, | ἀπολέcθαι παντελῶς
τὴν κληρονομίαν cου, πολλοῖς
παροργίζουcαν κακοῖς | cὲ τὸν μακρόθυμον.

Ἱκετικῶς coι βοῶμεν, | μῆτερ θεοῦ,
τὰ cυνήθη cπλάγχνα cου | ἐπὶ πόλιν καὶ λαὸν
cυμπαθῶς δεικνύουcα cειcμοῦ
βαρυτάτου καὶ φθορᾶς | ἡμᾶς ἀπάλλαξον.

---

173 Daniel II 35. 45. — 175 Ies. VII 14. — 176 Iudic. VI 36—40. Psalm. CXXXI 18 — 177 Genes. XXVIII 17.

Odae primae hirmus legitur hic in Octoecho p. 119 ed. Ven.: Ὡς ἐν ἠπείρῳ πεζεύcας ὁ Ἰcραὴλ | ἐν ἀβύccῳ ἴχνεcι | τὸν διώκτην Φαραὼ | καθορῶν ποντούμενον θεῷ | ἐπινίκιον ᾠδὴν ἐβόα ᾄcωμεν. — v. 16 post hunc versum altera oda intercidit, quam a Iosepho melodo huic canoni insertam fuisse acrostichidis hoc loco facta lacuna docet.

ᾠδὴ γ΄.

Ἡ γῆ μαϲτίζεται, ἡμῶν | κακῶϲ διακειμένων
καὶ ἀεὶ τὴν ὀργήν ϲου | ϲυγκινούντων καθ' ἡμῶν,
οἰκτίρμον παμβαϲιλεῦ·
ἀλλὰ φεῖϲαι, | δέϲποτα, τῶν δούλων ϲου.

Ϲυϲϲείϲαϲ, κύριε, τὴν γῆν | ἐϲτερέωϲαϲ πάλιν,
νουθετῶν, ἐπιϲτρέφων, | τὴν ἀϲθένειαν ἡμῶν
ϲτηρίζεϲθαι ἐν τῷ ϲῷ
θείῳ φόβῳ | θέλων, ὑπεράγαθε.

Γεννώϲαϲ θάνατον πικρὸν | καὶ ϲειϲμοὺϲ βαρυτάτουϲ
καὶ πληγὰϲ ἀνηκέϲτουϲ | ἁμαρτίαϲ, ἀδελφοὶ,
ἐκφύγωμεν καὶ θεὸν
μετανοίαϲ | τρόποιϲ ἐκμειλίξωμεν.

Ἡ μόνη οὖϲα ἀγαθὴ | τὸν πανάγαθον λόγον
ἐκτενῶϲ ἐκδυϲώπει | τῆϲ παρούϲηϲ τοῦ ϲειϲμοῦ
ῥυϲθῆναι πάνταϲ ὀργῆϲ·
θεοτόκε | ἄχραντε, δεόμεθα.

ᾠδὴ δ΄.

Ϲαλεύειϲ, κύριε, | τὴν γῆν βουλόμενοϲ
ἑδραϲμῷ ἀληθείαϲ | πάνταϲ ἡμᾶϲ,
δέϲποτα, ϲτηρίζεϲθαι | ϲαλευομένουϲ προϲβολαῖϲ
τοῦ δολίου πολεμήτοροϲ.

Τῇ θείᾳ νεύϲει ϲου | κλονεῖϲ τὰ ϲύμπαντα
καὶ δονεῖϲ τὰϲ καρδίαϲ | τῶν ἐπὶ γῆϲ
κατοικούντων, δέϲποτα· | τῆϲ οὖν δικαίαϲ ϲου ὀργῆϲ
ἄνεϲ, κύριε, τὰ κύματα.

Οὐδ' ὅλωϲ ἔχονταϲ | εἰϲ νοῦν τὸν φόβον ϲου
ἐκφοβεῖϲ τῇ κινήϲει | πάϲηϲ τῆϲ γῆϲ,
μόνε εὐϲυμπάθητε· | ἀλλὰ ϲυνήθωϲ ἐφ' ἡμᾶϲ
τὰ ἐλέη ϲου θαυμάϲτωϲον.

Ναόν ϲε, δέϲποινα, | θεοῦ γινώϲκοντεϲ
ἐν ἁγίῳ ναῷ ϲου | χεῖραϲ οἰκτρὰϲ
αἴρομεν εἰϲ δέηϲιν· | ἴδε τὴν κάκωϲιν ἡμῶν
καὶ παράϲχου ϲὴν βοήθειαν.

17 tertiae huius odae hirmus exstat in Octoecho p. 120: Οὐκ ἔϲτιν ἅγιοϲ ὡϲ ϲὺ | κύριοϲ θεόϲ μου | ὁ ὑψώϲαϲ τὸ κέραϲ | τῶν πιϲτῶν ϲου ἀγαθὲ | καὶ ϲτερεώϲαϲ ἡμᾶϲ | ἐν τῇ ⁝τρᾳ | τῆϲ ὁμολογίαϲ ϲου. — 33 Quartae odae hirmus exstat in Octoecho p. 121: Χριϲτόϲ ⁝ι δύναμιϲ | θεὸϲ καὶ κύριοϲ | ἡ ϲεπτὴ ἐκκληϲία | θεοπρεπῶϲ | μέλπει ἀνακράζουϲα | ἐκ διανοίαϲ ⁝ιθαρᾶϲ | ἐν κυρίῳ ἑορτάζουϲα — 37 Psalm. CIII 32.

ᾠδὴ ε΄.

Καὶ cύ, καρδία, cείcθητι νῦν
βλέπουcα θεοῦ τὴν ἀπειλὴν
ἐπικειμένην, καὶ βόηcον·
φεῖcαι τοῦ λαοῦ cου, δέcποτα κύριε,
καὶ παῦcον τὴν δικαίαν | ὀργήν cου, εὔcπλαγχνε.

Λαὸν καὶ πόλιν, ἥνπερ τῷ cῷ
αἵματι ἐκτήcω, Ἰηcοῦ,
μὴ παραδῷc εἰc ἀπώλειαν
ἐν τῷ cυνταράccειν τὴν γῆν cειcμῷ φοβερῷ·
χορὸc τῶν ἀποcτόλων | καθικετεύει cε.

Ὁδούc cου, δέcποτα, τὰc ὀρθὰc
γνώμῃ ὑπεκκλίνοντεc cτρεβλῇ
εἰc ἀγανάκτηcιν τρέπομεν
cὲ τὸν cυμπαθῆ τε καὶ ἀμνηcίκακον·
ἀλλ' ἵλεωc, οἰκτίρμον, | γενοῦ τοῖc δούλοιc cου.

Νῦν βοηθείαc ἦλθε καιρὸc,
νῦν καταλλαγῆc χρεία, ἁγνή,
πρὸc τὸν υἱόν cου καὶ κύριον,
ὅπωc οἰκτειρήcῃ προcκεκρουκόταc ἡμᾶc
καὶ τῆc ἐπικειμένηc | ὀργῆc λυτρώcηται.

ᾠδὴ ϛ΄.

Οὐκ ἔχοντεc, δέcποτα, | παρρηcίαν δυcωπεῖν
οἱ ταπεινοὶ τὸ ὕψοc cου,
τοὺc ἐκλεκτοὺc ἀγγέλουc cου εἰc θερμὴν
κινοῦμεν παράκληcιν·
δι' αὐτῶν τῆc ὀργῆc cου | ἐξελοῦ ἡμᾶc.

Νῦν ἔγνωμεν, κύριε, | ὡc ἠθέληcαc ἡμᾶc
καὶ οὐδαμῶc cυνέχωcαc
ὑπὸ τὴν γῆν cυμπτώμαcι χαλεποῖc
πολλὰ πλημμελήcανταc·
εὐχαρίcτωc διό cε | μεγαλύνομεν.

---

49 Quintae huius odae hirmus in Octoecho p. 123 legitur hic: Τῷ θείῳ φέγγει cου ἀγαθ τὰc τῶν ὀρθριζόντων cοι ψυχὰc | πόθῳ καταύγαcον, δέομαι, | cὲ εἰδέναι, λόγε θεοῦ, | τ ὄντωc θεὸν | ἐκ ζόφου τῶν πταιcμάτων | ἀνακαλούμενον. — 69 Sextae huius odae hirm legitur in Octoecho p. 124 hic: Τοῦ βίου τὴν θάλαccαν | ὑψουμένην καθορῶν | τῶν πειρ μῶν τῷ κλύδωνι | τῷ εὐδίῳ λιμένι cου προcδραμὼν | βοῶ cοι·, ἀνάγαγε | ἐκ φθορᾶc τ ζωήν μου, | πολυέλεε.

Προστάττεις ςαλεύεςθαι | τὰ θεμέλια τῆς γῆς,
ὅπως ἡμεῖς παυςώμεθα
οἱ ταπεινοὶ ςαλεύεςθαι· ἀρετῶν
τῆς κρείττονος ςτάςεως
καὶ τῷ φόβῳ ςου, λόγε, | ςτηριζώμεθα.

Ἁγία θεόνυμφε, | ἀπορούμενον νυνὶ
τὸν ςὸν λαὸν οἰκτείρηςον,
καὶ μητρικαῖς πρεςβείαις τὴν καθ᾽ ἡμῶν
θεοῦ ἀγανάκτηςιν
μεταποίηςον τάχος, | δυςωποῦμέν ςε.

ᾠδὴ ζ΄.

Ὑπερύμνητος εἶ, κύριε μακρόθυμε,
ὅτι οὐκ ἐθανάτωςας
τοὺς οἰκέτας ςου | ςπαραγμῷ καὶ κλόνῳ φοβερῷ
τῆς γῆς, ἀλλ᾽ ἐφόβιςας ζητῶν
τὸ ἐπιςτρέψαι τῶν κακῶν
καὶ ζῆςαι πάντας ἡμᾶς.

Ϲτεναγμὸν ἀπὸ καρδίας ἀναπέμψωμεν
καὶ δάκρυα προχέωμεν,
ὅπως ἵλεων | τὸν δεςπότην εὕρωμεν Χριςτόν,
ἐκτρίψαι ςειςμῷ πάντας ἡμᾶς
διὰ πληθὺν ἁμαρτιῶν
ἐπαπειλοῦντα δεινῶς.

Οἴμοι κράξωμεν καὶ χεῖρας ἐκπετάςωμεν
πρὸς τὸν θεὸν τὸν ὕψιςτον
καὶ παυςώμεθα τοῦ λοιποῦ ποιεῖν τὸ πονηρόν·
ἰδοὺ ὁ ςωτὴρ ἀγανακτῶν
ςαλεύει ἅπαςαν τὴν γῆν,
ςτηρίξαι θέλων ἡμᾶς.

Νεῦςον, ἄχραντε, ςωθῆναι τοὺς οἰκέτας ςου,
ἀπολεςθῆναι μέλλοντας
ἐν ὀργῇ θεοῦ | καὶ θυμῷ μεγάλῳ καὶ φρικτῷ
τῆς νῦν ἐπελθούςης ἀπειλῆς
διὰ τὸ πλῆθος τῶν πολλῶν
ἁμαρτημάτων ἡμῶν.

89 Septimae huius odae hic in Octoecho p. 126 legitur hirmus: Δροςοβόλον μὲν τὴν ινον εἰργάςατο | ἄγγελος τοῖς ὁςίοις παιςί· | τοὺς Χαλδαίους δὲ | καταφλέγον πρόςταγμα) | τὸν τύραννον ἔπειςε βοᾶν· | εὐλογητὸς εἶ ὁ θεός, | ὁ τῶν πατέρων ἡμῶν.

ᾠδὴ η΄.

Τῆς δικαίας σου ταύτης | ὀργῆς, φιλάνθρωπε,
ἐπελθούσης ἀθρόως | συνεταράχθημεν
καὶ ἀπελπισμῷ | παντελεῖ συνεσχέθημεν,
προσαγανακτοῦντα | ὁρῶντες καθ' ἡμῶν σε.

Ἀνατείνωμεν χεῖρας, | πιστοί, καὶ ὄμματα
πρὸς τὸν μόνον δεσπότην | σώζειν δυνάμενον,
κράζοντες· Χριστέ, | τὸν θυμόν σου ἀπόστρεψον
ἀφ' ἡμῶν ταχέως | φιλάνθρωπος ὑπάρχων.

Χιλιάδες ἀγγέλων, | μαρτύρων σύλλογος,
προφητῶν, ἀποστόλων, | ὁσίων, ἱεραρχῶν
ἅγιος χορὸς | ἱκετεύει σε, δέσποτα·
φεῖσαι τοῦ λαοῦ σου | τοῦ τεταπεινωμένου.

Ὁ γινώσκων, οἰκτίρμον, | τὸ ἀσθενὲς ἡμῶν
καὶ εὐόλισθον πάντη | καὶ ἀδιόρθωτον
ἄνες τὴν ὀργὴν | καὶ τὸν τάραχον κόπασον
καὶ τῷ σῷ ἐλέει | οἰκτείρησον τὸν κόσμον.

Συμπαθής, θεοτόκε, | τὸν εὐσυμπάθητον
ἡ τεκοῦσα σωτῆρα, | ἴδε τὴν κάκωσιν
καὶ τὸν στεναγμὸν | τοῦ λαοῦ σου καὶ τάχυνον
τοῦ παρακαλέσαι | ἡμᾶς οἰκτειρηθῆναι.

ᾠδὴ θ΄.

Ἰδοὺ οἱ πάντες ἡμεῖς ἐπταίσαμεν,
καὶ φοβερῶς ἡ γῆ μηδὲν σφαλεῖσα κολάζεται·
νουθετῶν γὰρ ἡμᾶς ὁ φιλάνθρωπος
ὅλην αὐτὴν σαλεύει·
λάβωμεν αἴσθησιν
καὶ τῆς σωτηρίας ἑαυτῶν | ἐπιμελώμεθα.

Ὡρῶν καὶ χρόνων ὑπάρχων κύριος
μιᾷ ῥοπῇ ἠθέλησας ἐκτρίψαι τοὺς δούλους σου·
ὑπὸ δὲ τῆς πολλῆς εὐσπλαγχνίας σου,
δέσποτα, ἐκωλύθης·
εὐχαριστοῦμέν σοι
οἱ ἀναπολόγητοι ἡμεῖς, | μόνε φιλάνθρωπε.

113 Octavae odae hic legitur in Octoecho p. 127 hirmus: Ἐκ φλογὸς τοῖς ὁσίοις δρό[σον] ἐπήγασας | καὶ δικαίου θυσίαν | ὕδατι ἔφλεξας· | ἅπαντα γὰρ δρᾷς, | Χριστέ, μόνῳ τῷ βού[λεσ]θαι· | σὲ ὑπερυψοῦμεν | εἰς πάντας τοὺς αἰῶνας — 133 Nonae odae hirmus in Octoe[cho] p. 128 exstat hic: Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον, | ὃν οὐ τολμᾷ ἀγγέλων ἀτενίσαι τάγματα· | διὰ σοῦ δέ, πάναγνε, ὡράθη βροτοῖς | λόγος σεσαρκωμένος· | ὃν μεγαλύνοντε[ς] σὺν ταῖς οὐρανίαις στρατιαῖς σὲ μακαρίζομεν.

Cειcμοῦ, μαχαίραc, πικρᾶc ἁλώcεωc
καὶ ἐθνικῆc, Χριcτέ, ἐπιδρομῆc καὶ cυμπτώcεωc
καὶ λιμοῦ καὶ λοιμοῦ καὶ κακώcεωc
πάcηc ἄλληc, οἰκτίρμον,
ῥῦcαι τὴν πόλιν cου
ἅπαcάν τε χώραν τῶν πιcτῶc | ὑμνολογούντων cε.

Ἡ γῆ ἀγλώccωc βοᾷ cτενάζουcα·
τί με κακοῖc μιαίνετε πολλοῖc, πάντεc ἄνθρωποι;
καὶ ὑμῶν ὁ δεcπότηc φειδόμενοc
ὅλην ἐμὲ μαcτίζει;
λάβετε αἴcθηcιν
καὶ ἐν μετανοίᾳ τὸν θεὸν | ἐξιλεώcαcθε.

Φθορὰν τῷ τίκτειν μὴ ὑπομείναcα
πάcηc φθορᾶc, παρθένε, ἐξελοῦ ἡμᾶc ἅπανταc
καὶ cειcμοῦ βαρυτάτου καὶ θλίψεωc,
παύουcα τοῦ δεcπότου
τὴν ἀγανάκτηcιν
ταῖc caῖc μητρικαῖc καταλλαγαῖc, | θεοχαρίτωτε.

II

Κανὼν εἰc τὴν θεοτόκον τῷ cαββάτῳ τοῦ ἀκαθίcτου ὕμνου (Τριῳδ. cελ. 283).

Ἡ ἀκροcτιχίc:

«Χαρᾶc δοχεῖον, cοὶ πρέπει χαίρειν μόνῃ· Ἰωcήφ.»

ἦχοc δ΄.

ᾠδὴ α΄.

Χριcτοῦ βίβλον ἔμψυχον | ἐcφραγιcμένην cε πνεύματι
ὁ μέγαc ἀρχάγγελοc, | ἁγνή, θεώμενοc
ἐπεφώνει cοι· | χαῖρε, χαρᾶc δοχεῖον,
δι' ἧc τῆc προμήτοροc | ἀρὰ λυθήcεται.

Ἀδὰμ ἐπανόρθωcιc, | χαῖρε παρθένε θεόνυμφε,
τοῦ ᾅδου ἡ νέκρωcιc· | χαῖρε πανάμωμε,
τὸ παλάτιον | τοῦ πάντων βαcιλέωc·
χαῖρε θρόνε πύρινε | τοῦ παντοκράτοροc.

Ῥόδον τὸ ἀμάραντον, | χαῖρε, ἡ μόνη βλαcτήcαcα·
τὸ μῆλον τὸ εὔοcμον, | χαῖρε, ἡ τέξαcα·
τὸ ὀcφράδιον | τοῦ μόνου βαcιλέωc·
χαῖρε, ἀπειρόγαμε, | κόcμου διάcωcμα.

v. 1 Poeta in omnibus praeter quartam odis huius canonis modulos canonis Ioannis masceni in honorem obitus Mariae compositi (v. p. 229) secutus est.

Ἁγνείας θησαύρισμα, | χαῖρε, δι᾽ ἧς ἐκ τοῦ πτώματος
ἡμῶν ἐξανέστημεν· | χαῖρε ἡδύπνοον
κρίνον, δέσποινα, | πιστοὺς εὐωδιάζον·
θυμίαμα εὔοσμον, | μύρον πολύτιμον.

ᾠδὴ γ΄.

Στάχυν ἡ βλαστήσασα τὸν θεῖον
ὡς χώρα ἀνήροτος σαφῶς,
χαῖρε ἔμψυχε τράπεζα,
ἄρτον ζωῆς χωρήσασα·
χαῖρε τοῦ ζῶντος ὕδατος
πηγὴ ἀκένωτος, δέσποινα.

Δάμαλις τὸν μόσχον ἡ τεκοῦσα
τὸν ἄμωμον, χαῖρε, τοῖς πιστοῖς·
χαῖρε ἀμνὰς κυήσασα
θεοῦ ἀμνὸν τὸν αἴροντα
κόσμου παντὸς τὰ πταίσματα·
χαῖρε θερμὸν ἱλαστήριον.

Ὄρθρος φαεινός, χαῖρε, ἡ μόνη
τὸν ἥλιον φέρουσα Χριστὸν
φωτὸς κατοικητήριον,
χαῖρε τὸ σκότος λύσασα
καὶ τοὺς ζοφώδεις δαίμονας
ὁλοτελῶς ἐκμειώσασα.

Χαῖρε πύλη μόνη, ἣν ὁ λόγος
διώδευσε μόνος, ἡ μοχλοὺς
καὶ πύλας ᾅδου, δέσποινα,
τῷ τόκῳ σου συντρίψασα,
χαῖρε ἡ θεία εἴσοδος
τῶν σωζομένων, θεόνυμφε.

ᾠδὴ δ΄.

Ἐν φωναῖς ᾀσμάτων πίστει
σοὶ βοῶμεν, πανύμνητε·
χαῖρε πῖον ὄρος
καὶ τετυρωμένον ἐν πνεύματι·
χαῖρε λυχνία καὶ στάμνε | μάννα φέρουσα
τὸ γλυκαῖνον
τὰ τῶν εὐσεβῶν αἰσθητήρια.

Ἱλαστήριον τοῦ κόσμου,
χαῖρε, ἄχραντε δέσποινα·
χαῖρε κλίμαξ γῆθεν
πάντας ἀνυψώσασα χάριτι·
χαῖρε ἡ γέφυρα ὄντως | ἡ μετάγουσα
ἐκ θανάτου | πάντας πρὸς ζωὴν τοὺς
ὑμνοῦντάς σε.

Οὐρανῶν ὑψηλοτέρα,
χαῖρε, γῆς, τὸ θεμέλιον
ἐν τῇ σῇ νηδύϊ,
ἄχραντε, ἀκόπως βαστάσασα·
χαῖρε κογχύλη πορφύραν | θείαν βάψασα
ἐξ αἱμάτων σου
τῷ βασιλεῖ τῶν δυνάμεων.

Νομοθέτην ἡ τεκοῦσα
ἀληθῶς, χαῖρε δέσποινα,
τὸν τὰς ἀνομίας
πάντων δωρεὰν ἐξαλείφοντα·
ἀκατανόητον βάθος, | ὕψος ἄρρητον,
ἀπειρόγαμε, | δι᾽ ἧς ἡμεῖς ἐθεώθημεν.

Σὲ τὴν πλέξασαν τῷ κόσμῳ
ἀχειρόπλοκον στέφανον
ἀνυμνολογοῦμεν,
χαῖρέ σοι, παρθένε, κραυγάζοντες,
τὸ φυλακτήριον πάντων | καὶ χαράκωμα
καὶ κραταίωμα | καὶ ἱερὸν καταφύγιον.

---

46 Tertia oda sequitur modulos huius hirmi: Ὁ καθήμενος ἐν δόξῃ | ἐπὶ θρόνου θεότητος | ἐν νεφέλῃ κούφῃ | ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος | τῇ ἀκηράτῳ παλάμῃ | καὶ διέσωσε | τοὺς κραυγάζοντας· | δόξα, Χριστέ, τῇ δυνάμει σου.

ᾠδὴ ε΄.

Ὁδὸν ἡ κυήϲαϲα
ζωῆϲ, χαῖρε, πανάμωμε,
ἡ κατακλυϲμοῦ τῆϲ ἁμαρτίαϲ
ϲώϲαϲα κόϲμον· | χαῖρε, θεόνυμφε,
ἄκουϲμα καὶ λάλημα φρικτόν·
χαῖρε ἐνδιαίτημα
τοῦ δεϲπότου τῆϲ κτίϲεωϲ.

Ἰϲχὺϲ καὶ ὀχύρωμα
ἀνθρώπων, χαῖρε, ἄχραντε,
τόπε ἁγιάϲματοϲ τῆϲ δόξηϲ,
νέκρωϲιϲ ᾅδου, | νυμφὼν ὁλόφωτε·
χαῖρε τῶν ἀγγέλων χαρμονή,
χαῖρε ἡ βοήθεια
τῶν πιϲτῶϲ δεομένων ϲου.

Πυρίμορφον ὄχημα
τοῦ λόγου, χαῖρε, δέϲποινα,
ἔμψυχε παράδειϲε, τὸ ξύλον
ἐν μέϲῳ ἔχων | ζωῆϲ τὸν κύριον,
οὗ ὁ γλυκαϲμὸϲ ζωοποιεῖ
πίϲτει τοὺϲ μετέχονταϲ
καὶ φθορᾷ ὑποκύψανταϲ.

Ῥωννύμενοι ϲθένει ϲου
πιϲτῶϲ ἀναβοῶμέν ϲοι·
χαῖρε πόλιϲ τοῦ παμβαϲιλέωϲ,
δεδοξαϲμένα | καὶ ἀξιάκουϲτα
περὶ ἧϲ λελάληνται ϲαφῶϲ·
ὄροϲ ἀλατόμητον,
χαῖρε βάθοϲ ἀμέτρητον.

Εὐρύχωρον ϲκήνωμα
τοῦ λόγου, χαῖρε ἄχραντε·
κόχλοϲ ἡ τὸν θεῖον μαργαρίτην
προαγαγοῦϲα, | χαῖρε πανθαύμαϲτε,
πάντων πρὸϲ θεὸν καταλλαγὴ
τῶν μακαριζόντων ϲε,
θεοτόκε, ἑκάϲτοτε.

ᾠδὴ ϛ΄.

Παϲτὰϲ τοῦ λόγου ἀμόλυντε,
αἰτία τῆϲ τῶν πάντων θεώϲεωϲ,
χαῖρε πανάχραντε,
τῶν προφητῶν περιήχημα,
χαῖρε τῶν ἀποϲτόλων
τὸ ἐγκαλλώπιϲμα.

Ἐκ ϲοῦ ἡ δρόϲοϲ ἀπέϲταξε
φλογμὸν πολυθεΐαϲ ἡ λύϲαϲα·
ὅθεν βοῶμέν ϲοι·
χαῖρε ὁ πόκοϲ ὁ ἔνδροϲοϲ,
ὃν Γεδεών, παρθένε, | προεθεάϲατο.

Ἰδού ϲοι χαῖρε κραυγάζομεν,
λιμὴν ἡμῖν γενοῦ θαλαττεύουϲι
καὶ ὁρμητήριον
ἐν τῷ πελάγει τῶν θλίψεων
καὶ τῶν ϲκανδάλων πάντων
τοῦ πολεμήτοροϲ.

Χαρᾶϲ αἰτία χαρίτωϲον
ἡμῶν τὸν λογιϲμὸν τοῦ κραυγά-
ζειν ϲοι·
χαῖρε ἡ ἄφλεκτοϲ
βάτοϲ, νεφέλη ὁλόφωτε,
ἡ τοὺϲ πιϲτοὺϲ ἀπαύϲτωϲ
ἐπιϲκιάζουϲα.

ᾠδὴ ζ΄.

Ἀνυμνοῦμέν ϲε | βοῶντεϲ· χαῖρε ὄχημα
ἡλίου τοῦ νοητοῦ·
ἄμπελοϲ ἀληθινὴ | τὸν βότρυν τὸν πέπειρον
ἡ γεωργήϲαϲα, | οἶνον ϲτάζοντα
τὸν τὰϲ ψυχὰϲ εὐφραίνοντα | τῶν πιϲτῶϲ ϲε δοξαζόντων.

Ἰατῆρα τῶν ἁπάντων ἡ κυήϲαϲα,
χαῖρε θεόνυμφε·

ἡ ῥάβδος ἡ μυστικὴ | ἄνθος τὸ ἀμάραντον
ἡ ἐξανθήcαcα, | χαῖρε δέcποινα,
δι' ἧς χαρᾶς πληρούμεθα | καὶ ζωὴν κληρονομοῦμεν.

Ῥητορεύουcα | οὐ cθένει γλῶccα, δέcποινα,
ὑμνολογῆcαί cε·
ὑπὲρ γὰρ τὰ Cεραφὶμ | ὑψώθης κυήcαcα
τὸν βαcιλέα Χριcτόν, | ὃν ἱκέτευε
πάcης νῦν βλάβης ῥύcαcθαι | τοὺς πιcτῶς cε προcκυνοῦντας.

Εὐφημεῖ cε | μακαρίζοντα τὰ πέρατα
καὶ πόθῳ κράζει cοι·
χαῖρε ὁ τόμος, ἐν ᾧ | δακτύλῳ ἐγγέγραπται
πατρὸς ὁ λόγος, ἁγνή, | ὃν ἱκέτευε
βίβλῳ ζωῆς τοὺς δούλους cου | καταγράψαι, θεοτόκε.

Ἱκετεύομεν | οἱ δοῦλοί cου καὶ κλίνομεν
γόνυ καρδίας ἡμῶν·
κλῖνον τὸ οὖς cου, ἁγνή, | καὶ cῶcον τοὺς θλίψεcι
βυθιζομένους ἡμᾶς, | καὶ cυντήρηcον
πάcης ἐχθρῶν ἁλώcεως | τὴν cὴν πόλιν, θεοτόκε.

ᾠδὴ η'.

Νηδύϊ τὸν λόγον ὑπεδέξω,
τὸν πάντα βαcτάζοντα ἐβάcταcας·
γάλακτι ἐξέθρεψας | νεύματι τὸν τρέφοντα
τὴν οἰκουμένην ἅπαcαν, | ἁγνή, ᾧ ψάλλομεν·
τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε | εἰς πάντας τοὺς αἰῶνας.

Μωcῆς κατενόηcεν ἐν βάτῳ
τὸ μέγα μυcτήριον τοῦ τόκου cου·
παῖδες προεικόνιcαν | τοῦτο ἐμφανέcτατα
μέcον πυρὸς ἱcτάμενοι | καὶ μὴ φλεγόμενοι,
ἀκήρατε ἁγία παρθένε·
ὅθεν cε ὑμνοῦμεν | εἰς πάντας τοὺς αἰῶνας.

Οἱ πρῴην ἀπάτῃ γυμνωθέντες
cτολὴν ἀφθαρcίας ἐνεδύθημεν
τῇ κυοφορίᾳ cου· | καὶ οἱ καθεζόμενοι
ἐν cκότει παραπτώcεων | φῶς κατωπτεύcαμεν,
φωτὸς κατοικητήριον, κόρη·
ὅθεν cε ὑμνοῦμεν | εἰς πάντας τοὺς αἰῶνας.

Νεκροὶ διὰ ϲοῦ ζωοποιοῦνται·
Ζωὴν γὰρ τὴν ἐνυπόϲτατον ἐκύηϲαϲ·
εὔλαλοι οἱ ἄλαλοι | πρῴην χρηματίζοντεϲ,
λεπροὶ ἀποκαθαίρονται, | νόϲοι διώκονται,
πνευμάτων ἀερίων τὰ πλήθη
ἥττηνται, παρθένε, | βροτῶν ἡ ϲωτηρία.

Ἡ κόϲμῳ τεκοῦϲα ϲωτηρίαν,
δι᾽ ἧϲ ἀπὸ γῆϲ εἰϲ ὕψοϲ ἤρθημεν,
χαίροιϲ παντευλόγητε, | ϲκέπη καὶ κραταίωμα,
τεῖχοϲ καὶ ὀχύρωμα | τῶν μελῳδούντων, ἁγνή·
τὸν κύριον ὑμνεῖτε τὰ ἔργα
καὶ ὑπερυψοῦτε | εἰϲ πάνταϲ τοὺϲ αἰῶναϲ.

ᾠδὴ θ΄.

Ἵνα ϲοι πιϲτοὶ | τὸ χαῖρε κραυγάζωμεν
οἱ διὰ ϲοῦ τῆϲ χαρᾶϲ
μέτοχοι γενόμενοι | τῆϲ ἀϊδίου, | ῥῦϲαι ἡμᾶϲ πειραϲμοῦ,
βαρβαρικῆϲ ἁλώϲεωϲ | καὶ πάϲηϲ ἄλληϲ πληγῆϲ
διὰ πλῆθοϲ, κόρη, παραπτώϲεων
ἐπιούϲηϲ βροτοῖϲ ἁμαρτάνουϲιν.

Ὤφθηϲ φωτιϲμὸϲ | ἡμῶν καὶ βεβαίωϲιϲ,
ὅθεν βοῶμέν ϲοι·
χαῖρε ἄϲτρον ἄδυτον | εἰϲάγον κόϲμῳ | τὸν μέγαν ἥλιον·
χαῖρε Ἐδὲμ ἀνοίξαϲα | τὴν κεκλειϲμένην, ἁγνή·
χαῖρε ϲτύλε πύρινε, εἰϲάγουϲα
εἰϲ τὴν ἄνω ζωὴν τὸ ἀνθρώπινον.

Ϲτῶμεν εὐλαβῶϲ | ἐν οἴκῳ θεοῦ ἡμῶν
καὶ ἐκβοήϲωμεν·
χαῖρε κόϲμου δέϲποινα· | χαῖρε Μαρία, | κυρία πάντων ἡμῶν·
χαῖρε ἡ μόνη ἄμωμοϲ | ἐν γυναιξὶ καὶ καλή·
χαῖρε ϲκεῦοϲ, μύρον τὸ ἀκένωτον
ἐπὶ ϲὲ κενωθὲν εἰϲδεξάμενον.

Ἡ περιϲτερὰ | ἡ τὸν ἐλεήμονα
ἀποκυήϲαϲα,
χαῖρε ἀειπάρθενε· | ὁϲίων πάντων | χαῖρε τὸ καύχημα,
τῶν ἀθλητῶν ϲτεφάνωμα· | χαῖρε ἁπάντων τε
τῶν δικαίων θεῖον ἐγκαλλώπιϲμα
καὶ ἡμῶν τῶν πιϲτῶν τὸ διάϲωϲμα.

173 fort.: καὶ τεῖχοϲ.

ΜΗΤΡΟΦΑΝΟΥϹ

Κανὼν εἰϲ τὴν μακαρίαν τριάδα (Ὀκτ. ϲελ. 93).

Ἡ ἀκροϲτιχίϲ:

«Κανὼν ὁ πέμπτοϲ φωτὶ τῷ τριϲηλίῳ.»

ἦχοϲ πλ. α΄.

ᾠδὴ α΄.

κατὰ τὸ· «Ἵππον καὶ ἀναβάτην.»

Κράτοϲ τῆϲ ἑνιαίαϲ | καὶ τριϲηλίου μορφῆϲ
ἀνυμνοῦντεϲ βοῶμεν· | τὸν νοῦν ἡμῶν καταύγαϲον,
θεὲ παντοδύναμε,
καὶ πρὸϲ τὴν ϲὴν, δέϲποτα,
μετεώριϲον δόξαν ἄφραϲτον.

Ἄνω ϲε τῶν ἀγγέλων | διάκοϲμοι νοεροὶ
ἀϲιγήτωϲ ὑμνοῦϲιν | ἐν τριϲαγίοιϲ ᾄϲμαϲι
μονάδα τριϲάριθμον
καὶ τριάδα ϲύμμορφον,
ὑπερούϲιον, παντοδύναμον.

Νέκταρ τῆϲ ϲῆϲ ἀγάπηϲ | γλυκύτατον, φωτουργὸν
τῇ ψυχῇ μου παράϲχου, | τριὰϲ μονὰϲ ἀρχίφωτε,
καὶ θείαν κατάνυξιν,
καθαρτικὴν, δέϲποτα
πολυέλεε πάϲηϲ κτίϲεωϲ.

Ὥϲπερ ἐπὶ τὸν πόκον | κατῆλθεν ἀψοφητὶ
οὐρανόθεν, παρθένε, | ὁ ὑετὸϲ ἐν μήτρᾳ ϲου
ὁ θεῖοϲ καὶ ἔϲωϲε
ξηρανθεῖϲαν ἅπαϲαν
τῶν ἀνθρώπων τὴν φύϲιν, ἄχραντε.

ᾠδὴ γ΄.

κατὰ τὸ· «Ὁ πήξαϲ ἐπ' οὐδενόϲ.»

Νοήϲαϲ τὰϲ νοερὰϲ | οὐϲίαϲ ὑπέϲτηϲαϲ
ὑμνῳδοὺϲ ἀπαύϲτωϲ | τῆϲ ϲῆϲ θεότητοϲ,
τρίφωτε θεὲ καὶ παντουργέ· | ἀλλὰ καὶ τῶν πηλίνων
καὶ γηγενῶν δέξαι τὴν αἶνεϲιν
καὶ τὴν ἱκεϲίαν ὡϲ εὔϲπλαγχνοϲ.

Metrophanis hic canon octava quaque dominica inter diem festum Omnium sanctorum et paschatis hora nocturna legi solet. — Cod. D — v. 4 verbum δέϲποτα huius strophae et quae in reliquis strophis ei respondent, a priore versu avulsa sequenti praemisit D — 13 καί om. D — 24 τὴν δέηϲιν Oct.

Ὁ πάϲηϲ κατὰ φύϲιν | τροπῆϲ ἀνεπίδεκτοϲ
τοῖϲ ἀλλοιουμένοιϲ | ἡμῖν καὶ μέλπουϲι
τὴν ἀνεξιχνίαϲτον πηγὴν | τῆϲ ἀγαθότητόϲ ϲου
πλημμελημάτων δὸϲ ϲυγχώρηϲιν,
ἥλιε τῆϲ δόξηϲ τριϲάκτιϲτε.

Πατέρα καὶ τὸν υἱὸν | καὶ πνεῦμα δοξάϲωμεν
ἐν ἀπαραλλάκτῳ | μορφῇ θεότητοϲ,
ϲὲ τὸν ἑνικὸν καὶ τριλαμπῆ | κύριον τῶν ἁπάντων,
ὡϲ οἱ προφῆται καὶ ἀπόϲτολοι
παρὰ ϲοῦ ϲαφῶϲ ἐδιδάχθηϲαν.

Ἐφάνηϲ τῷ Μωϋϲῇ | ἐν βάτῳ ὡϲ ἄγγελοϲ
βουλῆϲ τῆϲ μεγάληϲ | τοῦ παντοκράτοροϲ,
τὴν ϲὴν ἐκ παρθένου προδηλῶν | ϲάρκωϲιν, θεοῦ λόγε,
δι᾽ ἧϲ ἡμᾶϲ μετεϲτοιχείωϲαϲ
καὶ πρὸϲ οὐρανὸν ἀνεβίβαϲαϲ.

ᾠδὴ δʹ.
κατὰ τὸ «Τὴν θείαν ἐννοήϲαϲ ϲου κένωϲιν.»

Μυεῖται τῆϲ μιᾶϲ κυριότητοϲ | τὸ τριφαὲϲ ὁ Δανιήλ,
Χριϲτὸν κριτὴν θεαϲάμενοϲ
πρὸϲ τὸν πατέρα ἰόντα
καὶ πνεῦμα τὸ προφαῖνον τὴν ὅραϲιν.

Πηλίνοιϲ τοὺϲ ὑμνοῦντάϲ ϲε ϲτόμαϲι | τὸν ὑπερούϲιον θεὸν
τριαδικὸν ὑποϲτάϲεϲι
μοναδικὸν δὲ τῇ φύϲει,
τῆϲ δόξηϲ τῶν ἀγγέλων ἀξίωϲον.

Τὸ ὄροϲ τὸ δαϲὺ καὶ κατάϲκιον, | ὃ εἶδε πρὶν ὁ Ἀββακούμ,
ἐξ οὗ προῆλθεν ὁ ἅγιοϲ,
τὸν δυϲθεώρητον τόκον
ἐδήλου ϲῆϲ, παρθένε, ϲυλλήψεωϲ.

ᾠδὴ εʹ.
κατὰ τὸ «Ὁ ἀναβαλλόμενοϲ.»

Ὁ δι᾽ ἀγαθότητα | κτίϲαϲ τὸν ἄνθρωπον
καὶ κατ᾽ εἰκόνα | τὴν ϲὴν ποιήϲαϲ,
ἐν ἐμοὶ κατοίκηϲον,
τρίφωτε θεέ μου, | ὡϲ ἀγαθὸϲ καὶ εὔϲπλαγχνοϲ.

26 ἀπαράδεκτοϲ Oct. — 28 τῆϲ ϲῆϲ ἀγαθοϲύνηϲ Oct. — 30 ἥλιε . . . τριϲάκτιϲτε D: καὶ τὴν ϲωτηρίαν ὡϲ εὔϲπλαγχνοϲ Oct. — 31 δοξάζομεν Oct. — 38 ϲοῦ τὴν Oct. — 40 οὐρανοὺϲ Oct. — 41 Daniel VII 13–14. — 47 τε Oct.

Ϲύ με καθοδήγηϲον, | μονὰϲ τριϲήλιε,
πρὸϲ τρίβουϲ θείαϲ | τῆϲ ϲωτηρίαϲ,
καὶ τῆϲ ϲῆϲ ἐλλάμψεωϲ
πλήρωϲον ὡϲ φύϲει | θεὸϲ ἀπειροδύναμοϲ.

Φῶϲ τὸ ἀδιαίρετον | τῆϲ μιᾶϲ φύϲεωϲ,
μεμεριϲμένον | τοῖϲ χαρακτῆρϲι,
τριλαμπὲϲ, ἀνέϲπερον,
τὴν ἐμὴν καρδίαν | ταῖϲ αἴγλαιϲ ϲου καταύγαϲον.

Ὡϲ κατεῖδε πάλαι ϲε, | ἁγνὴ πανάχραντε,
ὁ ὑποφήτηϲ | βλέπουϲαν πύλην
πρὸϲ τὸ φῶϲ τὸ ἄδυτον,
παρευθὺϲ ἐπέγνω | θεοῦ κατοικητήριον.

ᾠδὴ ϛʹ.
κατὰ τὸ «Μαινομένην κλύδωνι.»

Τριφαὴϲ ὑπάρχουϲα | θεαρχία ὑποϲτατικῶϲ
ἑνιαία πέφυκαϲ | ὡϲ ϲύμμορφοϲ
καὶ ἰϲουργὸϲ | καὶ κατ' οὐϲίαν καὶ βούληϲιν.

Ἱκανῶϲ ἐδήλωϲεν | ὁ προφήτηϲ, ᾄδων τῷ πατρί·
ϲῷ φωτὶ, τῷ πνεύματι, | ὀψόμεθα
φῶϲ τὸν υἱὸν, | ἕνα θεὸν τὸν τριϲήλιον.

Τῶν πταιϲμάτων λύτρωϲιν | καὶ κινδύνων, δέϲποτα θεὲ
ἑνικὲ καὶ τρίφωτε, κατάπεμψον
ϲοῖϲ ὑμνηταῖϲ | πρεϲβείαιϲ τῆϲ θεομήτοροϲ.

ᾠδὴ ζʹ.
κατὰ τὸ «Ὁ ὑπερυψούμενοϲ.»

Ὡϲ ἐλέουϲ ἄβυϲϲον | κεκτημένοϲ, κύριε,
καὶ πέλαγοϲ ἄπειρον, | οἰκτίρμον, ἐλέηϲον
τοὺϲ ἕνα ϲε ὑμνοῦνταϲ | τριλαμπῆ θεὸν τῶν ὅλων.

Τὸν ἀπερινόητον, | ἑνικὸν καὶ τρίφωτον
θεόν ϲε καὶ κύριον | ὑμνοῦντεϲ λιτάζομεν·
παράϲχου τοῖϲ ϲοῖϲ δούλοιϲ | ἱλαϲμὸν ἁμαρτημάτων.

Ῥάδαμνον ἐβλάϲτηϲαϲ | τῷ πατρὶ ϲυνάναρχον,
ἄνθοϲ τῆϲ θεότητοϲ, | βλαϲτὸν ϲυναΐδιον,
παρθένε, τὸν διδόντα | τὴν ζωὴν πᾶϲιν ἀνθρώποιϲ.

61 τῆϲ μιᾶϲ Oct.: ὁρῶ τῆϲ D — 64 καταύγαϲον ταῖϲ αἴγλαιϲ ϲου Oct. — 66 βλέπουϲαν πύλην ὁ ὑποφήτηϲ D — 68 παρευθύϲ D: εὐθύϲ ϲε Oct. — 73 ὀψόμεθα τῷ πνεύματι Oct. — 75 κινδύνων δέϲποτα Oct.: πειραϲμῶν εὔϲπλαγχνε D accentibus minus commodis — 77 πρεϲβείαϲ Oct. — 79 οἰκτιρμῶν D — 82 βοῶμεν ϲοι Oct.

ᾠδὴ η΄.

κατὰ τὸ «Cοὶ τῷ παντουργῷ.»

Ἵνα τῆς μιᾶς ἀνακαλύψῃς πάλαι
σαφῶς κυριότητος | τριττὴν ὑπόςταςιν,
ὤφθης, θεέ μου, | ἐν ςχήματι ἀνθρώπων
Ἀβραὰμ ὑμνοῦντι | ςὸν κράτος ἑνιαῖον.

Cύ με πρὸς τὰς ςὰς θεουργικὰς ἀκτῖνας
δέρκειν καταξίωςον, | φῶς τὸ ἀπρόςιτον,
πάτερ οἰκτίρμον | καὶ λόγε καὶ τὸ πνεῦμα,
τοῦ εὐαρεςτεῖν ςοι | ἀεὶ, κύριε πάντων.

Ἤςτραψας ἡμῖν τῆς τριςηλίου δόξης
τὸν ἕνα, πανύμνητε, | Χριςτὸν τὸν κύριον,
πάντας μυοῦντα | τὴν μίαν θεαρχίαν
ἐν τριςὶ προςώποις | ὑμνεῖν εἰς τοὺς αἰῶνας.

ᾠδὴ θ΄.

κατὰ τὸ «Ἡςαΐα χόρευε.»

Λαλιαί ςε βρότειαι | κατ᾽ ἀξίαν, | ἄναρχε μονὰς,
οὐ ςθένουςιν ὑμνεῖν· | πλὴν ὡς ἐφικτὸν
τολμῶντες ἐκ πίςτεως, | θεαρχικὴ | ςύνθρονε τριὰς,
δόξαν προςφέρομεν | τῷ ςῷ κράτει καὶ τὴν αἴνεςιν.

Ἰςορρόπῳ δόξῃ ςε | τὸν μονάρχην | τρίφωτον θεὸν
δοξάζει τὰ Χερουβὶμ | καὶ τὰ Cεραφὶμ
ἀχράντοις ἐν ςτόμαςι· | μεθ᾽ ὧν ἡμᾶς | τοὺς ἁμαρτωλοὺς
πρόςδεξαι, κύριε, | τὸ ςὸν κράτος μεγαλύνοντας.

Ὡς ἁγνὴ καὶ ἄμωμος | ἡ παρθένος | τέτοκας υἱὸν,
λυτρούμενον ἡμᾶς | ἀπὸ τῆς φθορᾶς,
θεὸν ἀναλλοίωτον· | ἀλλὰ καὶ νῦν | ἄφεςιν ἡμῖν
τῶν παραπτώςεων | καταπέμψαι καθικέτευε.

89 Genes. XVIII 2 — 93 οἰκτίρμον] παντοκράτορ in πανκράτορ corr. D — 96 Χριςτὸν καὶ κύριον D — 104 ὑμνοῦντα τὰ Χερ. D — 107 καὶ παρθένος Oct. — 108 ἀπὸ πειραςμῶν Oct. — 110 παραπτώςεως τοῦτον δοῦναι καθικέτευε Oct.

ΠΙΝΑΞ ΤΩΝ ΜΕΛΩΝ

ΚΑΤ' ΑΛΦΑΒΗΤΟΝ.

Α

'Αν. = 'Αναστασιματάριον. Δοξ. = Δοξαστάριον. Εἱρμ. = Εἱρμολόγιον.
Πανδ. = Πανδέκτη.

Β

Γ

Δ

Ε

Η

Θ

Ο

Π

Ρ

ΠΙΝΑΞ ΤΩΝ ΥΜΝΟΓΡΑΦΩΝ.

τῶν Μηναίων Τριῳδίου Πεντηκοσταρίου Οκτωήχου Παρακλητικῆς.

INDEX

RERUM ET NOMINUM.